πολλάκις καιροῖς ἀβουλήτοις τῶν σφόδρα ἀστείων τὴν ἐκ γένους ἀπέβαλον
ἐλευθερίαν· ἀλλ' ἔστιν ἡ σκέψις περὶ τρόπων, οὓς οὔτ' ἐπιθυμίαι οὔτε
φόβοι οὔθ' ἡδοναὶ οὔτε λῦπαι κατέζευξαν, ὥσπερ ἐξ εἱρκτῆς προεληλυθότων
καὶ δεσμῶν οἷς ἐπεσφίγγοντο διαφειμένων. ἀνελόντες οὖν ἐκποδὼν τὰς 19
προφασιστικὰς εὑρεσιλογίας καὶ τὰ φύσεως μὲν ἀλλότρια δόξης δ' ἠρτημένα
ὀνόματα οἰκοτρίβων ἢ ἀργυρωνήτων ἢ αἰχμαλώτων τὸν ἀψευδῶς ἐλεύ-
θερον ἀναζητῶμεν, ᾧ μόνῳ τὸ αὐτοκρατὲς πρόσεστι, κἂν μυρίοι γράφωσι
δεσπότας ἑαυτούς. ἀναφθέγξεται γὰρ ἐκεῖνο τὸ Σοφόκλειον οὐδὲν τῶν
πυθοχρήστων διαφέρον·

„θεὸς ἐμὸς ἄρχων, θνητὸς δ' οὐδείς".

τῷ γὰρ ὄντι μόνος ἐλεύθερος ὁ μόνῳ θεῷ χρώμενος ἡγεμόνι, κατ' ἐμὴν δὲ 20

---

1 εὐσκόπως] εὐκόλως F ἐφαρμόττομεν M, ἐφαρμόσωμεν AQT δουλεία μὲν τοίνυν M 2 ψυχῶν] ψυχῆς HP (Turn.) 3 κακίαι M: κακία ceteri (Turn.) καταυτὰ M (κατὰ ταὐτὰ scripsi): κατὰ ταὐτὸν F, κατὰ τὰ αὐτὰ ceteri (v) ἐλευθερίαι M (ἐλευθερία scripsi): ἡ ἐλευθερία ceteri (v) 4 σωμάτων] σώμασιν M ἀπ'] ἐπ' F δυνατωτέρων] σωμάτων δυνατωτέρων H (v) 5 ἐκκεχειρίαν APQT δυναστείας] διανοίας HP (Turn.), δυναστείας mg P οὖν] δὴ M 6 μυρίων AQT αἱ M: om. ceteri (v) τύχαι M: ψυχαὶ ceteri (Turn.) πολλοῖς F 7 καιροῖς] καὶ τοῖς QT σφόδρ' FGH 8 σκῆψις HP, post σκέψις add. τούτων F 9 οὔτε ἡδοναὶ M εἱρκτῆς MPT 10 ἐκποδὼν] ἐκ ποδῶν FG, ἐκ προγόνων M 11 προφητικὰς G; σοφιστικὰς coni. Mang. εὑρεσιλογίας] ἐλευθερίας H mg P (v) εὑρησιλογίας G 12 ἢ ἀργυρωνήτων ἢ M: καὶ ἀργυρωνήτων (om. altero ἢ) ceteri (Turn.) 13 ἐπιζητῶμεν AQT 14 ἀναφθέγγεται F 14. 15 τῶν πυθοχρήστω A 16 ἐμὸς codd.: ἐμοὶ v θνητὸς] θνητῶν HP (v) δ' MA: δὲ ceteri (v) οὐδείς AQT: οὐδὲ εἷς ceteri (v) 17 μόνῳ] μόνος QT δὲ om. QT

---

1 sqq. *Ambros. Epist. 37, 24* ... gemina enim servitus est, altera corporis, animarum altera: domini autem corporis quidem homines, animarum autem malitiae et passiones, a quibus sola animi libertas sapientem vindicat, ut servitio ei liceat exire.
13 Philo de post. Caini § 138 τοῦτο δ' ἐστὶ τὸ δογματικώτατον (τὸ δόγμα τὸ Στωικὸν coni. Wendl.), ὅτι ὁ σοφὸς μόνος ἐλεύθερός τε καὶ ἄρχων, κἂν μυρίους τοῦ σώματος ἔχῃ δεσπότας. 14 sqq. *Ambros. Epist. 37, 28* Quis est qui Sophoclea in medium ferat carmina dicentia: „Iupiter mihi praeest, nullus autem hominum?" 16 Soph. frg. 688, 3 ap. Arist. Eth. Eud. 7,10 p. 1242^{a} 37, ubi Ζεὺς ἐμὸς ἄρχων. fortasse etiam Philo Ζεὺς scripsit, si quidem Ambrosius Philonem transscribens vertit *Iupiter*.

διάνοιαν καὶ τῶν ἄλλων ἡγεμών, ἐπιτετραμμένος τὰ περίγεια, οἷα μεγάλου βασιλέως, θνητὸς ἀθανάτου, διάδοχος. ἀλλ' ὁ μὲν περὶ ἀρχῆς τοῦ σοφοῦ λόγος εἰς καιρὸν ἐπιτηδειότερον ὑπερκείσθω, τὸν δὲ περὶ
21 ἐλευθερίας τὰ νῦν ἀκριβωτέον. εἰ δή τις εἴσω προελθὼν τῶν πραγμάτων ἐθελήσειε διακύψαι, γνώσεται σαφῶς, ὅτι οὐδὲν ἄλλο ἄλλῳ συγγενὲς οὕτως, ὡς αὐτοπραγία ἐλευθερίᾳ, διότι πολλὰ μὲν τῷ φαύλῳ τὰ ἐμποδών, φιλαργυρία, φιλοδοξία, φιληδονία, τῷ δ' ἀστείῳ τὸ παράπαν οὐδέν, ἐπανισταμένῳ καὶ ἐπιβεβηκότι καθάπερ ἐν ἄθλων ἀγῶνι τοῖς
22 καταπαλαισθεῖσιν, ἔρωτι, φόβῳ, δειλίᾳ, λύπῃ, τοῖς ὁμοιοτρόποις. ἔμαθε γὰρ ἀλογεῖν ἐπιταγμάτων, ὅσα οἱ ψυχῆς παρανομώτατοι ἄρχοντες ἐπιτάττουσι, διὰ ζῆλον καὶ πόθον ἐλευθερίας, ἧς τὸ αὐτοκέλευστον καὶ ἐθελουργὸν κλῆρος ἴδιος. ἐπαινεῖται παρά τισιν ὁ τὸ τρίμετρον ἐκεῖνο ποιήσας

„τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;"

ὡς μάλα συνιδὼν τὸ ἀκόλουθον· ὑπέλαβε γάρ, ὅτι οὐδὲν οὕτως δουλοῦσθαι

---

1 διάνοιαν] γνώμην vel ἔννοιαν coni. Mang. τῶν] τὴν H^2 (Turn.) ἡγεμών M: ἡγεμονίαν ceteri (Turn.) ἐπιτετραμένος M τῶν περιγείων H^2 (Turn.) 2 ἀρχῆς] τῆς ἀρχῆς HP (v) 3 τοῦ σοφοῦ M: om. ceteri (Turn.) ἐπιτηδειότατον A ὑποκείσθω QT 4—6 τὰ νῦν—ἐλευθερίᾳ om. QT 4 τὰ νῦν] τὰ om. P 5 ἄλλῳ om. MA 6 εὐγενὲς A οὕτως om. M ἐλευθερίας A τῶν φαύλων M 7 καὶ φιληδονία F 8 ἐπανισταμένῳ M: ἐπανεσταλμένῳ FGHP, ἐπανεσταλμένον AQT καὶ ἐπιβεβηκότι MF: κατεπιβεβηκότι ceteri ἄθλων] ἀθλητῶν conicio, cf. 8, 5 ἐν ἀγῶνι παγκρατιαστῶν ἀγῶνι τοῖς] ἀγωνιστοῖς L; ἀγωνισταῖς v 9 ὁμοτρόποις M 10 ἀλογεῖν] ἄλλο F 11 ἧς] οἷς A 12 τὸ τρίμετρον] τὸ τριμερὲς QT, τὸ τρίτον μέρος G τὸ om. Mang. 13 τίς δ' ἐστὶ scripsi (cf. testim.): τίς γάρ ἐστι codd.; τίς ἔστι v ὤν om. AQT 14 ἀπέλαβε T οὕτως M: οὕτω ceteri (v)

---

6 cf. Diog. La. VII 121 εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας, τὴν δὲ δουλείαν στέρησιν αὐτοπραγίας. 7 cf. Plut. Stoic. repugn. 33 οὐδεὶς γὰρ φύεται ἀνθρώποις πόλεμος ἄνευ κακίας· ἀλλὰ τὸν μὲν φιληδονία, τὸν δὲ πλεονεξία, τὸν δὲ φιλοδοξία τις ἢ φιλαρχία συρρήγνυσιν. 8 *Ambros. Epist. 37,30* ... insurgit enim sapiens quasi victor debellatis a se ac triumphatis libidini, timori, ignaviae, maestitudini ceterisque vitiis, donec ea de possessione suae mentis eliminet et omnibus terminis finibusque suis propulset atque arceat. 10 cf. *Cic. Parad. V 1* refrenet primum libidines, ... ceteras animi labes repellat, tum incipiat aliis imperare, cum ipse improbissimis dominis, dedecori ac turpitudini, parere desierit. *Seneca Epist. 37,4* humilis res est stultitia, abiecta, sordida, servilis, multis affectibus et saevissimis subiecta. hos tam graves dominos, interdum alternis imperantes interdum pariter, dimittit a te sapientia, quae sola libertas est. 13 Eur. frg. 958 laud. a Chrysippo ap. Plut. de aud. poet. 13 τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν. cf. Plut. de consol. ad Apollon. 10. Clem. Alex. Strom. IV 7 p. 586 P. Cic. ad Att. IX 2^a,2. 14 cf. Epict. Diss. III 26, 38 ἆρ' οὖν ἐνθυμῇ, ὅτι κεφάλαιον τοῦτο πάντων τῶν κακῶν τῷ ἀνθρώπῳ καὶ ἀγεννείας καὶ δειλίας οὐ θάνατός ἐστι, μᾶλλον δ' ὁ τοῦ θανάτου φόβος;

πέφυκε διάνοιαν, ὡς τὸ ἐπὶ θανάτῳ δέος, ἕνεκα τοῦ πρὸς τὸ ζῆν ἱμέρου. (4.) χρῆν δὲ λογίσασθαι, ὅτι οὐχ ὁ τοῦ θανεῖν μόνον ἄφροντις ὢν 23 ἀδούλωτος, ἀλλὰ καὶ ὁ τοῦ πένεσθαι καὶ ἀδοξεῖν καὶ ἀλγεῖν καὶ τῶν
p. 449 M. ἄλλων ὅσα οἱ πολλοὶ κακὰ νομίζουσι, κακοὶ τῶν | πραγμάτων ὄντες αὐτοὶ κριταί, οἵτινες ἐκ τῶν χρειῶν δοκιμάζουσι τὸν δοῦλον εἰς τὰς ὑπηρεσίας ἀφορῶντες, δέον εἰς τὸ ἀδούλωτον ἦθος. ὁ μὲν γὰρ ἀπὸ ταπεινοῦ καὶ 24 δουλοπρεποῦς φρονήματος ταπεινοῖς καὶ δουλοπρεπέσι παρὰ γνώμην ἐγχειρῶν τὴν ἑαυτοῦ δοῦλος ὄντως· ὁ δὲ πρὸς τὸν παρόντα καιρὸν ἁρμοζόμενος τὰ οἰκεῖα καὶ ἐκουσίως ἅμα καὶ τλητικῶς ἐγκαρτερῶν τοῖς ἀπὸ τύχης καὶ μηδὲν καινὸν τῶν ἀνθρωπίνων εἶναι νομίζων, ἀλλ' ἐξητακὼς ἐπιμελῶς, ὅτι τὰ μὲν θεῖα αἰωνίῳ τάξει καὶ εὐδαιμονίᾳ τετίμηται, τὰ δὲ θνητὰ πάντα σάλῳ καὶ κλύδωνι πραγμάτων διαφερόμενα πρὸς ἀνίσους ῥοπὰς ταλαντεύει, καὶ γενναίως ὑπομένων τὰ συμπίπτοντα φιλόσοφος εὐθύς ἐστι καὶ ἐλεύθερος. ὅθεν οὐδὲ παντὶ τῷ προστάττοντι ὑπακούσεται, κἂν αἰκίας 25 καὶ βασάνους καί τινας φοβερωτάτας ἀπειλὰς ἐπανατείνηται, νεανιευσάμενος δὲ ἀντικηρύξει·

---

1 πέφυκεν εἰς διάνοιαν QT τὸ MF²H²: om. ceteri 2 χρῆν MFAQT: χρὴ GHP (v) λογίσασθαι M: λελογίσθαι ceteri (v) οὐ τοῦ θανεῖν (om. ὁ) AQT ὢν M: ὁ QT, om. ceteri (Turn.) 4 κακὰ νομίζουσι] κακίζουσι M 5 χρειῶν] τριῶν AQT 6 ἀπὸ τοῦ ταπεινοῦ Q 9 καὶ ἐκουσίως M: καὶ om. ceteri (Turn.) ἐκούσια F 10 τῶν ἀνθρωπίνων M: ἀπ' ἀνθρώπων ceteri (v) 12 διαφερόμενα] φερόμενα G 13 εὐθύς ἐστι Mang.: om. M, εὐθὺς T, εὐθύς τε ceteri (v) 14 προστάσσοντι G 15 φοβερωτάτας M: φοβερωτέρας ceteri (v) νεανιευσάμενος M: νεανιευόμενος ceteri (v) 16 δ' M ἀντικηρύττει F

---

6. 7 cf. *Cic. Parad. V 1, 35* non enim ita dicunt eos esse servos, ut mancipia, ... sed si servitus sit, sicut est, oboedientia fracti animi et abiecti et arbitrio carentis suo.
8 sqq. cf. *Cic. Tusc. III 30* et nimirum haec est illa praestans et divina sapientia et perceptas penitus et pertractatas res humanas habere, nil admirari cum acciderit, nihil antequam evenerit non evenire posse arbitrari. *V 81* sapientis est enim proprium nihil quod paenitere possit facere, ... nihil ita exspectare quasi certo futurum, nihil cum acciderit admirari, ut inopinatum ac novum accidisse videatur, omnia ad suum arbitrium referre, suis stare iudiciis. *Seneca Epist. 91,15* itaque formetur animus ad intellectum patientiamque sortis suae et sciat nihil inausum esse fortunae. Diog. La. VII 123 ἔτι τε τὸν σοφὸν οὐδὲν θαυμάζειν τῶν δοκούντων παραδόξων.
11. 12 cf. *Cic. de nat. deor. II 56* nulla igitur in caelo nec fortuna nec temeritas nec erratio nec vanitas est, contraque omnis ordo, veritas, ratio, constantia; quaeque his vacant, mentita et falsa plenaque erroris, ea circum terras infra lunam, quae omnium ultima est, in terrisque versantur.

„ὄπτα, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἰσιν ἄστρα, γῆ δ' ἄνεισ' ἐς οὐρανόν,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον."

26 (5.) ἤδη ποτ' εἶδον ἐν ἀγῶνι παγκρατιαστῶν τὸν μὲν ἐπιφέροντα τὰς πληγὰς καὶ χερσὶ καὶ ποσὶ καὶ πάσας εὐσκόπως καὶ μηδὲν παραλελοιπότα τῶν εἰς τὸ νικᾶν ἀπειρηκότα καὶ παρειμένον καὶ πέρας ἀστεφάνωτον ἐξελθόντα τοῦ σταδίου, τὸν δὲ τυπτόμενον, ὑπὸ πυκνότητος σαρκῶν πεπιλημένον, στρυφνόν, ναστόν, ὄντως γέμοντα πνεύματος ἀθλητικοῦ, δι' ὅλων νενευρωμένον, οἷα πέτραν ἢ σίδηρον, οὐδὲν μὲν πρὸς τὰς πληγὰς ἐνδόντα, τὴν δὲ τοῦ ἀντιπάλου δύναμιν τῷ καρτερικῷ καὶ παγίῳ τῆς
27 ὑπομονῆς καθηρηκότα μέχρι παντελοῦς νίκης. ὅμοιον δή τι τούτῳ πεπονθέναι μοι δοκεῖ ὁ ἀστεῖος· τὴν γὰρ ψυχὴν εὖ μάλα κραταιωθεὶς ἰσχυρογνώμονι λογισμῷ θᾶττον ἀναγκάζει τὸν βιαζόμενον ἀπειπεῖν ἢ ὑπομένει τι δρᾶσαι τῶν παρὰ γνώμην. ἀλλ' ἄπιστον ἴσως τοῖς μὴ πεπονθόσιν ἀρετὴν τὸ λεγόμενον· καὶ γὰρ ἐκεῖνο τοῖς τοὺς παγκρατιαστὰς οὐκ
28 εἰδόσι, γέγονε δ' οὐδὲν ἧττον ἐπ' ἀληθείας. εἰς ταῦτα δ' ἀπιδὼν 'Αντι-

---

1 ὄπτα codd. (sic etiam Artemid. IV 59): πίμπρα H^2 (v) κάτεσθε M (κατέσθιε Artemid.) σάρκα Q 2 κελαινὸν] ἐρεμενὸν (sic, pro ἐρεμνὸν) M πρόσθεν FAQT 3 εἰσιν] εἰσὶν M ἄστρα] ἄκρα F καὶ γῆ PAQT δ' scripsi: τ' codd. (v) ἄνεισ' FG: ἄνεισιν M, ἄνω HP (v), ἂν AQT ἐς M: εἰς ceteri (v) οὐρανόν] αἰθέρα mg F^2; cf. § 99 4 θῶπα MAQ ἀπαντλῆσαι A 5 πότ' codd.: ποτὲ v 6 καὶ ante πάσας secludit Wendl. ὡς εὔσκοπον F μηδὲν] μὲν δὴ AQT 7 τῶν] τὸν AQT post νικᾶν add. τεταγμένον QT καὶ παρειμένον om. HP (Turn.) 10 δι' ὅλων MFAQT: δι' ὅλου GHP (v); ὅλον δι' ὅλων coni. Mang. οἷον AQT πέτραν M: πέτρον ceteri (v) ἢ codd.: καὶ v 11 ἐνδιδόντα AQT τοῦ om. F καρτερικῷ MF: καρτερῷ GHP (v), κρατερῷ AQT 12 παντελῶς F^2 δή τι MGAQT: τι om. FHP (Turn.) τοῦτο A 14 βιαζόμενον M: βιασάμενον ceteri (Turn.) 15 ὑπομένει GAQT: ὑπομένειν MFHP; ἀναγκάσει et ὑπομενεῖ coni. Mang. δράσειν M δρᾶσαι τῶν om. AQT, τῶν om. F 16 ἀρετῇ M; πεπονθόσι πρὸς ἀρετὴν coni. Mang., προσπεπονθόσιν ἀρετῇ Wilamowitz λεγόμενον] γινόμενον QT ἐκεῖνο MFGH¹P: καὶ ἐκεῖνο H^2 (Turn.), κἀκεῖνο AQT (Mang.) παγκρατιαστῶν (in ras.) F 17 εἰδόσι codd.: ἰδοῦσι v γέγονε δ'] γέγονεν M alterum δ'] δὲ M post ἀπιδὼν add. καὶ mg F

---

1 sqq. Eur. frg. 687. 5 sqq. cf. *Seneca de const. sap. 9,5* sic in certaminibus sacris plerique vicerunt caedentium manus obstinata patientia fatigando: ex hoc puta genere sapientem eorum, qui exercitatione longa ac fideli robur perpetiendi lassandique omnem inimicam vim consecuti sunt. *de ira II 14, 2* nec est difficile vincere animum, cum athletae quoque in vilissima sui parte occupati tamen ictus doloresque patiantur, ut vires caedentis exhauriant.

σθένης δυσβάστακτον εἶπεν εἶναι τὸν ἀστεῖον· ὡς γὰρ ἡ ἀφροσύνη κοῦφον
καὶ φερόμενον, ⟨οὕτως⟩ ἡ φρόνησις ἐρηρεισμένον καὶ ἀκλινὲς καὶ βάρος
ἔχον ἀσάλευτον. ὁ δὲ δὴ τῶν Ἰουδαίων νομοθέτης τὰς τοῦ σοφοῦ 29
p.450M. χεῖρας | βαρείας εἰσάγει (Exod. 17, 12), διὰ συμβόλων τὰς πράξεις αἰνιττό-
μενος οὐκ ἐπιπολαίως ἀλλὰ παγίως ἐρηρεισμένας ἀπὸ διανοίας ἀρρεποῦς.
πρὸς οὐδενὸς οὖν ἀναγκάζεται, ἅτε καταπεφρονηκὼς μὲν ἀλγηδόνων, 30
καταπεφρονηκὼς δὲ θανάτου, νόμῳ δὲ φύσεως ὑπηκόους ἔχων ἅπαντας
ἄφρονας· ὅνπερ γὰρ τρόπον αἰγῶν μὲν καὶ βοῶν καὶ προβάτων αἰπόλοι
καὶ βουκόλοι καὶ νομεῖς ἀφηγοῦνται, τὰς δ' ἀγέλας ἀμήχανον ἐπιτάξαι
ποιμέσι, τὸν αὐτὸν τρόπον οἱ μὲν πολλοὶ θρέμμασιν ἐοικότες ἐπιστάτου
καὶ ἄρχοντος δέονται, ἡγεμόνες δ' εἰσὶν οἱ ἀστεῖοι τὴν τῶν ἀγελαρχῶν
τεταγμένοι τάξιν. Ὅμηρος μὲν οὖν „ποιμένας λαῶν" εἰώθε καλεῖν τοὺς 31
βασιλέας, ἡ δὲ φύσις τοῖς ἀγαθοῖς κυριώτερον τουτὶ τοὔνομα ἐπεφήμισεν,
εἴ γε ἐκεῖνοι ποιμαίνονται τὸ πλέον ἢ ποιμαίνουσιν — ἄκρατος γὰρ
αὐτοὺς ἄγει καὶ εὐμορφία πέμματά τε καὶ ὄψα καὶ τὰ μαγείρων καὶ
σιτοποιῶν ἡδύσματα, ἵνα τὰς ἀργύρου καὶ χρυσοῦ καὶ τῶν σεμνοτέρων
ἐπιθυμίας παραλείπω —, τοῖς δ' ὑπ' οὐδενὸς συμβέβηκε δελεάζεσθαι,
νουθετεῖν δὲ καὶ ὅσους ἂν αἴσθωνται πάγαις ἡδονῆς ἁλισκομένους.

---

2 οὕτως addidi ἐρηρεισμένον A, ἐρηρεισμένη HP ἀκλινὴς HP
5 ἐρηρεισμένας A ἀπὸ] ὑπὸ QT 7 ἅπαντας M: πάντας ceteri (v)
8 ὅνπερ] ὃν Q 9 τὰς] τούτων F δὲ M 10 ante τὸν αὐτὸν τρόπον add. καὶ v, om. codd. τὸν αὐτὸν τρόπον om. F 11 τὴν om. M
13 βασιλεῖς AQT κυριώτερόν τι ante τοῖς ἀγαθοῖς transp. AQT τουτὶ M: τι ceteri τοὔνομα ἐπευφήμισε H, ἐπευφήμησε τοὔνομα QT 14 εἴ γε MT: εἴτ' FGHP, εἴτ' A, εἴτ' corr. in εἰγ' Q ποιμαίνοντα A τὸ om. M
15 αὐτοὺς] αὐτὸς Turn. 18 post δὲ add. μᾶλλον G (Mang.) καὶ ⟨κολάζειν⟩ coni. Wilamowitz ἂν] ἐὰν M πάγαις ἡδονῆς] πάσαις ἡδοναῖς AQT

---

1 Antisth. frg. 74 Mullach. 4 Exod. 17, 12 αἱ δὲ χεῖρες Μωυσῆ βαρεῖαι. cf. Leg. alleg. III § 45. 12 Hom. Il. A 263 al. 13 cf. Diog. La. VII 122 οὐ μόνον δ' ἐλευθέρους εἶναι τοὺς σοφοὺς ἀλλὰ καὶ βασιλέας, τῆς βασιλείας οὔσης ἀρχῆς ἀνυπευθύνου, ἥτις περὶ μόνους ἂν τοὺς σοφοὺς συσταίη, καθά φησι Χρύσιππος κτλ. Stob. Ecl. II 7, 11 m καὶ μόνον εἶναι τὸν σοφὸν βασιλέα τε καὶ βασιλικόν, τῶν δὲ φαύλων μηδένα· τὴν γὰρ βασιλείαν ἀρχὴν ἀνυπεύθυνον εἶναι καὶ τὴν ἀνωτάτω καὶ τὴν ἐπὶ πάσαις. *Cic. de rep. I 51* quodsi liber populus deliget, quibus se committat, deligetque ... optimum quemque, certe in optimorum consiliis posita est civitatium salus, praesertim cum hoc natura tulerit, non solum ut summi virtute et animo praeessent imbecillioribus, sed ut hi etiam parere summis velint. Epict. Diss. I 29, 13 διὰ τοῦτο καὶ ὁ τοῦ θεοῦ νόμος κράτιστός ἐστι καὶ δικαιότατος· τὸ κρεῖσσον ἀεὶ περιγινέσθω τοῦ χείρονος.

32 (6.) Ὅτι δ' οὐχ αἱ ὑπηρεσίαι μηνύματ' εἰσὶ δουλείας, ἐναργεστάτη πίστις οἱ πόλεμοι· τοὺς γὰρ στρατευομένους ἰδεῖν ἔστιν αὐτουργοὺς ἅπαντας, οὐ μόνον τὰς πανοπλίας κομίζοντας, ἀλλὰ καὶ ὅσα πρὸς τὴν ἀναγκαίαν χρῆσιν ὑποζυγίων τρόπον ἐπηχθισμένους, εἶτ' ἐφ' ὑδρείαν ἐξιόντας καὶ
33 φρυγανισμὸν καὶ χιλὸν κτήνεσι. τὰ γὰρ πρὸς τοὺς ἐχθροὺς ἐν ταῖς στρατείαις τί δεῖ μακρηγορεῖν, τάφρους ἀνατεμνόντων ἢ τείχη κατασκευαζόντων ἢ τριήρεις ναυπηγουμένων ἢ ὅσα ὑπουργίας ἢ τέχνης πάντα
34 χερσὶ καὶ τῷ ἄλλῳ σώματι ὑπηρετούντων. ἔστι δέ τις καὶ κατ' εἰρήνην πόλεμος τῶν ἐν τοῖς ὅπλοις οὐκ ἀποδέων, ὃν ἀδοξία καὶ πενία καὶ δεινὴ σπάνις τῶν ἀναγκαίων συγκροτοῦσιν, ὑφ' οὗ βιασθέντες ἐγχειρεῖν καὶ τοῖς δουλοπρεπεστάτοις ἀναγκάζονται, σκάπτοντες, γεωπονοῦντες, βαναύσους ἐπιτηδεύοντες τέχνας, ὑπηρετοῦντες ἀόκνως ἕνεκα τοῦ παρατρέφεσθαι, πολλάκις δὲ καὶ κατὰ μέσην ἀγορὰν ἀχθοφοροῦντες ἐν ἡλικιωτῶν καὶ
35 συμφοιτητῶν καὶ συνεφήβων ὄψεσιν. ἕτεροι δ' εἰσὶν ἐκ γένους δοῦλοι τὰ τῶν ἐλευθέρων εὐμοιρίᾳ τύχης μετιόντες· ἐπίτροποι γὰρ οἰκιῶν καὶ κτημάτων καὶ μεγάλων οὐσιῶν, ἔστι δ' ὅτε καὶ τῶν ὁμοδούλων ἄρχοντες καθίστανται, πολλοὶ δὲ καὶ γυναῖκας καὶ παῖδας ὀρφανοὺς δεσποτῶν ἐπετράπησαν, φίλων καὶ συγγενῶν προκριθέντες εἰς πίστιν· ἀλλ' ὅμως εἰσὶ δοῦλοι, δανείζοντες, ὠνούμενοι, προσόδους ἐκλεγόμενοι, θεραπευό-
36 μενοι. τί οὖν θαυμαστόν, εἰ καὶ κατὰ τοὐναντίον ὀλίσθῳ τις εὐτυχίας | p.451 M. δουλικὰς χρείας ἐπιτελεῖ; τὸ δ' ὑπακούειν ἑτέρῳ τὴν ἐλευθερίαν ἀφαιρεῖται. καὶ πῶς πατρὸς μὲν ἢ μητρὸς ἐπιταγμάτων παῖδες ἀνέχονται, γνώριμοι δὲ ὧν ὑφηγηταὶ διακελεύονται; δοῦλος γὰρ ἑκὼν οὐδείς. οἵ γε μὴν

---

1 paragraphos 32—40 hoc loco seclusit et ante paragraphum 147 transponendas esse censuit Massebieau αἱ om. M μηνύματα M ἐναργεστάτη om. M
4 εἶτ' codd.: ἄτ' H^2 (v) εἶτ' ἐφ' ὑδρείαν om. in ras. F ὑδρίαν M
5 post ἐχθροὺς add. αὐτῶν M (fortasse addendum post τάφρους l. 6) 5. 6 ἐν τῇ στρατεία F 6 ἀνατεμνόντων] ἀνορυττόντων in ras. F^2 8 τῷ ἄλλῳ] τῷ ὅλῳ coni. Mang. 9 τοῖς ὅπλοις M: τοῖς om. ceteri (Turn.) 10 ἀφ' οὗ M
ἐγχειρεῖν καὶ τοῖς] ἐγχειροῦσι καίτοι FGH¹P 12 ἐπιτηδεύοντας A ὑπηρετοῦντες ἀόκνως M: om. ceteri (Turn.) παρατρέφεσθαι MG: περιτρέφεσθαι FAHP, τρέφεσθαι QT 13 δὲ om. FGHP (Turn.) 14 καὶ συνεφήβων om. G
ἕτεροι Q δ' om. T 15 μετιόντες] ἐπιόντες QT 15. 16 καὶ κτημάτων M: καὶ om. ceteri (v) 16 τῶν ὁμοδούλων M: τῶν om. ceteri (v)
19 προσόδους] παρόδους QT 20 εἰ καὶ M: καὶ om. ceteri (Turn.)
τις GHQT (coni. Mang.): τῆς MFAP (v) ἀτυχίας AQT 21 ἐπιτελεῖν M
τὸ codd.: τῷ H^2 (v) ἑτέρῳ MQT: ἑτέρων ceteri (v) 23 δ' M
ὧν M: ὧν ἂν ceteri (v) ὑφηγηταὶ Mang.: ἀφηγοῦνται M, ὑφηγῶνται ceteri
διακελεύονται codd.: διακελεύωνται v

τοκέες οὐ τοσαύτην ὑπερβολὴν ἐπιδείξονταί ποτε μισοτεκνίας, ὥσθ' ἃ μόνα σύμβολα δουλείας ἐστί, τὰς ὑπηρεσίας, ἀναγκάσαι ἂν παῖδας τοὺς ἑαυτῶν ὑπομένειν. εἰ δέ τινας ὑπ' ἀνδραποδοκαπήλων ἐπευωνιζομένους 37
ἰδών τις οἴεται δούλους εὐθὺς εἶναι, πολὺ διαμαρτάνει τῆς ἀληθείας· οὐ γὰρ ἡ πρᾶσις ἢ κύριον ἀποφαίνει τὸν πριάμενον ἢ τὸν πραθέντα δοῦλον, ἐπεὶ καὶ πατέρες υἱῶν τιμὰς κατέθεσαν καὶ υἱοὶ πολλάκις πατέρων ἢ κατὰ λῃστείας ἁπαχθέντων ἢ κατὰ πόλεμον αἰχμαλώτων γενομένων, οὓς οἱ τῆς φύσεως νόμοι τῶν κάτωθεν ὄντες βεβαιότεροι γράφουσιν ἐλευθέρους. ἤδη δέ τινες καὶ προσυπερβάλλοντες εἰς τοὐναντίον περι- 38
ήγαγον τὸ πρᾶγμα, δεσπόται γενόμενοι τῶν πριαμένων ἀντὶ δούλων· ἔγωγ' οὖν ἐθεασάμην πολλάκις εὔμορφα παιδισκάρια καὶ φύσει στωμύλα δυσὶν ὁρμητηρίοις, ὄψεως κάλλει καὶ τῇ περὶ λόγους χάριτι, πορθοῦντα τοὺς κεκτημένους· ἐλεπόλεις γὰρ ταῦτα ψυχῶν ἀνιδρύτων καὶ ἀνερματίστων, μηχανημάτων ἁπάντων ὅσα ἐπ' ἀνατροπῇ τειχῶν κατασκευάζεται σθενα-
ρώτερα. σημεῖον δέ· θεραπεύουσιν, ἱκετεύουσιν, εὐμένειαν ὡς παρὰ 39
τύχης καὶ ἀγαθοῦ δαίμονος αἰτεῖσθαι γλίχονται, καὶ παρορώμενοι μὲν σφαδάζουσιν, εἰ δ' αὐτὸ μόνον τὸ βλέμμα ἕλεων θεάσαιντο, γεγηθότες

---

1 τοκῆες M; de forma τοκέες cf. Lobeck Phryn. p. 69 οὐ om. AQT ἐνδείξονται GAQT 2 μόνα] μόνον H (v) τὰς ὑπηρεσίας FGHP¹: τὰ τῆς ὑπηρεσίας AQTP², πρὸς ὑπηρεσίας M ἀναγκάσαι ἂν] ἀναγκαῖα M 3 τινες A 5 ἢ κύριον M: ἢ om. ceteri (v) 7 λῃστείας MFG: λῃστείαν ceteri 8 τῶν κάτωθεν] τῶν καθεστώτων coni. Mang. 9 ἐλευθερίους A τινα A, τινὰ QT 10 γἰνόμενοι A 10. 11 ἔγωγ' οὖν codd.: ἐγὼ γοῦν v 11 πολλάκις M: om. ceteri (Turn.) παιδαρίσκια A φύσει στωμύλα] φύσεις τῶν μυλάδων M 12 ποθοῦντα M, ἐπόρθει Urbin. 12. 13 τοὺς κεκτημένους M Urbin.: om. ceteri (Turn.) 13 ταῦτα MGAQT Urbin.: ταῦτά γε FHP (v) ἀνιδρύτων MGQT Urbin.: ἀϊδρύτων FAHP (Turn.) 14 ὅσα—κατασκευάζεται om. Urbin. 14. 15 σθεναρώτερα QT, σθεναρώτατα M: σθεναρώτατα ceteri (v) 17 δὲ M ἕλεων] ἕλεω M, νέων F θεάσοιντο M, θεάσονται G

---

5 Clem. Alex. Paed. III 11 p. 288 P. τὸ δὲ εὐγενὲς τῆς ἀληθείας ... οὐ πράσει καὶ ὠνῇ τὸν δοῦλον, ἀλλὰ τῇ γνώμῃ τῇ ἀνελευθέρῳ διακέκρικεν. 6 sqq. *Ambros. Epist. 37, 13* ... non videmus plerumque in potestatem piraticam vel immanium barbarorum redactos parentes a filiis redimi pecunia? numquid leges pecuniae potiores quam leges naturae? 11 sqq. *Ambros. Epist. 37, 12* non fecit igitur eum (Ioseph) servum venditio ... verum si pretium spectes, multos invenies qui emerunt sibi puellulas formae elegantioris, quarum amore capti turpi servitio sese dederunt. cf. Cic. Parad. V 2, 36. Epict. Diss. IV 1, 15 sqq. 21. 12—14 Cod. Urbin. gr. 125 fol. 308ᵛ: ὄψεως κάλλει—σθεναρώτατα.

40 ἀνορχοῦνται. εἰ μὴ καὶ τὸν λέοντας ὠνησάμενον δεσπότην φατέον εἶναι λεόντων, ὅς, εἰ μόνον ἐπανατείναιντο τὰς ὄψεις, οἵους ἐπρίατο κυρίους ὁ δύστηνος, ὡς χαλεποὺς καὶ ὠμοθύμους, αὐτίκα παθὼν εἴσεται. τί οὖν; οὐκ οἰόμεθα τὸν σοφὸν ἀδουλωτότερον εἶναι λεόντων, ἐλευθέρᾳ καὶ ἀτρώτῳ ψυχῇ τὴν ἀλκὴν ἔχοντα μᾶλλον ἢ εἰ σώματι φύσει δούλῳ καὶ εὐτονίᾳ κραταιοτάτῃ ἰσχύος ἀφηνιάζοι;

41 (7.) Μάθοι δ' ἄν τις τὴν ἐλευθερίαν, ἣ περὶ τὸν σπουδαῖόν ἐστι, καὶ ἐξ ἑτέρων· δοῦλος εὐδαίμων πρὸς ἀλήθειαν οὐδείς· τί γὰρ ἀθλιώτερον ἢ πάντων ἄκυρον εἶναί τινα καὶ ἑαυτοῦ; ὁ δέ γε σοφὸς εὐδαίμων, ἕρμα καὶ πλήρωμα καλοκἀγαθίας ἐπιφερόμενος, ἐν ᾗ τὸ κῦρός ἐστιν ἁπάντων·

42 ⟨ὥστ'⟩ ἀναμφιβόλως καὶ ἐξ ἀνάγκης ὁ σπουδαῖος ἐλεύθερός ἐστι. πρὸς τούτοις τίς οὐκ ἂν εἴποι τοὺς φίλους τῶν θεῶν ἐλευθέρους εἶναι; εἰ μὴ τοῖς μὲν τῶν βασιλέων ἑταίροις | ἄξιον οὐ μόνον ἐλευθερίαν ἀλλὰ καὶ p.452M. ἀρχὴν ὁμολογεῖν συνεπιτροπεύουσι καὶ συνδιέπουσι τὴν ἡγεμονίαν, τοῖς δὲ θεῶν τῶν ὀλυμπίων δουλείαν ἐπιφημιστέον, οἳ διὰ τὸ φιλόθεον εὐθὺς γενόμενοι θεοφιλεῖς, ἴσῃ ἀντιτιμηθέντες εὐνοίᾳ παρ' ἀληθείᾳ δικαζούσῃ, καθάπερ οἱ ποιηταί φασι, πανάρχοντές τε καὶ βασιλέες βασιλέων εἰσί.

---

1 post ἀνορχοῦνται quaedam deesse videri censuit Mang. 2—4 ὅς—λεόντων om. QT 2 ὅς MFGA: om. HP (Turn.) ἐπανατείναιντο scripsi: ἐπανατείναιτο M, ἐπανατείνοιτο G, ἐπανατείνονται F, ἐπανατείνοι AHP (v) 4 ἀδουλωτότερον M: ἀδουλώτερον H, ἀδουλότερον ceteri (v) ἐλευθέρα M: ἐλευθερίῳ F, ἐλευθερία ceteri (v) 5 ἀτρώτῳ] ἀτρέπτω AQT ᾗ om. M εἰ MH²: om. ceteri σώματι φύσει δούλῳ QT: σώμασι φύσει δούλοις MGHP (v), σωμάτων φύσει δούλοις F, σώματος φύσει δουλείας A καὶ] ἐν A 6 κραταιοτάτῃ] ἀκμαιοτάτῃ M κραταιοτάτῃ ἰσχύος suspectum propter hiatum ἀφηνιάζοι M: ἀφηνιάζει FHP, ἀφηνιάζειν GAQT 7 ἐλευθερίαν v (corr. Turn.): ἀλήθειαν codd. 9 καὶ ἑαυτοῦ] ἐξ αὐτοῦ F γε om. M καὶ εὐδαίμων M 10 ἐστι τῶν ἁπάντων F 11 ὥστ' add. Wilamowitz καὶ MG: τ' ceteri (Turn.) 12 τίς MFG: ἔτι ceteri (v) post εἴποι add. τις H² (v), om. ceteri τῶν θεῶν scripsi (cf. l. 15): τοῦ θεοῦ codd. (v) 13 οὐ M: μὴ ceteri (v) 14 ὁμολογεῖν scripsi: συνομολογεῖν codd. (v) 15 θεῶ ATHP τῶν] τὴν L (Turn.) οἳ] οἷς M φιλόθεον] ὤφειλον M 17 βασιλέες βασιλέων M: βασιλέων βασιλῆες ceteri (v)

---

1 sqq. *Ambros. Epist. 37, 13* ... plerique emptores leonum sunt, et tamen non dominantur leonibus, sed ita subiciuntur vice versa, ut si exasperatos eos excutere cervice toros viderint, fugiant et delitescant. cf. Diog. La. VI 75 (de Diogene Cynico) οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων· δούλου γὰρ τὸ φοβεῖσθαι, τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι. 9 Cic. Parad. II ὅτι αὐτάρκης ἡ ἀρετὴ πρὸς εὐδαιμονίαν. cf. Diog. La. VII 128. 15 sqq. cf. Diog. La. VI 37 et 72 (de Diogene Cynico) πάντα τῶν σοφῶν εἶναι λέγων ...· πάντα τῶν θεῶν ἐστι· φίλοι δὲ τοῖς σοφοῖς οἱ θεοί· κοινὰ δὲ τὰ τῶν φίλων· πάντα ἄρα τῶν σοφῶν.

νεανικώτερον δ' ὁ τῶν Ἰουδαίων νομοθέτης προσυπερβάλλων, ἅτε γυμνῆς ὡς 43
λόγος ἀσκητὴς φιλοσοφίας, τὸν ἔρωτι θείῳ κατεσχημένον καὶ τὸ ὂν μόνον
θεραπεύοντα οὐκέτ' ἄνθρωπον ἀλλὰ θεὸν ἀπετόλμησεν εἰπεῖν (Exod. 7, 1)·
ἀνθρώπων μέντοι θεόν, οὐ τῶν τῆς φύσεως μερῶν, ἵνα τῷ πάντων
καταλίπῃ πατρὶ τὸ θεῶν εἶναι βασιλεῖ καὶ θεῷ. ἆρ' ἄξιον τὸν προνομίας 44
τοσαύτης τετυχηκότα δοῦλον ἢ μόνον ἐλεύθερον εἶναι νομίζειν; ὃς εἰ
καὶ θείας οὐκ ἠξίωται μοίρας καθ' αὑτόν, ἀλλά τοι διὰ τὸ φίλῳ θεῷ χρῆ-
σθαι πάντως ὤφειλεν εὐδαιμονεῖν· οὔτε γὰρ ἀσθενὴς ὁ ὑπέρμαχος οὔτε φιλι-
κῶν ἀμελὴς δικαίων θεὸς ἑταιρεῖος ὢν καὶ τὰ κατὰ τοὺς ἑταίρους ἐφορῶν.
ἔτι τοίνυν, ὥσπερ τῶν πόλεων αἱ μὲν ὀλιγαρχούμεναι καὶ τυραννούμεναι 45
δουλείαν ὑπομένουσι χαλεποὺς καὶ βαρεῖς ἔχουσαι δεσπότας τοὺς ὑπαγο-
μένους καὶ κρατοῦντας, αἱ δὲ νόμοις ἐπιμεληταῖς χρώμεναι καὶ προστάταις
εἰσὶν ἐλεύθεραι, οὕτως καὶ τῶν ἀνθρώπων, παρ' οἷς μὲν ὀργὴ ἢ
ἐπιθυμία ἤ τι ἄλλο πάθος ἢ καὶ ἐπίβουλος κακία δυναστεύει, πάντως
εἰσὶ δοῦλοι, ὅσοι δὲ μετὰ νόμου ζῶσιν, ἐλεύθεροι. νόμος δὲ ἀψευδὴς 46
ὁ ὀρθὸς λόγος, οὐχ ὑπὸ τοῦ δεῖνος ἢ τοῦ δεῖνος, θνητοῦ φθαρτός, ἐν
χαρτιδίοις ἢ στήλαις, ἄψυχος ἀψύχοις, ἀλλ' ὑπ' ἀθανάτου φύσεως ἄφ-
θαρτος ἐν ἀθανάτῳ διανοίᾳ τυπωθείς. διὸ καὶ θαυμάσαι ἄν τις τῆς 47
ἀμβλυωπίας τοὺς τρανὰς οὕτω πραγμάτων ἰδιότητας μὴ συνορῶντας, οἳ
μεγίστοις μὲν δήμοις Ἀθήναις καὶ Λακεδαίμονι πρὸς ἐλευθερίαν αὐταρ-

---

1 δὲ M τῶν Ἰουδαίων ὁ νομοθέτης M γυμνῆς] γνησίας coni. Mang.
2 κατισχημένον MAQT 3 ἀλλὰ θεὸν M: om. ceteri (Turn.) 4 θεὸν] θεῶν M 5 καταλείπῃ HP (v) θεῶν MG: θεὸν ceteri (v); τούτων coni. Mang. βασιλεῖ καὶ θεῷ] βασιλέα καὶ θεὸν coni. Mang. ἆρ' MFA: ἄρα ceteri (v) προνομίας] προνοίας AQT 6 ὃς] ὅπερ Q 7 καθ' ἑαυτὸν G φίλον HP 8 ὑπέρμαχος] ὕπαρχος F 9 θεὸς om. AQT τὰ MF²: om. ceteri (Turn.) ἑτέρους A ἀφορῶν P 10 καὶ τυραννούμεναι om. AQT 11 τοὺς] τὰς F 13 ἐλεύθεροι MGT οὕτως MF: οὕτω ceteri (v) ὀργὴ M: ἂν ὀργὴ ceteri (v) 13. 14 ἢ ἐπιθυμία M: καὶ ἐπιθυμία ceteri (Turn.) 14 ἐπίβουλος] ἐπιβουλῆς F, ἐπιβουλὰς H¹P, ἐπὶ βουλὰς G δυναστεύει M: δυνα-στεύσει AQT, δυναστεύση FGHP (Turn.) πάντων M 15 δὲ post νόμος om. M 16 ὁ om. P¹, ss. P² alterum τοῦ om. F φθαρτός] γραπτός F 17 ὑπὸ M 19 οὕτω] εἶναι M 20 ἀθήναις καὶ λακεδαίμονι MGPAQT: ἀθήναις καὶ λακεδαίμοσι F, ἀθήναις καὶ λακεδαιμόνιοι H (sed οι add. H²), ἀθηναίων καὶ λακεδαιμονίων L (v) ἐλευθερίαν] εὐδαιμονίαν mg P

---

3 Exod. 7, 1 ἰδοὺ δέδωκά σε θεὸν Φαραώ. 15 sqq. *Ambros. Epist. 37, 32* illi autem liberi sunt, qui legibus vivunt. lex autem vera sermo rectus, lex vera non insculpta tabulis nec aere incisa, sed impressa mentibus atque infixa sensibus. cf. de migr. Abrah. § 130. de Josepho § 29. de praem. et poen. § 55. Stob. Ecl. II 7, 11ᵈ. Cic. de leg. I 6, 18.

κεστάτους εἶναί φασι τοὺς Σόλωνος καὶ Λυκούργου νόμους κρατοῦντάς τε καὶ ἄρχοντας, πειθαρχούντων αὐτοῖς τῶν πολιτευομένων, σοφοῖς δὲ ἀνδράσι τὸν ὀρθὸν λόγον, ὃς καὶ τοῖς ἄλλοις ἐστὶ πηγὴ νόμοις, οὐχ ἱκανὸν εἶναι πρὸς μετουσίαν ἐλευθερίας ὑπακούουσι πάντων, ἅττ' ἂν ἡ προστάττῃ ἢ ἀπαγο-
48 ρεύῃ. πρὸς τοίνυν τοῖς εἰρημένοις ἐναργεστάτη πίστις ἐλευθερίας ἰσηγορία, ἣν οἱ σπουδαῖοι πάντες ἄγουσι πρὸς ἀλλήλους. ὅθεν καὶ τὰ τρίμετρα φιλοσόφως ἐκεῖνά φασιν εἰρῆσθαι·

| „οὐ γὰρ μετεῖναι τῶν νόμων δούλοις ἔφυ." p.453 M.

καὶ πάλιν·

„δοῦλος πέφυκας, οὐ μέτεστί σοι λόγου."

49 καθάπερ οὖν ὁ μουσικὸς νόμος ἅπασι τοῖς ἐπιτετηδευκόσι μουσικὴν ἰσηγορίας τῆς ἐν τῇ τέχνῃ μεταδίδωσι καὶ ὁ γραμματικὸς ἢ ὁ γεωμετρικὸς γραμματικοῖς ἢ γεωμέτραις, οὕτω καὶ ὁ ἐν τῷ βίῳ νόμος τοῖς ἐμπείροις
50 τῶν βιωτικῶν. οἱ δὲ σπουδαῖοι πάντες ἔμπειροι τῶν κατὰ τὸν βίον πραγμάτων εἰσίν, ὁπότε καὶ τῶν ἐν ἁπάσῃ τῇ φύσει· καὶ εἰσί τινες αὐτῶν ἐλεύθεροι, ὥστε καὶ ὅσοι τούτοις ἰσηγορίας μετέχουσιν. οὐδεὶς ἄρα τῶν
51 σπουδαίων δοῦλος, ἀλλ' ἐλεύθεροι πάντες. (8.) ἀπὸ δὲ τῆς αὐτῆς ἀφορμῆς καὶ ὅτι δοῦλος ὁ ἄφρων ἐστίν, ἐπιδειχθήσεται. ὥσπερ γὰρ ὁ κατὰ μουσικὴν νόμος οὐ δίδωσιν ἰσηγορίαν ἀμούσοις πρὸς μεμουσωμένους οὐδ' ὁ κατὰ γραμματικὴν ἀγραμμάτοις πρὸς γραμματικοὺς οὐδὲ συνόλως

---

2 δ' A 3 πηγῆς M νόμοις om. M 4 ὑπακούουσι MFGHP¹: τοῖς ὑπακούουσι AQTP² (Mang.) ἅττ' HPQT: ἄτ' GA, ὅτ' F, ἔτι M prius ἢ om. M 4. 5 προστάττῃ ἢ (ἡ M) ἀπαγορεύῃ codd.: προστάττει ἢ ἀπαγορεύει H²; προτάττει ἢ ἀπαγορεύει v 5 τοίνυν] τὴν ἐπὶ M ἰσηγορία codd.: ἡ ἰσηγορία Mang. 6 τὰ om. QT τρίμετρα] τρία μέτρα HP¹ (Turn.) 7 φασὶν ἐκεῖνα transp. A 8 τὸν νόμον F; τῶν λόγων coni. Mang. 8. 9 ἔφυ. καὶ πάλιν Mang.: ἔφη· καὶ πάλιν GF²AH², ἐφῆκε· πάλιν F¹H¹PQT, ἐφῆκεν πάλιν M 11 νόμος M (coni. Ausfeld): λόγος ceteri (v) μουσικῆς M 12 τῇ om. HP (Turn.) ὁ γεωμέτρης QT (coni. Mang.) ὁ ante γεωμετρικὸς om. v 13 τῷ om. M 14 οἱ δὲ σπουδαῖοι πάντες M: οἳ δεσποτείας οἱ πάντες G, οἳ δεσπόταις οἱ πάντες H¹P, οἱ δεσπόται οὐ πάντες H², ἢ δεσπόταις οἳ πάντες AQT, οἳ πάντες F (οἱ δὲ δεσπόται ἅπαντες Turn., οἱ δὲ σπουδαῖοι ἅπαντες Mang.) 15 εἰσίν] εἰσί v ἐν πάσῃ QT verba καὶ εἰσί—μετέχουσιν (16) delenda censet Ausfeld καὶ ante εἰσί] κἂν M 16 τούτοις] τῆς P 18 ὁ ante ἄφρων om. M ἀποδειχθήσεται F 20 οὐδ'] ὁ δ' Q

---

8 frg. trag. adesp. 326. 10 frg. trag. adesp. 304 laud. etiam ap. M. Antoninum XI 30.

ὁ τεχνικὸς πρὸς τεχνίτας ἀτέχνοις, οὕτως οὐδ' ὁ βιωτικὸς νόμος ἰσηγορίας μεταδίδωσι τοῖς κατὰ τὸν βίον ἀπείροις πρὸς ἐμπείρους. τοῖς δ' ἐλευθέ- 52
ροις ἡ ἐκ νόμου πᾶσιν ἰσηγορία δίδοται· καὶ εἰσί τινες τῶν σπουδαίων ἐλεύθεροι· καὶ τῶν βιωτικῶν ἄπειροι μὲν οἱ φαῦλοι, ἐμπειρότατοι δ' οἱ σοφοί· οὐκ ἄρ' εἰσί τινες τῶν φαύλων ἐλεύθεροι, δοῦλοι δὲ πάντες. ὁ δὲ Ζήνων, εἰ καί τις ἄλλος ὑπ' ἀρετῆς ἀχθείς, νεανικώτερον ἀποδείκνυσι 53
περὶ τοῦ μὴ εἶναι τοῖς φαύλοις ἰσηγορίαν πρὸς ἀστείους. φησὶ γάρ· „οὐκ οἰμώξεται μὲν ὁ φαῦλος, ἐὰν ἀντιλέγῃ τῷ σπουδαίῳ; οὐκ ἄρ' ἐστὶν ἰσηγορία τῷ φαύλῳ πρὸς σπουδαῖον." οἶδ' ὅτι πολλοὶ τοῦ λόγου 54
κατακερτομήσουσιν ὡς αὐθαδείᾳ τὸ πλέον ἐρωτηθέντος ἢ συνέσει. μετὰ δὲ τὴν χλεύην παυσάμενοι τοῦ γέλωτος ἢν ἐθελήσωσι διακύψαι καὶ τὸ λεγόμενον σαφῶς ἐρευνῆσαι, καταπλαγέντες αὐτοῦ τὸ ἀψευδὲς εἴσονται, ὅτι ἐπ' οὐδενὶ μᾶλλον οἰμώξεταί τις ἢ τῷ μὴ πειθαρχεῖν τῷ σοφῷ. ζημία γὰρ χρημάτων ἢ ἀτιμία ἢ φυγαὶ ἢ αἱ διὰ πληγῶν ὕβρεις ἢ ὅσα 55
ὁμοιότροπα βραχέα καὶ τὸ μηδὲν ἀντιτιθέμενα κακίαις καὶ ὧν αἱ κακίαι δημιουργοί. τοὺς δὲ πολλούς, οὐ συνορῶντας τὰς ψυχῆς βλάβας διὰ λογισμοῦ πήρωσιν, ἐπὶ μόναις ταῖς ἐκτὸς συμβέβηκεν ἄχθεσθαι, τὸ κριτήριον ἀφῃρημένους, ᾧ μόνῳ καταλαβεῖν ἔστι διανοίας ζημίαν. εἰ δὲ 56
p. 454 M. δυνηθεῖεν ἀναβλέψαι, θεασάμενοι τὰς δι' ἀφροσύνης ἀπάτας καὶ τὰς ἐκ | δειλίας ἐπηρείας καὶ ὅσα ἀκολασία παρῴνησεν ἢ ἀδικία παρηνόμησεν, ἐπὶ

---

1 τεχνικὸς] τεχνίτης FA ἀτέχνους M 2 ἀπείροις] ἀπόροις T
3 ἡ ἐκ νόμου] ἓν ὄνομα M verba καὶ εἰσί τινες τῶν σπουδαίων ἐλεύθεροι delenda censet Ausfeld τῶν ante σπουδαίων om. H (Turn.)
5 οὐκ ἄρ'] οὐκ ἄρα A, οὐ γὰρ M 6 ἀχθείς] ἀπαχθείς HP (Turn.)
8 ὠμώξεται M μὲν codd.: om. v οὐκ ἄρ'] οὐκ ἄρα A, οὐ γὰρ M
9 πολλοὶ om. HP (Turn.) 10 ἐρωτηθέντος M (ἐρωτηθέντος v): ἔρωτι θέντες GT, ἐρωτηθέντες ceteri 11 ἢν ἐθέλωσι F ante διακύψαι add. τὸ M
11. 12 τὸ ante λεγόμενον om. A 12 σαφῶς] σοφῶς Mang. ἑρμηνεῦσαι FQT καταπλαγέντες] καταλαβόντες coni. Mang. αὐτοῦ M: αὐτὸ ceteri
13 ἐπ'] ἐν M τῷ σοφῷ M: τῷ om. ceteri (Turn.) 14 ἢ αἱ φυγαὶ Q ἢ ἡ διὰ πληγῶν ὕβρις M 15 καὶ τὸ μηδὲν MFGHP: ἢ τὸ μηδὲν ἔβλαψαν AQT (Mang.) αἱ κακίαι M: αἱ om. ceteri (Turn.) 16 τὰς ψυχῆς M: τὰς τῶν ψυχῶν AQT, ψυχῶν (om. τὰς) ceteri 18 ᾧ μόνῳ M: ἢ μόνον F^1, ᾧ μόνον F^2, δι' οὗ (δ H^1) μόνον HP (ν), δι' οὗ μόνου AQT, καὶ οἰομένους G ἔστι] ἐστι δυνατὸν F 19 ἀντιβλέψαι QT θεασάμεναι M, θεώμενοι H (Turn.)
δι' ἀφροσύνης MHP: δι' ἀφροσύνην ceteri 20 ἐπηρείας] ἀπορίας AQT (Mang.)

---

1. 2 cf. Epict. Diss. IV 1, 117 καὶ οὕτως ἐφ' ἑκάστης ὕλης τὸν ἔμπειρον τοῦ ἀπείρου κρατεῖν πᾶσα ἀνάγκη. ὅστις οὖν καθόλου τὴν περὶ βίον ἐπιστήμην κέκτηται, τί ἄλλο ἢ τοῦτον εἶναι δεῖ τὸν δεσπότην; 8 Zeno frg. 228 (Arnim).

ταῖς τοῦ ἀρίστου συμφοραῖς λύπης ἀπαύστου γεμισθέντες οὐδὲ παρηγο-
57 ρίας δι' ὑπερβολὰς κακῶν ἀνέξονται. ἔοικε δὲ ὁ Ζήνων ἀρύσασθαι τὸν λόγον ὥσπερ ἀπὸ πηγῆς τῆς Ἰουδαίων νομοθεσίας, ἐν ᾗ δυοῖν ὄντοιν ἀδελφοῖν, τοῦ μὲν σώφρονος, τοῦ δ' ἀκολάστου, λαβὼν οἶκτον ὁ κοινὸς ἀμφοῖν πατὴρ τοῦ μὴ ἐπ' ἀρετὴν ἥκοντος εὔχεται, ἵνα δουλεύσῃ τῷ ἀδελφῷ, τὸ δοκοῦν μέγιστον εἶναι κακόν, δουλείαν, ἀγαθὸν τελεώτατον ὑπολαμβάνων ἄφρονι, τὸ μὲν αὐτεξούσιον ἀφῃρημένῳ πρὸς τὸ μὴ σὺν ἀδείᾳ πλημμελεῖν, ἐκ δὲ τῆς τοῦ προεστῶτος προστασίας βελτιωθησομένῳ τὸ ἦθος.
58 (9). Τὰ μὲν οὖν λεχθέντα πρὸς τὴν τοῦ ζητουμένου διασύστασιν ἔμοιγε ἀποχρῶντα ἦν. ἐπεὶ δὲ τὰ ποικίλα τῶν νοσημάτων ἰατροῖς ἔθος ποικιλωτέραις ἰᾶσθαι θεραπείαις, ἀνάγκη καὶ τοῖς παραδόξοις νομιζομένοις τῶν προβλημάτων διὰ τὸ ἄηθες ἐπάγειν πίστεις ἐπαλλήλους προσεγχρίοντας· μόλις γὰρ ἔνιοι συνεχείᾳ πληττόμενοι τῶν ἀποδείξεων αἰσθάνονται.
59 λέγεται τοίνυν οὐκ ἀπὸ σκοποῦ, ὅτι ὁ φρονίμως πάντα ποιῶν εὖ ποιεῖ

---

1 ante λύπης add. καὶ M 2 ὑπερβολὴν AQT δ' M 3 ἀπὸ πηγῆς codd.: ἀπὸ τῆς πηγῆς v δυεῖν G ὄντοιν] ὄντων conicio 4 δὲ M 5 τῷ ἀδελφῷ] τἀδελφῶ A 6 κακὸν εἶναι transp. M δουλείας A, δούλου T 7 μὲν] δὲ F πρὸς τῶ QT 8 πλημελεῖν P, πλημελῆ G δὲ om. F βέλτιον θησομένω AQT 9 οὖν om. QT σύστασιν QT 10 ἀποχρώντως AQT 11 ποικιλοτέραις AQT post ποικιλωτέραις add. εἰώθασι HP, sed rursus expunxit H θεραπείαις ἰᾶσθαι transp. HP (v) τῶν παραδόξων νομιζομένων QT, τῶν παραδόξων λογιζομένων A 12 διὰ ante τῶν προβλημάτων transp. AQT ἄηθες] ἀληθὲς MQT ἐπαλλήλαις H^1P, ἐπ' ἀλλήλαις F, ἐπ' ἀλλήλους T, πρὸς ἀλλήλους M 12. 13 προσεγχρίοντας MFGP^1: προσεγ-
πτ
χρίοντας H, προσεγχρίπτοντας T, προσεγχρίμπτοντας AQP^2 (v) 13 γὰρ] μὲν QT πληττόμενοι] πλαττόμενοι $F^1GH^2P^1$, πραττόμενοι H^1 (φραττόμενοι Turn.) 14 πάντα ante ποιῶν om. H (Turn.) εὖ ποιεῖ—πάντα ποιῶν (17, 1) om. AQT

---

3 sqq. Gen. 27, 40 καὶ τῷ ἀδελφῷ σου δουλεύσεις. 14 sqq. *Ambros. Epist. 37, 19* ... sapiens omnia quae facit bene facit: qui autem bene facit omnia, recte facit omnia: qui vero recte facit omnia, utique inoffense et irreprehensibiliter et sine damno et commotione sui facit omnia, cui igitur hoc subest, ut inoffense faciat omnia, faciat irreprehensibiliter, faciat sine commotione sui, sine damno, nihil insipienter facit, sed sapienter omnia, qui autem sapienter facit, nihil habet quod metuat; metus enim in peccato est: ubi autem nulla formido, ibi libertas: ubi libertas, ibi potestas faciendi quod vult. solus ergo sapiens liber est. Stob. Ecl. II 7, 11g (ἀρέσκει τῷ τε Ζήνωνι καὶ τοῖς ἀπ' αὐτοῦ Στωικοῖς φιλοσόφοις)... καὶ τὸν μὲν σπουδαῖον ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενον ἐν τοῖς πραττομένοις ὑπ' αὐτοῦ πάντ' εὖ ποιεῖν, καθάπερ φρονίμως καὶ σωφρόνως καὶ κατὰ τὰς ἄλλας ἀρετάς, τὸν δὲ φαῦλον κατὰ τοὐναντίον κακῶς (Zeno frg. 216 Arnim). II 7, 11i ... πάντα τε εὖ ποιεῖ ὁ νοῦν ἔχων, καὶ γὰρ φρονίμως καὶ ἐγκρατῶς ... ταῖς περὶ τὸν βίον ἐμπειρίαις χρώμενος συνεχῶς, ὁ δὲ φαῦλος ... πάντα κακῶς ποιεῖ ...

πάντα, ὁ δ' εὖ ποιῶν πάντα ὀρθῶς ποιεῖ πάντα, ὁ δ' ὀρθῶς πάντα ποιῶν καὶ ἀναμαρτήτως καὶ ἀμέμπτως καὶ ἀνεπιλήπτως καὶ ἀνυπευθύνως καὶ ἀζημίως, ὥστ' ἐξουσίαν σχήσει πάντα δρᾶν καὶ ζῆν ὡς βούλεται· ᾧ δὲ ταῦτ' ἔξεστιν, ἐλεύθερος ἂν εἴη. ἀλλὰ μὴν πάντα φρονίμως ποιεῖ ὁ ἀστεῖος· μόνος ἄρα ἐστὶν ἐλεύθερος. καὶ μὴν ὃν μὴ ἐνδέχεται μήτ' 60 ἀναγκάσαι μήτε κωλῦσαι, ἐκεῖνος οὐκ ἂν εἴη δοῦλος· τὸν δὲ σπουδαῖον οὐκ ἔστιν οὔτ' ἀναγκάσαι οὔτε κωλῦσαι· οὐκ ἄρα δοῦλος ὁ σπουδαῖος. ὅτι δ' οὔτ' ἀναγκάζεται οὔτε κωλύεται, δῆλον· κωλύεται μὲν γὰρ ὁ μὴ τυγχάνων ὧν ὀρέγεται, ὀρέγεται δ' ὁ σοφὸς τῶν ἀπ' ἀρετῆς, ὧν ἀποτυγχάνειν οὐ πέφυκε. καὶ μὴν εἰ ἀναγκάζεται, δῆλον ὅτι ἄκων τι ποιεῖ· ἐν οἷς δὲ αἱ πράξεις, ἢ ἀπ' ἀρετῆς εἰσι κατορθώματα ἢ ἀπὸ κακίας

---

1 δὲ M πάντα post ποιεῖ om. M πάντα ποιῶν] ποιῶν πάντα F 2 καὶ ante ἀμέμπτως om. AQT ἀμέμπτως τὲ καὶ QT καὶ ante ἀνεπιλήπτως om. A ἀνεπιλήπτως MAT: ἀνεπιπλήκτως ceteri (v) 3 ὥστ'] οὗτος AQT ἐξουσία F σχήσει om. F 4 ταῦτα FG 5 ἄρα] γὰρ T 6—7 ἐκεῖνος—κωλῦσαι MG: om. ceteri (Turn.) 6 ἐκεῖνος post δοῦλος transp. G τὸν M: εἰ G 7 οὔτ' ἀναγκάσαι οὔτε κωλῦσαι MG: ἀναγκάσαι οὐδὲ κωλῦσαι Mang. 8 οὔτ'] οὐκ M μὲν om. P 9 δὲ M 10 ποιεῖ] ἐποίει M 11 ἐν οἷς] ἀνθρώποις coni. Arnim ἡ πρᾶξις M εἰσι] ἐστι FGAT

---

2 Diog. La. VII 122 ἔτι καὶ ἀναμαρτήτους (εἶναι τοὺς σοφούς), τῷ ἀπεριπτώτους εἶναι ἁμαρτήματι. 5sqq. *Ambros. Epist. 37, 20* etenim qui neque cogi potest neque prohiberi, is nequaquam servus: sapientis autem neque cogi neque prohiberi: non est igitur servus sapiens. prohibetur enim qui non fungitur iis quae desiderat: quae autem desiderat sapiens nisi ea quae virtutis et disciplinae sunt, sine quibus esse non potest? ... quod si cogitur, manifestum est quod invitus faciat. in omnibus autem factis aut a virtute correctiones sunt aut a malitia prolapsiones aut media et indifferentia. virtutis non coactus sed voluntarius exsecutor est sapiens, quoniam omnia quae placent agit, malitiae fugitans, nec somnium eius admittit. indifferentibus ita non movetur, ut nullis momentis sicut vulgus hominum huc atque illuc inclinetur, sed tamquam in statera mens eius aequa lance pendeat, ut neque ad voluptaria propendeat neque omnino ad ea quae sunt aversanda vel leviter studium inclinet suum, sed immobilis maneat affectu. unde liquet, quia nihil invitus facit sapiens neque cogitur, quia si servus esset cogeretur: liber est igitur sapiens. cf. *Cic. Parad. V 1, 34* soli igitur hoc contingit sapienti, ut nihil faciat invitus, nihil dolens, nihil coactus. Epict. Diss. I 12, 9 ἐλεύθερος γάρ ἐστιν, ᾧ γίνεται πάντα κατὰ προαίρεσιν καὶ ὃν οὐδεὶς δύναται κωλῦσαι. IV 1, 1 ἐλεύθερός ἐστιν ὁ ζῶν ὡς βούλεται, ὃν οὔτ' ἀναγκάσαι ἔστιν οὔτε κωλῦσαι οὔτε βιάσασθαι. IV 1, 128 ὁ ἀκώλυτος ἄνθρωπος ἐλεύθερος, ᾧ πρόχειρα τὰ πράγματα ὡς βούλεται· ὃν δ' ἔστιν ἢ κωλῦσαι ἢ ἀναγκάσαι ἢ ἐμποδίσαι ἢ ἄκοντα εἴς τι ἐμβαλεῖν, δοῦλός ἐστι. Stob. Ecl. II 7, 11ε παρ' δ καὶ οὔτε ἀναγκάζεται (ὁ σπουδαῖος) ὑπό τινος οὔτε ἀναγκάζει τινά, οὔτε κωλύεται οὔτε κωλύει, οὔτε βιάζεται ὑπό τινος οὔτ' αὐτὸς βιάζει τινά κτλ.

61 ἁμαρτήματα ἢ μέσα καὶ ἀδιάφορα. τὰ μὲν οὖν ἀπ' ἀρετῆς οὐ βιασθεὶς ἀλλ' ἑκών — αἱρετὰ γάρ ἐστιν αὐτῷ πάνθ' ἃ δρᾷ —, τὰ δ' ἀπὸ κακίας ἅτε φευκτὰ οὐδ' ὅναρ πράττει· οὐδὲ μὴν τὰ ἀδιάφορα εἰκός, πρὸς ἃ καθάπερ ἐπὶ πλάστιγγος ἡ διάνοια ἰσορροπεῖ, δεδιδαγμένη μήτε ὡς ὀλκὸν ἔχουσι δύναμιν ἐνδιδόναι μήθ' ὡς ἀποστροφῆς ἀξίοις δυσχεραίνειν. ἐξ ὧν ἐστι δῆλον, ὅτι οὐδὲν ἄκων ποιεῖ οὐδ' ἀναγκάζεται· δοῦλος δ' εἴπερ ἦν, ἠναγκάζετ' ἄν· ὥστ' ἐλεύθερος ἂν εἴη ὁ ἀστεῖος.

62 (10.) Ἐπεὶ δέ τινες τῶν | ἥκιστα κεχορευκότων Μούσαις λόγων p.455 M. ἀποδεικτικῶν οὐ συνιέντες, οἳ τὰς καθόλου τῶν πραγμάτων ἐμφάσεις παριστᾶσιν, εἰώθασιν ἐρωτᾶν· τίνες οὖν ἢ πρότερον γεγόνασιν ἄνδρες ἢ νῦν εἰσιν, ὁποίους ἀναπλάττετε; καλόν γε ἀποκρίνασθαι, ὅτι καὶ πάλαι τινὲς ἦσαν οἳ τῶν καθ' ἑαυτοὺς ἀρετῇ διέφερον, ἡγεμόνι μόνῳ θεῷ χρώμενοι καὶ κατὰ νόμον, τὸν ὀρθὸν φύσεως λόγον, ζῶντες, οὐκ ἐλεύθεροι μόνον, ἀλλὰ καὶ τοὺς πλησιάζοντας ἐλευθέρου φρονήματος ἀναπιμπλάντες, καὶ ἐφ' ἡμῶν αὐτῶν ἔτ' εἰσὶν ὥσπερ εἰκόνες ἀπὸ ἀρχετύπου

---

1. 2 καὶ ἀδιάφορα — αἱρετὰ γὰρ om. F διάφορα T ἀπ'] ἐπ' H^1P οὐ om. H^1, ss. H^2 2 αἱρετὰ] ἀρεταὶ HP^1 (Turn.) ante ἐστιν add. καὶ F ἐστιν] εἰσιν H (v) αὐτῷ ἐστὶ transp. M πάνθ' ἃ FGA: πάντα M, πάνθ' ὅσα HP (v), πάνθ' ὅσα ἂν QT ἀπὸ] ὑπὸ T 4 ἰσορρεπεῖ M μήθ' ὡς A, μὴ τέως F 5 ἐνδιδόναι] εἰδέναι QT μήθ'] μήδ' FH^2 (μήτ' v) ἀποστροφῆς — δῆλον] ἀποστραφῆναι, ὡς δῆλον M (cf. l. 8) 6 ποιεῖ MFG: om. ceteri δ'] τ' QT 7 ἠναγκάζετο (om. ἄν) M ὥστε M ἐλεύθερος] ἐκτὸς M 8 ἐπεὶ δέ GAQT: ἐπειδή MFH^1P, ἐπειδὴ δέ H^2 (v) post τινες add. ἀξιοῦσι δυσχεραίνειν ἐξ ὧν ἐστι M (cf. l. 5) κεχορευκότων codd.: συγκεχορευκότων v; cf. de aetern. mundi § 55. de post. Caini § 137 8. 9 post λόγων ἐπιδεικτικῶν deesse δύναμιν coni. Mang.; sed cf. e. gr. Herod. I 47. IV 113. Thuc. I 3, 4 9 οἳ] οὐ MQT τὰς] τὰ H^1P 10 παριστῶσιν G, ἱστῶσιν AQT, παριστᾶσιν om. M ἢ ante πρότερον om. M 11 ἀναπλάττετε GAQTH^2: ἀναπράττετε M, ἀναπλάττεται FH^1P, ἀναπλάττεσθαι L (ἀναπλάττεσθε v) γε om. M ὅτι MH^2: διότι ceteri 12 οἳ om. F οἳ τῶν καθ' ἑαυτοὺς M: τῶν καθ' αὐτοὺς οἳ ceteri (v) ἀρετῇ διέφερον] ἀρετῶν διαφέροντες F 13 τὸν ὀρθῶς M, τῶν ὀρθῶν G λόγων G 14 φρονήματος ἐλευθέρου τοὺς πλησιάζοντας transp. M 14. 15 ἀναπιμπλῶντες MAQT 15 ἔτ' M: ἔτι ceteri (v) εἰσὶν ἔτι transp. F ἀπ' A, ἀπὸ om. M

---

15 sqq. *Seneca de const. sap. 7, 1* Non est quod dicas, ita ut soles, hunc sapientem nostrum nusquam inveniri. non fingimus istud humani ingenii vanum decus nec ingentem imaginem falsae rei concipimus, sed qualem conformamus, exhibuimus, exhibebimus, raro forsitan magnisque aetatium intervallis unum; neque enim magna et excedentia solitum ac vulgarem modum crebro gignuntur. *Epist. 42, 1* nec est mirum ex intervallo magna generari: mediocria et in turbam nascentia saepe fortuna producit, eximia vero ipsa raritate commendat.

γραφῆς, σοφῶν ἀνδρῶν καλοκἀγαθίας, τυπωθέντες. οὐ γάρ, εἰ αἱ τῶν 63
ἀντιλεγόντων ψυχαὶ κεχηρεύκασιν ἐλευθερίας, ὑπ' ἀφροσύνης καὶ τῶν
ἄλλων κακιῶν δουλαγωγηθεῖσαι, διὰ τοῦτο καὶ τὸ τῶν ἀνθρώπων γένος.
εἰ δὲ μὴ κατὰ στίφη μεγάλα προῖασιν ἀγεληδόν, θαυμαστὸν οὐδέν· πρῶτον
μέν, ὅτι τὰ λίαν καλὰ σπάνια, εἶτ' ἐπειδὴ τὸν τῶν εἰκαιοτέρων ἐκτρεπό-
μενοι πολὺν ὅμιλον θεωρίᾳ τῶν τῆς φύσεως σχολάζουσιν, εὐχόμενοι μέν,
εἴ πως ἐνῆν, ἐπανορθώσασθαι τὸν βίον — κοινωφελὲς γὰρ ἡ ἀρετή —,
τὸ δὲ ἀδυνατοῦντες, πλημμυρούντων κατὰ πόλεις ἀλλοκότων πραγμάτων,
ἃ ψυχῆς πάθη ⟨καὶ⟩ κακίαι συνηύξησαν, ἀποδιδράσκουσιν, ὡς μὴ τῇ
ῥύμῃ τῆς φορᾶς καθάπερ ἀπὸ χειμάρρου βίας κατασυρεῖεν. ἡμᾶς δέ, 64
εἰ βελτιώσεως ζῆλός τις ἦν, ἰχνηλατεῖν ἔδει τὰς τούτων καταδύσεις
καὶ ἱκέτας καθεζομένους παρακαλεῖν, ἵνα τεθηριωμένον τὸν βίον προσ-
ελθόντες ἐξημερώσωσιν, ἀντὶ πολέμου καὶ δουλείας καὶ κακῶν ἀμυθήτων
εἰρήνην καὶ ἐλευθερίαν καὶ τὴν τῶν ἄλλων ἀγαθῶν ἀφθονίαν περιρρεο-
μένην καταγγείλαντες. νυνὶ δὲ χρημάτων μὲν ἕνεκα πάντας μυχοὺς 65
ἐρευνῶμεν καὶ γῆς στρυφνὰς καὶ ἀποκρότους φλέβας ἀναστέλλομεν, καὶ
μεταλλεύεται μὲν πολλὴ τῆς πεδιάδος, μεταλλεύεται δὲ οὐκ ὀλίγη τῆς
ὀρεινῆς, χρυσὸν καὶ ἄργυρον, χαλκόν τε καὶ σίδηρον, καὶ τὰς ἄλλας
ὕλας ἀναζητούντων. θεοπλαστοῦσα δὲ ἡ κενὴ δόξα τὸν τῦφον ἄχρι καὶ 66
βυθοῦ κατέβη θαλάττης διερευνωμένη, μή τι τῶν πρὸς αἴσθησιν ἀφανὲς

1 σοφῶν om. M καλοκάγαθία MA 2 ὑπὸ M 3 κακιῶν] κακῶν FHP (Turn.) τὸ τῶν MP: τῶν om. GH (v), τὸ τῶν om. FAQT 4 μεγάλα MFG: om. ceteri (Turn.) 5 καλὰ σπάνια] καλῶς πάνυ M τῶν οἰκειοτέρων AQTL (Turn.) 5. 6 ἐντρεπόμενοι AQT 6 σχολάζουσιν] ἐνσχολάζουσιν coni. Mang.; sed cf. de opif. mundi § 128. de vita Mos. II § 211 εὐχομένων F 7 εἴ πως] εἴπερ G, ὡς F 8 τὸ δὲ] τὸ δ' AQT, τῶ δὲ M; τοῦτο δὲ coni. Mang. ἀδυνατοῦντες G (Mang.): ἀδυνατεῖν MH² (Turn.), ἀδυνατοῦν ceteri ἀλλοκότων] ἀλλὰ καὶ τῶν M 9 πάθει A καὶ add. Mang. κακίαι Mang.: κακίαις M, κακία ceteri (κακίᾳ v) συνηύξησαν M (coni. Mang.): συνηυξήθησαν ceteri (v) ἀποδιδράσκειν M 10 ἀπὸ] ὑπὸ coni. Ausfeld βία M κατασυρεῖεν MG (Mang.): κατασύρειν FAH¹P, κατασύρῃ QT, κατασυρῇναι H² (Turn.) 11 ζῆλός τις M: τις ζῆλος ceteri (v) 12 παρακλεῖν (sic) A 12. 13 παρελθόντες M 13 πολέμων A καὶ ante κακῶν om. M 14. 15 περιρρεομένην G: om. M, περιρρεομένους ceteri 15 καταγγείλαντας A, ἀπαγγείλαντες H² (v) νῦν M πάντας om. AT 16 καὶ γῆς τε M στριφνὰς FH¹P 17 μεταλεύεται (bis) M πολλὴ] πολὺ MQT δ' MFA, δὲ καὶ Q 18 χρυσόν τε καὶ QT (sed in Q τε rursus expunctum) 19 ἐπιζητούντων A θεοπλαστοῦσα] θεοπλάστους τῶν M δ' MA, δὲ om. QT 20 βυθοῦ M: βυθὸν FA, βυθῶν ceteri κατέβη MQT: om. ceteri (Turn.) θαλάσσης MT post θαλάττης add. κατήγαγε G

15 sqq. cf. de migr. Abrah. § 217.

ἐναπόκειταί που καλόν· καὶ λίθων ποικίλων καὶ πολυτελῶν ἀνευροῦσα
ἰδέας, τὰς μὲν πέτραις προσπεφυκυίας, τὰς δ' ὀστρέοις, αἳ καὶ τιμαλ-
67 φέστεραι γεγόνασιν, ὄψεως ἀπάτην ἐξετίμησε. φρονήσεως δὲ ἢ σωφρο-
σύνης ἢ ἀνδρείας ἢ δικαιοσύνης ἕνεκα γῆ μὲν ἀπόρευτός ἐστι καὶ ἡ
βάσιμος, πελάγη δὲ ἄπλωτα τὰ καθ' ἑκάστην ὥραν τοῦ ἔτους ναυκλήροις
68 ἐμπλεόμενα. καίτοι τίς ἢ μακρᾶς ὁδοιπορίας ἢ τοῦ θαλαττεύειν ἐστὶ | p. 456 M.
χρεία πρὸς ἔρευναν καὶ ζήτησιν ἀρετῆς, ἧς τὰς ῥίζας ὁ ποιῶν οὐ μακ-
ρὰν ἀλλ' οὕτωσὶ πλησίον ἐβάλετο; καθάπερ καὶ ὁ σοφὸς τῶν Ἰουδαίων
νομοθέτης φησίν· „ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν
ταῖς χερσί σου“ (Deut. 30, 14), αἰνιττόμενος διὰ συμβόλων λόγους, βουλάς,
69 πράξεις, ἃ δὴ πάντα γεωργικῆς τέχνης δεῖται. οἱ μὲν οὖν ἀργίαν πό-
νου προτιμήσαντες οὐ μόνον τὰς βλάστας ἐκώλυσαν, ἀλλὰ καὶ τὰς ῥίζας
ἀφαυάναντες ἔφθειραν· οἱ δὲ σχολὴν μὲν βλαβερὸν ἡγούμενοι, πονεῖν
δὲ ἐθέλοντες, ὥσπερ εὐγενῆ μοσχεύματα γεωργοῦντες, τῷ συνεχεῖ τῆς
ἐπιμελείας οὐρανομήκεις ἐστελέχωσαν ἀρετάς, ἀειθαλῆ καὶ ἀθάνατα ἔρνη
καρπὸν φέροντα εὐδαιμονίαν οὐδέποτε λήγοντα ἤ, ὥς τινες, οὐ φέροντα,
ἀλλ' αὐτὰ ὄντα εὐδαιμονίαν, ἃ Μωυσῆς ὀνόματι συνθέτῳ καλεῖν εἴωθεν
70 ὁλοκαρπώματα. ἐπὶ μὲν γὰρ τῶν ἐκ γῆς βλαστανόντων οὔθ' ὁ καρπός
ἐστι δένδρα οὔτε τὰ δένδρα καρπός, ἐπὶ δὲ τῶν ἐν ψυχῇ φυομένων
ὅλα δι' ὅλων εἰς καρποῦ φύσιν μεταβέβληκε τὰ ἔρνη, τὸ φρονήσεως,
71 τὸ δικαιοσύνης, τὸ ἀνδρείας, τὸ σωφροσύνης. (11.) ἔχοντες οὖν τοιαύτας

---

1 καλῶν QT ποικίλων καὶ M: om. ceteri (v) 2 δὲ M ὀστρέοις] ἀλλοτροις (sic) M 2. 3 αἳ καὶ τιμαλφέστεραι] καὶ μὴ ἀσφαλέστεραι M (γρ. κἂν mg M) 3 ἀπάτην om. M ἐξετίμησαν FHP (Turn.) δὲ ἢ] δὴ M
ει
4 ἀνδρίας A, ἀνδρίας FG (v) γῆς H ἤ] εἰ QT 5 πελάγους H (Turn.) δ' F 6 ἐμπλεόμενα] ἐκπλεόμενα H (v) ἐστὶ] ἔνεστι M 8 οὑτωσὶ] οὕτω σοι H^2 (Turn.) ἐβάλετο A: ἐβ ..... (lac. 5—6 litt.) G, ἐβούλετο F, ἐβάλλετο ceteri (v) 9 σου post καρδίᾳ om. M ἐν ante ταῖς om. M 10. 11 καὶ βουλὰς καὶ πράξεις M (βουλάς, πράξεις scripsi): πράξεις, βουλάς ceteri (v) 11 δὴ πάντα] διὰ παντὸς AQT post πάντα ss. οὐ F^2 13 ἀφαυάναντες] ἀφρύναντες M βλαβερὸν codd.: βλαβερὰν H^2 (v) 14 θέλοντες M 16 εὐδαιμονίαν MAQT: εὐδαιμονίας FGHP (v) οὔτε ποτέ M 17 εὐδαιμονίαν MGQT: εὐδαιμονία FAHP (Turn.) εἴωθε καλεῖν ὀνόματι συνθέτῳ transp. AQT καλεῖν εἴωθεν] καλεῖ M 18 γὰρ om. FGHP (Turn.) οὔθ' ὁ M: οὐ et ras. 2 litt. G, οὐδ' ὁ ceteri 19 ἐστὶ δένδρα οὔτε τὰ δένδρα καρπός M: om. ceteri (Turn.) ἐκ ψυχῆς F 20 δι' ὅλων M: δι' ὅλου ceteri (Turn.) 21 τὸ σωφροσύνης, τὸ ἀνδρίας, τὸ δικαιοσύνης transp. F
ει
ἀνδρίας A, ἀνδρίας FG (v)

---

17 cf. de Cherubim § 84. Quaest. in Genes. II § 52.

παρ' ἑαυτοῖς ἀφορμὰς οὐκ ἐρυθριῶμεν ἔνδειαν σοφίας ἀνθρώπων γένει καταγγέλλοντες, ἣν δυνατὸν ἦν ἐκφυσήσαντας καθάπερ ἐν ὕλῃ σπινθῆρα τυφόμενον ζωπυρῆσαι; ἀλλὰ γὰρ πρὸς ἃ μὲν σπεύδειν ἐχρῆν ὡς συγγενέστατα καὶ οἰκειότατα, πολὺς ὄκνος καὶ ῥᾳθυμία συνεχής, ὑφ' ὧν τὰ καλοκἀγαθίας σπέρματα διαφθείρεται, ὧν δὲ εἰκὸς ἦν ὑστερίζειν, ἵμερος καὶ πόθος ἄπληστος. διὰ τοῦτο πλουσίων μὲν καὶ ἐνδόξων καὶ ταῖς 72
ἡδοναῖς χρωμένων μεστὴ γῆ καὶ θάλαττα, φρονίμων δὲ καὶ δικαίων καὶ ἀστείων ὀλίγος ἀριθμός· τὸ δὲ ὀλίγον, εἰ καὶ σπάνιον, οὐκ ἀνύπαρκτον. μάρτυς δὲ ἡ Ἑλλὰς καὶ ἡ βάρβαρος· ἐν τῇ μὲν γὰρ οἱ ἑτόμως ἑπτὰ 73
σοφοὶ προσονομασθέντες ἤνθησαν, καὶ ἄλλων πρότερον καὶ αὖθις ὡς εἰκὸς ἀκμασάντων, ὧν ἡ μνήμη παλαιοτέρων μὲν ὄντων μήκει χρόνων ἠφανίσθη, νεαζόντων δὲ ἔτι διὰ τὴν ἐπιπολάζουσαν τῶν συνόντων ὀλιγωρίαν ἐξαμαυροῦται. κατὰ δὲ τὴν βάρβαρον, ἐν ᾗ πρεσβευταὶ λόγων καὶ 74
ἔργων, πολυανθρωπότατα στίφη καλῶν καὶ ἀγαθῶν ἐστιν ἀνδρῶν· ἐν Πέρσαις μὲν τὸ μάγων, οἳ τὰ φύσεως ἔργα διερευνώμενοι πρὸς ἐπίγνωσιν τῆς ἀληθείας καθ' ἡσυχίαν τὰς θείας ἀρετὰς τρανοτέραις ἐμφάσεσιν ἱεροφαντοῦνταί τε καὶ ἱεροφαντοῦσιν· ἐν Ἰνδοῖς δὲ τὸ γυμνοσοφιστῶν, οἳ
p. 457 M. πρὸς τῇ φυσικῇ καὶ τὴν ἠθικὴν φιλοσοφίαν | διαπονοῦντες ὅλον ἐπίδειξιν ἀρετῆς πεποίηνται τὸν βίον.

(12.) Ἔστι δὲ καὶ ἡ Παλαιστίνη Συρία καλοκἀγαθίας οὐκ ἄγονος, 75

---

1 παρ' ἑαυτοῖς M: πρὸς αὐτοῖς G, πρὸς αὐτοῖς FH¹P, πρὸς αὐτῆς H² (ν), πρὸς αὐτοὺς AQT; πρὸς αὐτὴν coni. Mang. ἔνδειαν] ἐν διανοίᾳ M ἀνθρώπων γένη M, γένει ἀνθρώπων transp. F 2 ἐκφυσήσαντα H (Turn.) 3 τυφώμενον MT 4 ὄκνος M: ὁ ὄκνος ceteri (ν) 5 διαφθείρονται M δ' M ἦν om. L (Turn.) 7 καὶ ante ἀστείων om. FG 8 δ' MA, δὲ om. QT 9 δ' M ἐν τῇ M: ἐν ᾗ ceteri (praeter G); ἐν μὲν γὰρ τῇ ἑλλάδι G οἱ ἑτόμως A, ἑτοίμως QT 9. 10 ἑπτὰ σοφοὶ προσονομασθέντες M: προονομασθέντες ἑπτὰ σοφοὶ ceteri (ν) 10. 11 ὡς εἰκὸς om. M 11 μήκει χρόνων] μικροῖς ἂν M 12 ἠφανίσθη M: οὐκ ἠφανίσθη (ἠφανήθη F) ceteri (ν) νεαζόντων] κραζόντων F δ' M 13 πρεσβευταὶ λόγων καὶ ἔργων FH²: πρεσβευταὶ λόγων ἔργων GH¹P, πρεσβευταὶ λόγων ἔργω AQT, προσέταξε λόγων ἔργα M 14 πολυανθρωπότατα AQT: πολυανθρωπότερα ceteri (Turn.) ἐστιν ἀνδρῶν] ἐστι παρ' ὧν M 14. 15 ἐν περσίδι M 15 οἳ] καὶ GH¹P, οἳ om. F 16 τῆς ἀληθείας MAQT: τῆς om. ceteri (ν) καθ' ἡσυχίαν τὰς θείας om. AT καθ'] μεθ' G τρανοτέρας GT (τρανωτέραις ν) 17 ἐν ἰνδοῖς M: ἐπ' ἰνδοῖς ceteri (Turn.) 18 ἠθικὴν] ὑλικὴν AQ 20 παλαιστίνης AQT, ἐν Παλαιστίνῃ Eus Συρία] καὶ συρία H² (ν); cf. de virt. (de nobil.) § 221 ἄγονος] ἄμοιρος HP

20—26, 8 Euseb. Praep. Evang. VIII 12, 1—19 ἀπὸ δὲ τοῦ Περὶ τοῦ πάντα σπουδαῖον ἐλεύθερον εἶναι τὰ οὕτως ἔχοντα παραθήσομαι· ἔστι δὲ καὶ — σαφέστατον δεῖγμα.

ἦν πολυανθρωποτάτου ἔθνους τῶν Ἰουδαίων οὐκ ὀλίγη μοῖρα νέμεται. λέγονταί τινες παρ᾽ αὐτοῖς ὄνομα Ἐσσαῖοι, πλῆθος ὑπερτετρακισχίλιοι, κατ᾽ ἐμὴν δόξαν — οὐκ ἀκριβεῖ τύπῳ διαλέκτου Ἑλληνικῆς — παρώνυμοι ὁσιότητος, ἐπειδὴ κἂν τοῖς μάλιστα θεραπευταὶ θεοῦ γεγόνασιν, οὐ ζῷα καταθύοντες, ἀλλ᾽ ἱεροπρεπεῖς τὰς ἑαυτῶν διανοίας κατασκευάζειν
76 ἀξιοῦντες. οὗτοι τὸ μὲν πρῶτον κωμηδὸν οἰκοῦσι τὰς πόλεις ἐκτρεπόμενοι διὰ τὰς τῶν πολιτευομένων χειροήθεις ἀνομίας, εἰδότες ἐκ τῶν συνόντων ὡς ἀπ᾽ ἀέρος φθοροποιοῦ νόσον ἐγγινομένην προσβολὴν ψυχαῖς ἀνίατον· ὧν οἱ μὲν γεωπονοῦντες, οἱ δὲ τέχνας μετιόντες ὅσαι συνεργάτιδες εἰρήνης, ἑαυτούς τε καὶ τοὺς πλησιάζοντας ὠφελοῦσιν, οὐκ ἄργυρον καὶ χρυσὸν θησαυροφυλακοῦντες οὐδ᾽ ἀποτομὰς γῆς μεγάλας κτώμενοι δι᾽ ἐπιθυμίαν προσόδων, ἀλλ᾽ ὅσα πρὸς τὰς ἀναγκαίας τοῦ βίου χρείας
77 ἐκπορίζοντες. μόνοι γὰρ ἐξ ἁπάντων σχεδὸν ἀνθρώπων ἀχρήματοι καὶ ἀκτήμονες γεγονότες ἐπιτηδεύσει τὸ πλέον ἢ ἐνδείᾳ εὐτυχίας πλουσιώτατοι νομίζονται, τὴν ὀλιγοδεῖαν καὶ εὐκολίαν, ὅπερ ἐστί, κρίνοντες περιουσίαν.
78 βελῶν ἢ ἀκόντων ἢ ξιφιδίων ἢ κράνους ἢ θώρακος ἢ ἀσπίδος οὐδένα παρ᾽ αὐτοῖς ἂν εὕροις δημιουργὸν οὐδὲ συνόλως ὁπλοποιὸν ἢ μηχανοποιὸν ἤ τι τῶν κατὰ πόλεμον ἐπιτηδεύοντα· ἀλλ᾽ οὐδὲ ὅσα τῶν κατ᾽ εἰρήνην

---

1 ἦν] ἡ T πολυανθρώπου T ἔθνους] γένους HP (Turn.) τῶν] τοῦ G
2 λέγονται δέ τινες Eus codd. nonnulli ὄνομα Ἐσσαῖοι] ὀνομαστοὶ M ὑπὲρ τετρακισχίλιοι codd.: ὑπὲρ τετρακισχιλίους Eus codd. nonnulli (v) 3 διαλέκτου ἑλληνικῆς MGQT Eus: διαλέκτω ἑλληνικῇ FAHP (Turn.) 5 ἀλλὰ M τὰς ἑαυτῶν om. AQ 6 μὲν MT Eus: μέντοι ceteri (Turn.) 7 εἰδότες] δεδιότες coni. Mang. 8 ὡς] ὥσπερ QT ἀπ᾽ ἀέρος M Eus: ἀπ᾽ om. ceteri (Turn.) νόσων G, νόσου T 9 μετιόντες] συνόντες M 9. 10 συνεργάτιδες] συνεργάται τῆς F (H^1P^1) 11 μεγάλας γῆς transp. AQT 12 τοῦ βίου χρείας M Eus: χρείας τοῦ βίου ceteri (v) 14 ἀκτήμονες] ἀκτήματοι A, ἀκτήματοι αὐτοὶ Eus γεγονότες] ὄντες M πλέον M Eus cod. I: πλεῖον ceteri (v) post πλεῖον add. διαζῶσιν AQT ἢ] καὶ F, ἢ om. A ἐνδείᾳ εὐτυχίας πλουσιώτατοι] ἐν ἐνδείας ἡλικία, εὐτυχίαν πλουσιωτάτην AQT πλουσιώτεροι M, πλουσιώτατον H 15 νομίζονται] νομίζοντες MAQT ὀλιγοδεῖαν MF^2AQT: ὀλιγοδέειαν F^1GHP Eus (ὀλιγόδειαν v) καὶ εὐκολίαν ὅπερ ἐστί om. Eus codd. nonnulli 17 εὕροις ἂν transp. AT εὕροις] ἴδοις Eus codd. nonnulli οὐδὲ συνόλως ὁπλοποιὸν ἢ μηχανοποιὸν ἤ M Eus: ἢ ὁπλοποιὸν ἢ μηχανοποιὸν ἢ συνόλως ceteri (v) 18 τι τῶν κατὰ πόλεμον] τῶν κατὰ πόλεμόν τι G, τι om. HP^1 (Turn.) ἐπιτηδεύοντα] ἐπιτηδεύματα L (Turn.), ἐπιτηδευμάτων Eus codd. nonnulli οὐδ᾽ A Eus alterum τῶν MG: om. ceteri Eus (Turn.)

---

2 Joseph. Antiqu. XVIII § 20 ... καὶ τάδε πράσσουσιν ἄνδρες ὑπερτετρακισχίλιοι τὸν ἀριθμὸν ὄντες. 4. 5 Joseph. Antiqu. XVIII § 19 ... εἰς δὲ τὸ ἱερὸν ἀναθήματα στέλλοντες θυσίας οὐκ ἐπιτελοῦσι διαφορότητι ἁγνειῶν. 9. 10 συνεργάτιδες: Eur. El. 100 φόνου συνεργάτιν.

εὐόλισθα εἰς κακίαν· ἐμπορίας γὰρ ἢ καπηλείας ἢ ναυκληρίας οὐδ' ὄναρ
ἴσασι, τὰς εἰς πλεονεξίαν ἀφορμὰς ἀποδιοπομπούμενοι. δοῦλός τε παρ' 79
αὐτοῖς οὐδὲ εἷς ἐστιν, ἀλλ' ἐλεύθεροι πάντες ἀνθυπουργοῦντες ἀλλήλοις·
καταγινώσκουσί τε τῶν δεσποτῶν, οὐ μόνον ὡς ἀδίκων, ἰσότητα λυμαινο-
μένων, ἀλλὰ καὶ ὡς ἀσεβῶν, θεσμὸν φύσεως ἀναιρούντων, ἢ πάντας
ὁμοίως γεννήσασα καὶ θρεψαμένη μητρὸς δίκην ἀδελφοὺς γνησίους, οὐ
p.458 M. λεγομένους ἀλλ' ὄντας ὄντως, | ἀπειργάσατο· ὧν τὴν συγγένειαν ἡ ἐπί-
βουλος πλεονεξία παρευημερήσασα διέσεισεν, ἀντ' οἰκειότητος ἀλλοτριότητα
καὶ ἀντὶ φιλίας ἔχθραν ἐργασαμένη. φιλοσοφίας τε τὸ μὲν λογικὸν ὡς 80
οὐκ ἀναγκαῖον εἰς κτῆσιν ἀρετῆς λογοθήραις, τὸ δὲ φυσικὸν ὡς μεῖζον
ἢ κατὰ ἀνθρωπίνην φύσιν μετεωρολέσχαις ἀπολιπόντες, πλὴν ὅσον αὐτοῦ
περὶ ὑπάρξεως θεοῦ καὶ τῆς τοῦ παντὸς γενέσεως φιλοσοφεῖται, τὸ
ἠθικὸν εὖ μάλα διαπονοῦσιν ἀλείπταις χρώμενοι τοῖς πατρίοις νόμοις,
οὓς ἀμήχανον ἀνθρωπίνην ἐπινοῆσαι ψυχὴν ἄνευ κατοκωχῆς ἐνθέου.
τούτους ἀναδιδάσκονται μὲν καὶ παρὰ τὸν ἄλλον χρόνον, ἐν δὲ ταῖς ἑβδό- 81
μαις διαφερόντως. ἱερὰ γὰρ ἡ ἑβδόμη νενόμισται, καθ' ἣν τῶν ἄλλων
ἀνέχοντες ἔργων, εἰς ἱεροὺς ἀφικνούμενοι τόπους, οἳ καλοῦνται συναγωγαί,
καθ' ἡλικίας ἐν τάξεσιν ὑπὸ πρεσβυτέροις νέοι καθέζονται, μετὰ κόσμου
τοῦ προσήκοντος ἔχοντες ἀκροατικῶς. εἶθ' εἰς μέν τις τὰς βίβλους 82
ἀναγινώσκει λαβών, ἕτερος δὲ τῶν ἐμπειροτάτων ὅσα μὴ γνώριμα παρελ-

---

2 ἀποδιοπομπούμενοι] ἀποδίδονται ποιούμενοι M 3 ἀλλὰ A 4 τε] τὸ M
ἰσότητα MG Eus: ὁσιότητος F, ὁσιότητα ceteri (Turn.) 5 ἀσεβῶν] δυσεβῶν (sic) T
6 θρεψαμένη M: θρέψασα ceteri Eus (v) δίκην] τρόπον M Eus ἀδελφοὺς]
ὡς ἀδελφοὺς HP (v) 7 ἀλλ'] ἀλλὰ καὶ M ὄντως ὄντας transp. AT
ὧν τὴν συγγένειαν M Eus: τὴν δὲ συγγένειαν FH (Turn.), τὴν συγγένειαν δὲ GPAQT
9 τε M Eus: δὲ ceteri (Turn.) ὡς om. M 11 κατ' FAQT
αὐτοῦ] αὐτῶν F, αὐτῆς T 12 περὶ] τε T φιλοσοφεῖν M ante τὸ
add. καὶ A 13 διακονοῦσιν G ἀλείπταις χρώμενοι] ἀεὶ ὑπισχνούμενοι M
τοὺς πατρίους νόμους M, τοῖς πατρώοις νόμοις F Eus 14 ἀνθρωπίνην ἐπινοῆσαι]
ἔστι νοῆσαι ἀνθρωπίνην M κατοκωχῆς scripsi: κατακοχῆς M, κατοχῆς G Eus
codd. plerique, κατακωχῆς corr. ex καταδοχῆς H, κατακωχῆς ceteri Eus codd. EI (v)
ἐνθέου] ἐνθέτου T 15 τοῦτο T ἀναδιδάσκοντας QT, ἀναδιδάσκοντες H (Turn.)
α α
περὶ A, περὶ QT 15. 16 ἑβδόμαις] ἑβδόμοις H (Turn.), βουλαῖς M
16 διαφερόντως M Eus: μάλιστα διαφερόντως ceteri (Turn.) ἡ om. P
17 ἀνέχονται G, ἀντέχονται HP, ἀπέχονται L (Turn.) εἰς ἱεροὺς MFGHP Eus:
εἰς ἱεροὺς δὲ G, καὶ εἰς ἱεροὺς AQT (Mang.) 18 καθ' ἡλικίαν Eus codd. nonnulli
πρεσβυτέρους Q καθίζονται Q 19 ἀκροαματικῶς G εἶθ' εἰς μέν τις
scripsi: εἶθ' ὁ μὲν codd. (v), εἷς μέν τις Eus 20 ἀναγινώσκειν M
ἕτερος A ἐμπειροτέρων A

θὼν ἀναδιδάσκει· τὰ γὰρ πλεῖστα διὰ συμβόλων ἀρχαιοτρόπῳ ζηλώσει
83 παρ' αὐτοῖς φιλοσοφεῖται. παιδεύονται δὲ εὐσέβειαν, ὁσιότητα, δικαιοσύνην, οἰκονομίαν, πολιτείαν, ἐπιστήμην τῶν πρὸς ἀλήθειαν ἀγαθῶν καὶ κακῶν καὶ ἀδιαφόρων, αἱρέσεις ὧν χρὴ καὶ φυγὰς τῶν ἐναντίων, ὅροις καὶ κανόσι τριττοῖς χρώμενοι, τῷ τε φιλοθέῳ καὶ φιλαρέτῳ καὶ φιλανθρώ-
84 πῳ. τοῦ μὲν οὖν φιλοθέου δείγματα παρέχονται μυρία· τὴν παρ' ὅλον τὸν βίον συνεχῆ καὶ ἐπάλληλον ἁγνείαν, τὸ ἀνώμοτον, τὸ ἀψευδές, τὸ πάντων μὲν ἀγαθῶν αἴτιον, κακοῦ δὲ μηδενὸς νομίζειν εἶναι τὸ θεῖον· τοῦ δὲ φιλαρέτου τὸ ἀφιλοχρήματον, τὸ ἀφιλόδοξον, τὸ ἀφιλήδονον, τὸ ἐγκρατές, τὸ καρτερικόν, ἔτι δὲ ὀλιγοδεῖαν, ἀφέλειαν, εὐκολίαν, τὸ ἄτυφον, τὸ νόμιμον, τὸ εὐσταθές, καὶ ὅσα τούτοις ὁμοιότροπα· τοῦ δὲ φιλανθρώπου εὔνοιαν, ἰσότητα, τὴν παντὸς λόγου κρείττονα κοινωνίαν, περὶ ἧς οὐκ ἄκαιρον
85 βραχέα εἰπεῖν. πρῶτον μὲν τοίνυν οὐδενὸς οἰκία τίς ἐστιν ἰδία, ἣν οὐχὶ πάντων εἶναι κοινὴν συμβέβηκε· πρὸς γὰρ τῷ κατὰ θιάσους συνοικεῖν
86 ἀναπέπταται καὶ τοῖς ἑτέρωθεν ἀφικνουμένοις τῶν ὁμοζήλων. εἴτ' ἐστὶ ταμεῖον ἓν πάντων καὶ δαπάναι ⟨κοιναί⟩, καὶ κοιναὶ μὲν ἐσθῆτες, κοιναὶ δὲ τροφαὶ συσσίτια πεποιημένων· τὸ γὰρ ὁμωρόφιον ἢ ὁμοδίαιτον

---

1 ἀναδιδάσκει] ἀναγινώσκει HP¹ (Turn.) ζηλώσει] ζήλω AT 2 δὲ] τε M εὐσέβειαν om. HP (Turn.) 3 πολιτείας A καὶ ἐπιστήμην Eus codd. plerique 4 ὅροις] νόμοις Eus 5 τῷ τοῦ φιλοθέου καὶ φιλαρέτου καὶ φιλανθρώπου M φιλανθρώπῳ καὶ φιλαρέτῳ transp. PQT 6. 7 δείγματα μυρία παρέχει ἡ παρ' ὅλον τὸν βίον συνεχὴς καὶ ἐπάλληλος ἁγνεία Eus 7 ἐπάλληλον] ἀμετάλληλον AT 10 ὀλιγοδεῖαν A: ὀλιγοδεείαν (sic) H, ὀλιγοδέειαν P Eus, ὀλιγόδειαν FGQT (v), ὀλίγον εἶναι M ἀφέλειαν] φιλίαν M τὸ νόμιμον] τὸ κόσμιον coni. Mang. 11 post φιλανθρώπου add. δείγματα Eus codd. nonnulli (Mang.) 11. 12 εὔνοια, ἰσότης, ἡ παντὸς λόγου κρειττων κοινωνία Eus codd. nonnulli 12 τὴν om. HP¹ (Turn.) 13 τοίνυν] οὖν Eus codd. nonnulli οὐδενὸς] οὐδενὸς ἑνὸς Eus οὐδενός ἐστιν οἰκία ἰδία (om. τις) M 14 πάντων εἶναι κοινὴν Eus: καὶ πάντων M, πάντων εἶναι ceteri (v) πρὸς] καὶ M γὰρ] δὲ A τῷ FGH¹PQ Eus: τὸ MATH² συνοικεῖν] συνοικία M 16 καὶ δαπάναι—ἐσθῆτες om. M κοιναὶ post δαπάναι addidi 17 συσσίτια] συνιάται (sic) M ὁμορόφιον M ἢ ὁμοδίαιτον om. M

---

14 Joseph. Bell. Jud. II § 124 ... καὶ τοῖς ἑτέρωθεν ἥκουσιν αἱρετισταῖς πάντ' ἀναπέπταται τὰ παρ' αὐτοῖς ὁμοίως ὥσπερ ἴδια, καὶ πρὸς οὓς οὐ πρότερον εἶδον εἰσίασιν ὡς συνηθεστάτους. 16 sqq. Joseph. Bell. Jud. II § 122 καταφρονηταὶ δὲ πλούτου· καὶ θαυμάσιον αὐτοῖς τὸ κοινωνικόν, οὐδὲ ἔστιν εὑρεῖν κτήσει τινα παρ' αὐτοῖς ὑπερέχοντα· νόμος γὰρ τοὺς εἰς τὴν αἵρεσιν εἰσιόντας δημεύειν τῷ τάγματι τὴν οὐσίαν, ὥστε ἐν ἅπασιν μήτε πενίας ταπεινότητα φαίνεσθαι μήθ' ὑπεροχὴν πλούτου, τῶν δ' ἑκάστου κτημάτων ἀναμεμιγμένων μίαν ὥσπερ ἀδελφοῖς ἅπασιν οὐσίαν εἶναι. Antiqu. XVIII § 20 ... τὰ χρήματά τε κοινά ἐστιν αὐτοῖς, ἀπολαύει δὲ οὐδὲν ὁ πλούσιος τῶν οἰκείων μειζόνως ἢ ὁ μηδ' ὁτιοῦν κεκτημένος.

ἢ ὁμοτράπεζον οὐκ ἄν τις εὕροι παρ' ἑτέροις μᾶλλον ἔργῳ βεβαιούμενον·
p.459 M. | καὶ μήποτ' εἰκότως· ὅσα γὰρ ἂν μεθ' ἡμέραν ἐργασάμενοι λάβωσιν
ἐπὶ μισθῷ, ταῦτ' οὐκ ἴδια φυλάττουσιν, ἀλλ' εἰς μέσον προτιθέντες κοινὴν
τοῖς ἐθέλουσι χρῆσθαι τὴν ἀπ' αὐτῶν παρασκευάζουσιν ὠφέλειαν. οἵ τε 87
νοσοῦντες οὐχ ὅτι πορίζειν ἀδυνατοῦσιν ἀμελοῦνται, τὰ πρὸς τὰς νοση-
λείας ἐκ τῶν κοινῶν ἔχοντες ἐν ἑτοίμῳ, ὡς μετὰ πάσης ἀδείας ἐξ
ἀφθονωτέρων ἀναλίσκειν. αἰδὼς δ' ἐστὶ πρεσβυτέρων καὶ φροντίς,
οἷα γονέων ὑπὸ γνησίων παίδων χερσὶ καὶ διανοίαις μυρίαις ἐν ἀφθονίᾳ
τῇ πάσῃ γηροτροφουμένων. (13.) τοιούτους ἡ δίχα περιεργίας Ἑλληνικῶν 88
ὀνομάτων ἀθλητὰς ἀρετῆς ἀπεργάζεται φιλοσοφία, γυμνάσματα προτιθεῖσα
τὰς ἐπαινετὰς πράξεις, ἐξ ὧν ἡ ἀδούλωτος ἐλευθερία βεβαιοῦται. σημεῖον 89
δέ· πολλῶν κατὰ καιροὺς ἐπαναστάντων τῇ χώρᾳ δυναστῶν καὶ φύσεσι
καὶ προαιρέσεσι χρησαμένων διαφερούσαις — οἱ μὲν γὰρ πρὸς τὸ ἀτίθασον
ἀγριότητα θηρίων ἐκνικῆσαι σπουδάσαντες, οὐδὲν παραλιπόντες τῶν εἰς
ὠμότητα, τοὺς ὑπηκόους ἀγεληδὸν ἱερεύοντες ἢ καὶ ζῶντας ἔτι μαγείρων
τρόπον κατὰ μέρη καὶ μέλη κρεουργοῦντες ἄχρι τοῦ τὰς αὐτὰς ὑπομεῖναι
συμφορὰς ὑπὸ τῆς τὰ ἀνθρώπεια ἐφορώσης δίκης οὐκ ἐπαύσαντο· οἱ 90
δὲ τὸ παρακεκινημένον καὶ λελυττηκὸς εἰς ἑτέρας εἶδος κακίας μεθαρμοσά-
μενοι, πικρίαν ἄλεκτον ἐπιτηδεύσαντες, ἡσυχῇ διαλαλοῦντες, ἠρεμαιοτέρας
φωνῆς ὑποκρίσει βαρύμηνι ἤθος ἐπιδεικνύμενοι, κυνῶν ἰοβόλων τρόπον
προσσαίνοντες, ἀνιάτων γενόμενοι κακῶν αἴτιοι, κατὰ πόλεις μνημεῖα τῆς

---

1 μᾶλλον om. HP (Turn.) 2 μήποτε M, μήτε Eus καθ' ἡμέραν QT ἐργαζόμενοι AQT 3 ταῦτα A, ταῦτ' om. M κοινῇ G 4 παρασκευάζει HP¹ 5 νοσοῦντες M Eus: νοσηλεύοντες ceteri (Turn.) ὅτι] ὅσον ἐστὶ F ἀμελοῦντες H¹P τὰ M: om. ceteri Eus (v) 5. 6 πρὸς τὰς νοσηλείας] πρὸς τὴν χρείαν M 6 ὡς] οὓς M ἀδείας πάσης transp. F 7 ante ἀναλίσκειν add. ἔξεστιν M δ' ἐστὶ] δ' ἔτι AQT, τε ἐστὶ M post πρεσβυτέρων add. καὶ τιμὴ HP (v), om. ceteri Eus 8 γονέων ὑπὸ om. HP (Turn.) 9 περιεργείας HP (Turn.) 10 ἀθλητὰς] ἀσκητὰς coni. Mang. ante γυμνάσματα add. ὡς ATP² προστιθεῖσα HP 11 σημείων T 12 καιροὺς] καιροὺς πολλοὺς A, πολλοὺς QT δυναστῶν MQT Eus: δυνατῶν ceteri (v) 13 προαιρέσει H¹P, προαιρέσεις H² πρὸς] εἰς Eus ἀτίθασσον GAQ (v) 14 ἀγριότητι A θηρίων] τῶν θηρίων AQT ἐκνικῆσαι om. M παραλειπόντες (sic) F, παραλείποντες G, παρέλιπον AT 15 post ὠμότητα add. θηρίων F 16 μέρη καὶ μέλη MF Eus: μέλη καὶ μέρη ceteri (v) τοῦ om. A 17 post ὑπὸ add. τοῦ H¹P τάνθρώπεια A 18 ἑτέρας] ἕτερον HPQ (v) 19 διαλαλοῦντες] δὲ λαλοῦντες AQT ἠρεμωτέρας M 20 ἐπιδεικνύμενοι codd. Eus: δεικνύμενοι v ἰοβόλων] ὑπούλων coni. Mang. 21 προσαίνοντες MFT κακῶν γενόμενοι transp. M μνημεῖον A

ἑαυτῶν ἀσεβείας καὶ μισανθρωπίας ἀπέλιπον τὰς τῶν πεπονθότων ἀλή-
91 στους συμφοράς —, ἀλλὰ γὰρ οὐδεὶς οὔτε τῶν σφόδρα ὠμοθύμων οὔτε τῶν
πάνυ δολερῶν καὶ ὑπούλων ἴσχυσε τὸν λεχθέντα τῶν Ἐσσαίων ἢ ὁσίων
ὅμιλον αἰτιάσασθαι, πάντες δὲ ἀσθενέστεροι τῆς τῶν ἀνδρῶν καλοκἀγαθίας
γενόμενοι καθάπερ αὐτονόμοις καὶ ἐλευθέροις οὖσιν ἐκ φύσεως προσηνέχ- 5
θησαν, ἄδοντες αὐτῶν τὰ συσσίτια καὶ τὴν παντὸς λόγου κρείττονα
κοινωνίαν, ἢ βίου τελείου καὶ σφόδρα εὐδαίμονός ἐστι σαφέστατον δεῖγμα.
92 (14.) Χρὴ δ', ἐπειδὴ τὰς ἐν τοῖς πλήθεσιν ἀρετὰς οὐκ οἴονταί τινες
εἶναι τελείας, ἀλλ' ἄχρι συναυξήσεως καὶ ἐπιδόσεως αὐτὸ μόνον ἵστασθαι,
μάρτυρας βίους τῶν κατὰ μέρος ἀνδρῶν ἀγαθῶν παραγαγεῖν, οἳ σαφέσ- 10
93 ταται πίστεις ἐλευθερίας εἰσί. Κάλανος ἦν Ἰνδὸς γένος τῶν γυμνοσο-
φιστῶν· οὗτος καρτερικώτατος τῶν κατ' αὐτὸν ἁπάντων | νομισθεὶς οὐ p.460 M.
μόνον ὑπὸ τῶν ἐγχωρίων ἀλλὰ καὶ πρὸς ἀλλοφύλων, ὃ δὴ σπανιώτατόν
ἐστιν, ἐχθρῶν βασιλέων ἐθαυμάσθη, λόγοις ἐπαινετοῖς σπουδαῖα ἔργα
94 συνυφήνας. Ἀλέξανδρος γοῦν ὁ Μακεδὼν βουλόμενος ἐπιδείξασθαι τῇ 15
Ἑλλάδι τὴν ἐν τῇ βαρβάρῳ σοφίαν, καθάπερ ἀπ' ἀρχετύπου γραφῆς
ἀπεικόνισμα καὶ μίμημα, τὸ μὲν πρῶτον παρεκάλει Κάλανον συναπο-
δημῆσαι, μέγιστον περιποιήσοντα κλέος ⟨ἐν⟩ ὅλῃ Ἀσίᾳ καὶ ὅλῃ Εὐρώπῃ.

---

1 ἑαυτῶν AQ Eus: om. T, αὐτῶν ceteri (αὐτῶν v) ἀπέλιπον τὰς] ἀπολιπόντες M
1. 2 ἀλήστους] ἀλήπτους M, ἀλέκτους AT 2 prius οὔτε Eus: οὐδὲ codd. (v)
σφόδρα MFT Eus: σφόδρ' ceteri (v) alterum οὔτε M Eus: οὐδὲ ceteri (v)
4 ὅμιλον post λεχθέντα (3) transp. HPQ (v) δ' A Eus 5 γενόμενοι om. QT
καὶ ἐλευθέροις om. M 5. 6 προηνέχθησαν FGHP 6 αὐτῶν] αὐτὸν M
(αὐτῶν v) συσσίτια] σιτία M 7 ἦ] ἦν AQT ἐστι] εἶναι AQT
σαφέστατον M Eus: om. ceteri δεῖγμα MHP Eus: δόγμα ceteri 9 τελείους T
ἀλλὰ M ἄχρι om. M αὐτὸ] αὐτῶν QT 10 ἀγαθῶν] χρὴ A
παραγαγεῖν] πειθαρχεῖν ἢ παραγαγεῖν F 10. 11 σαφέστατοι πίστεις M, σαφεστάτη
πίστις AQT 11 Ἰνδὸς] ἰνδῶν T 12 κατ' αὐτὸν M: καθ' αὐτὸν ceteri (v)
13 ὑπὸ τῶν ὑπεγχωρίων M (ὑπὸ τῶν ἐγχωρίων scripsi): ὑπ' ἐγχωρίων ceteri (v)
post ἀλλοφύλων addendum censuit καὶ Mang. 14 ἐθαυμαστώθη F
16 βαρβάρων M ἀπ' ἀρχετύπου] καὶ ἀρχέτυπον M 17 Κάλανον] κάλον M
17. 18 συναποδημήσειν M (συναποδημεῖν Mang.) 18 περιποιήσαντα HP
ἐν ante ὅλῃ addidi

---

15 sqq. *Ambros. Epist. 37, 34* non enim ego de contemptu mortis libros philosophorum depromo aut gymnosophistas Indorum, quorum prae ceteris Calani laudatur responsum Alexandro, cum eum iuberet sequi: qua me, inquit, laude dignum Graeciam petere poscis, si possum cogi facere quod nolo? et vere plenus auctoritatis sermo, sed magis mens plena libertatis.

ὡς δ' οὐκ ἔπειθεν, ἀναγκάσειν ἔφη συνακολουθεῖν· ὁ δὲ εὐθυβόλως πάνυ 95
καὶ εὐγενῶς „τίνος οὖν" εἶπεν „ἄξιόν με τοῖς Ἕλλησιν ἐπιδείξεις,
Ἀλέξανδρε, εἴ γε ἀναγκασθήσομαι ποιεῖν ἃ μὴ βούλομαι;" ἆρ' οὐ γέμων
μὲν παρρησίας ὁ λόγος, πολὺ δὲ μᾶλλον ἐλευθερίας ὁ νοῦς; ἀλλὰ γὰρ
καὶ ἐν τοῖς βεβαιοτέροις φωνῶν γράμμασιν ἤθους ἀδουλώτου τύπους
ἐστηλίτευσεν ἀριδήλους. μηνύει δὲ ἡ πεμφθεῖσα ἐπιστολὴ τῷ βασιλεῖ· 96

„Κάλανος Ἀλεξάνδρῳ.

Φίλοι πείθουσί σε χεῖρας καὶ ἀνάγκην προσφέρειν Ἰνδῶν φιλοσόφοις
οὐδ' ἐν ὕπνοις ἑωρακότες ἡμέτερα ἔργα. σώματα μὲν γὰρ μετοίσεις
ἐκ τόπου εἰς τόπον, ψυχὰς δὲ οὐκ ἀναγκάσεις ποιεῖν ἃ μὴ βούλονται
μᾶλλον ἢ πλίνθους καὶ ξύλα φωνὴν ἀφεῖναι. πῦρ μεγίστους τοῖς ζῶσι
σώμασι πόνους καὶ φθορὰν ἐργάζεται· τούτου ὑπεράνω ἡμεῖς γινόμεθα,
ζῶντες καιόμεθα. οὐκ ἔστι βασιλεὺς οὐδὲ ἄρχων, ὃς ἀναγκάσει ἡμᾶς

---

1 ἀναγκάσειν M: ἀναγκαστὶ FGHP, ἀναγκασθι L, ἀναγκασθήσῃ AQT (v) ἔφη συνακολουθεῖν] ἔφησεν ἀκολουθεῖν M 2 οὖν M: ἕνεκα Q, ἕνεκεν ceteri (Turn.) εἰπεῖν HP ἄξιον] ἄξων AQT ἐπιδείξαις A 4 παρρησίας codd. (Turn.): ἐλευθερίας Mang. ἐλευθερίας M: om. ceteri (v) ἀλλὰ γὰρ M: γὰρ om. ceteri (v) 5 γράμμασιν M: πράγμασιν ceteri (Turn.) τύπους] τούτους M 6 ἐστηλίτευσαν A, ἐστήλωσεν QT ἀριδήλως M δ' MA, δὲ καὶ F 8 πείθουσί σε M: σε om. ceteri (v) 9 ὕπνοις M: ὕπνῳ ceteri (v) ἑωρακόσιν AQT ἡμέτερα A, ὑμέτερα QT μὲν γὰρ M: μὲν om. ceteri (v) οἴσεις AQT 10 δ' MA οὐκ ἀναγκάσεις M (Clem. Alex.): οὐ δύνασαι ceteri (Turn.) 11 μᾶλλον ἢ M: ἢ μᾶλλον ceteri (Turn.) 11. 12 ζῶσι σώμασι GHP: ζῶσι om. MAQT, σώμασι om. F 12 post τούτου add. δ' G γινώμεθα F 13 ζῶντες ⟨γὰρ⟩ conicio (cf. Ambros.) οὐδὲ M: οὔτε ceteri (v)

---

6 sqq. *pergit Ambros. l. l.* denique et epistolam scripsit. „Calanus Alexandro. (35.) Amici persuadent tibi manus et necessitatem inferre Indorum philosophis, ne in somnis quidem videntes nostra opera. corpora enim transferes de loco ad locum, animas non coges facere quod nolunt, non magis quam saxa et ligna vocem emittere. maximum ignis viventibus corporibus dolorem [inurit et] gignit (et) corruptionem: super hunc nos sumus, viventes enim exurimur. non est rex neque princeps, qui extorqueat nobis facere quod non proposuimus. nec similes sumus Graeciae philosophorum, qui verba pro rebus meditati sunt ad opinionis celebritatem: nobis res sociae verbis et verba rebus: res celeres et sermones breves: in virtute nobis libertas beata est." Clem. Alex. Strom. IV 7 p. 586 P. Ἰνδῶν οἱ φιλόσοφοι Ἀλεξάνδρῳ λέγουσι τῷ Μακεδόνι· „σώματα μὲν μετάξεις ἐκ τόπου εἰς τόπον, ψυχὰς δ' ἡμετέρας οὐκ ἀναγκάσεις ποιεῖν ἃ μὴ βουλόμεθα. πῦρ ἀνθρώποις μέγιστον κολαστήριον· τούτου ἡμεῖς καταφρονοῦμεν."

ποιεῖν ἃ μὴ προαιρούμεθα. Ἑλλήνων δὲ φιλοσόφοις οὐκ ἐξομοιούμεθα, ὅσοι αὐτῶν εἰς πανήγυριν λόγους ἐμελέτησαν, ἀλλὰ λόγοις ἔργα παρ' ἡμῖν ἀκόλουθα καὶ ἔργοις λόγοι· *** βραχεῖς ἄλλην ἔχουσι δύναμιν καὶ μακαριότητα καὶ ἐλευθερίαν περιποιοῦντες."

97 Ἐπὶ δὴ τοιαύταις ἀποφάσεσι καὶ γνώμαις ἆρ' οὐκ ἄξιον τὸ Ζηνώνειον ἐπιφωνῆσαι, ὅτι „θᾶττον ἂν ἀσκὸν βαπτίσαι τις πλήρη πνεύματος ἢ βιάσαιτο τῶν σπουδαίων ὀντινοῦν ἄκοντα δρᾶσαί τι τῶν ἀβουλήτων"; ἀνένδοτος γὰρ ψυχὴ καὶ ἀήττητος, ἣν ὁ ὀρθὸς λόγος δόγμασι παγίοις ἐνεύρωσε.

98 (15.) Τῆς δὲ σπουδαίων ἐλευθερίας μάρτυρές εἰσι ποιηταὶ καὶ συγγραφεῖς, ὧν ταῖς γνώμαις Ἕλληνες ὁμοῦ καὶ βάρβαροι σχεδὸν ἐξ αὐτῶν σπαργάνων ἐντρεφόμενοι βελτιοῦνται τὰ ἤθη, πᾶν ὅσον ἐξ ὑπαιτίου τροφῆς καὶ διαίτης ἐν ταῖς ψυχαῖς κεκιβδήλευται μεταχαραττόμενοι πρὸς

99 τὸ δόκιμον. ἴδε γοῦν οἷα παρ' Εὐριπίδῃ φησὶν ὁ Ἡρακλῆς·

| „πίμπρα, κάταιθε σάρκας, ἐμπλήσθητί μου p. 461 M.
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα γῆ τ' ἄνεισ' εἰς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ ἀπαντῆσαι λόγον."

τῷ γὰρ ὄντι θωπεία μὲν καὶ κολακεία καὶ ὑπόκρισις, ἐν οἷς λόγοι γνώμαις διαμάχονται, δουλοπρεπέστατα, τὸ δὲ ἀνόθως καὶ γνησίως ἐκ

100 καθαροῦ τοῦ συνειδότος ἐλευθεροστομεῖν εὐγενέσιν ἁρμόττον. πάλιν τὸν αὐτὸν σπουδαῖον οὐχ ὁρᾷς, ὅτι οὐδὲ πωλούμενος θεράπων εἶναι δοκεῖ,

---

2 πανήγυριν] πάντα M 3 post λόγοι lacunam indicavi; ⟨ἔργα μὲν ταχέα καὶ λόγοι⟩ βραχεῖς, ἀλλ' ἔχουσι δύναμιν conicio (cf. Ambros.), βραχεῖς μέν, ἀλλὰ μεγάλην ἔχουσι δύναμιν coni. Wilamowitz βραχεῖς ἄλλην M: βραχεῖαν ceteri (Turn.) 4 περιποιοῦνται AQ 5 δὴ M: om. ceteri (Turn.) ἀποφάνσεσι FG 6 ἂν om. HP¹ (Turn.) τις G: om. ceteri (v) 7 ἢ] εἰ M βιάσαι FGA τῶν σπουδαίων MG: τὴν τοῦ σπουδαίου A, τὸν σπουδαῖον ceteri (v); τὸν σπουδαῖον ὁστισοῦν coni. Wilamowitz ὀντιναοῦν M ὀντινοῦν — ἀήττητος (8) om. AT ἄκοντα] ἄγοντα M ante δρᾶσαι add. ἢ M 8 ψυχὴ καὶ ἀήττητος M: καὶ ἀήττητος ψυχή ceteri (v) ψυχήν A, ψυχῇ T ὁ ὀρθὸς AQTP²: ὁ om. ceteri (v) 11 καὶ βάρβαροι ὁμοῦ transp. A 12 βελτιοῦντες H¹PQT 14 γοῦν] γὰρ AQ οἷα ἃ (sic) M παρ' Εὐριπίδῃ] παρ' ἐλπίδα AQ 16 πρόσθεν FAT 17 εἶσιν] εἰσὶν MGH¹, εἰσιν P τ'] δ' T ἄνεισ'] ἂν εἴσ P, ἂν ὡς M, ἄνω A εἰς om. MH¹P 18 θῶπα M ἀπαντλῆσαι A 19 μὲν. M: om. ceteri (v) καὶ κολακεία om. A λόγοις M 20 γνώμαις] γνῶναι (sic) M δ' A ἀνόθως καὶ om. M 21 ἁρμόττον. πάλιν] ἁρμόττον πᾶσι. M 22 σπουδαῖον om. M ὅτι om. MAT

---

6. 7 Zeno frg. 218 (Arnim). 15 Eur. frg. 687.

καταπλήττων τοὺς ὁρῶντας, ὡς οὐ μόνον ἐλεύθερος ὢν ἀλλὰ καὶ δεσπότης ἐσόμενος τοῦ πριαμένου; ὁ γοῦν Ἑρμῆς πυνθανομένῳ μέν, εἰ 101
φαῦλός ἐστιν, ἀποκρίνεται·

„ἥκιστα φαῦλος, ἀλλὰ πᾶν τοὐναντίον
πρὸς σχῆμα σεμνὸς κοὐ ταπεινὸς οὐδ' ἄγαν
εὔογκος ὡς ἂν δοῦλος, ἀλλὰ καὶ στολὴν
ἰδόντι λαμπρὸς καὶ ξύλῳ δραστήριος. —
οὐδεὶς δ' ἐς οἴκους δεσπότας ἀμείνονας
αὑτοῦ πρίασθαι βούλεται· σὲ δ εἰσορῶν
πᾶς τις δέδοικεν. ὄμμα γὰρ πυρὸς γέμεις,
ταῦρος λέοντος ὡς βλέπων πρὸς ἐμβολήν.“

εἶτ' ἐπιλέγει·

„τὸ εἶδος αὐτό σου κατηγορεῖ
σιγῶντος, ὡς εἴης ἂν οὐχ ὑπήκοος,
τάσσειν δὲ μᾶλλον ἢ 'πιτάσσεσθαι θέλοις.“

ἐπεὶ δὲ καὶ πριαμένου Συλέως εἰς ἀγρὸν ἐπέμφθη, διέδειξεν ἔργοις 102
τὸ τῆς φύσεως ἀδούλωτον· τὸν μὲν γὰρ ἄριστον τῶν ἐκεῖ ταύρων καταθύσας Διὶ πρόφασιν εὐωχεῖτο, πολὺν δ' οἶνον ἐκφορήσας ἀθρόον εὖ μάλα κατακλιθεὶς ἠκρατίζετο. Συλεῖ δὲ ἀφικομένῳ καὶ 103

---

1 ὡς om. M 2 δεσπόταις F^1 γοῦν] γὰρ G πυνθανομένω μέν M: πυνθανομένοις ἡμῖν ceteri (Turn.) εἰ M: ὡς ceteri (Turn.) 3 ἀποκρίνεται om. M 4 ἥκιστα φαῦλος om. M φαύλως H^1P 5 πρὸς σχῆμα A: πρόσχημα ceteri (v); τὸ σχῆμα Herwerden (Nauck) κοὐ FGQ: καὶ οὐ ceteri 5. 6 οὐδ' ἄγαν — δοῦλος om. M 6 εὔογκος] εὐοίκους H^1P 6—8 ὡς — οἴκους om. HP, add. mg H 7 ξύλῳ] ζήλω L (Turn.) 8 οὐδεὶς δ' ἐς] οὐ δεῖσθαι M ἐς οἴκους] εἰς οἴκου AT δεσπότην ἀμείνονα AQT 9 αὐτοῦ codd. δὲ HPT δ' εἰσορῶν] διορῶν M 10. 11 πᾶς — ταῦρος om. M 10 πᾶς τις] ἃ πᾶς F γέμεις F 11 ὡς λέοντος transp. G ἐμβολήν] ἐντολήν M 12 εἶτα F 13 τὸ εἶδος codd.: τὸ ἦθος H^2 (v); τό γ' εἶδος coni. Elmsley αὐτό Elmsley: αὐτοῦ MFGHP (v), om. AQT σου Mang.: οὐ F, οὗ ceteri κατηγορεῖ codd.: κατηγορῶ Mang. 14 σιγῶντος ὡς εἴης ἂν om. M εἴης ἂν codd.: ἂν εἴης Mang. 15 δὲ τάσσειν transp. M ἢ 'πιτάσσεσθαι FG: ἢ ἐπιτάσσεσθαι ceteri (v) θέλεις AQT 16 δὲ om. H^1P Συλέως] συλλέγειν AQT, λέγω M 17 τὸν] τῶν A ἐκεῖ ταύρων] ἐξ ἑταίρων M 18 Διὶ πρόφασιν εὐωχεῖτο] διευωχεῖτο πρόφασιν M ἐκφορήσας MF: ἐκσυμφορήσας G, ἐμφορήσας AQT mg H^2 mg P^2 (v), om. H^1P^1 19 ἀθρόον] ἄθρουν FGAHP, ἄθρους M, om. QT (ἄθροον v) εὖ om. M Συλεῖ δὲ ἀφικομένῳ] συνδιαφικομένω M Συλεῖ] σελεῖ A δ' A

---

4 Eur. frg. 688 (v. 1—4). 689 (5—8). versus 5—8 Sylei potius verba esse monuit Nauck. 13 Eur. frg. 690.

δυσανασχετοῦντι ἐπί τε τῇ βλάβῃ καὶ τῇ τοῦ θεράποντος ῥᾳθυμίᾳ καὶ τῇ περιττῇ καταφρονήσει μηδὲν μήτε τῆς χρόας μήτε ὧν ἔπραττε μεταβαλὼν εὐτολμότατά φησι·

„κλίθητι καὶ πίωμεν, ἐν τούτῳ δέ μου
τὴν πεῖραν εὐθὺς λάμβαν', εἰ κρείσσων ἔσῃ."

104 τοῦτον οὖν πότερον δοῦλον ἢ κύριον ἀποφαντέον τοῦ δεσπότου, μὴ μόνον ἀπελευθεριάζειν ἀλλὰ καὶ ἐπιτάγματα ἐπιτάττειν τῷ κτησαμένῳ καὶ εἰ ἀφηνιάζοι τύπτειν καὶ προπηλακίζειν, εἰ δὲ καὶ βοηθοὺς ἐπάγοιτο, πάντας ἄρδην ἀπολλύναι τολμῶντα; γέλως οὖν ἂν εἴη καὶ φλυαρία πολλὴ τὰ κατὰ τὰς λεγομένας ὠνὰς γράμματα, ἐπειδὰν τῇ καθ' ὧν γράφεται παρευημερηθῇ σθεναρωτέρᾳ δυνάμει, χαρτιδίων ἀγράφων ἀκυρότερα, ὑπὸ σέων ἢ χρόνου ἢ εὐρῶτος εἰς ἅπαν διαφθαρησόμενα.

105 (16.) | Ἀλλ' οὐ χρή, φήσει τις, τὰς τῶν ἡρώων παράγειν εἰς πίστιν ἀρετάς· μείζους γὰρ ἢ κατὰ ἀνθρωπίνην φύσιν γενομένους Ὀλυμπίοις ἁμιλλᾶσθαι, μικτῆς γενέσεως, ἀθανάτων καὶ θνητῶν ἀνακραθέντων σπερμάτων, ἐπιλαχόντας, ἡμιθέους εἰκότως προσαγορευθέντας, τοῦ θνητοῦ μίγματος ὑπὸ τῆς ἀφθάρτου μερίδος κατακρατηθέντος, ὡς μηδὲν εἶναι παράδοξον, εἰ τῶν ἐπ' αὐτοῖς δουλείαν τεχναζόντων ὠλιγώρουν. ἔστω

106 ταῦτα. μὴ καὶ Ἀνάξαρχος ἢ Ζήνων ὁ Ἐλεάτης ἥρωες ἢ ἐκ θεῶν; ἀλλ'

p. 462 M.

---

1 δυσανασχετοῦνθ' G, δυσαναισχυντοῦντι F τε] γε M ῥᾳθυμίᾳ] βλασφημία AQT 1. 2 καὶ τῇ M: καὶ ἐπὶ τῇ ceteri (v) 2 μήθ' ὧν M ἔπραττε] ἐπέτρεπε M 3 μεταβαλὼν MFA: καταβαλὼν ceteri (Turn.) εὐτολμώτατα H 4 κλίθητι om. M πίνωμεν F δέ μου] μὲν F 5 πεῖραν] χεῖρα M εὐθὺς AP²: ἐκ θεοῦ M, εὐθὺ ceteri (v) λάμβαν' εἰ G (coni. Mang.): λάμβανε MFH¹P, λάμβανε καὶ AQTH² (v) κρείσσων] κρεῖττον MH¹P, κρείττων ceteri ἔσῃ] ἔτι M 6 ἀποφαντέον τοῦ δεσπότου M: τοῦ δεσπότου ἀποφαντέον ceteri (v) ante μὴ add. ὡς AQT 7 ἐπίταγμα A ἐπιτάττειν M: ἐπιτάσσειν ceteri (v) post κτησαμένῳ add. τολμῶντα, ὡς Mang. (cf. l. 9) 8 ἀφηνιάζει AQT εἰ δὲ om. M 9 ἄρδην] ἀρ' οὖν M τολμῶντα M: om. ceteri (v) γέλως] ὡς M ἂν οὖν transp. FG εἴη om. M καὶ φλυαρία εἴη transp. F πολλὴ om. AT 10 τῇ G: om. ceteri (v) ὧν] ἃ AQT γράφηται FH¹P 11 παρευημερηθῇ M: παρευημερηθείη ceteri (Turn.) σθεναρώτερον F¹ χαρτίδια T ἀκυρώτερα MFGA 12 ὑπὸ σέων G: ὑπόψεων M, ὑπὸ σητῶν ceteri (v) χρόνου] χρόνων HP (v) ἢ εὐρῶτος ἢ χρόνου transp. AQT εἰσάπαν M, ἐσάπαν A τὰ διαφθαρησόμενα M 13 παράγειν] παρασκευὰς M ἐς A 14 ἢ] καὶ F κατ' FG φύσιν] οὐσίαν M 15 post ἁμιλλᾶσθαι add. δεῖ A μικτῆς] τῆς A καὶ] ἢ AT 16 ἡμιθέου εἰκότως προσαγορευθέντος P 19 μὴ καὶ] καὶ μὴν AQT

---

4 Eur. frg. 691. 13 sqq. cf. Cic. de offic. I 118 sq.

ὅμως ὑπὸ τυράννων ὠμοθύμων καὶ τὴν φύσιν πικρῶν ἔτι μᾶλλον ἐπ' αὐτοῖς ἐκθηριωθέντων στρεβλούμενοι κεκαινουργημέναις αἰκίαις, ὥσπερ ἀλλότρια ἢ ἐχθρῶν ἐπιφερόμενοι σώματα, μάλα καταφρονητικῶς ἠλόγουν τῶν φοβερῶν. τὴν γὰρ ψυχὴν ἐθίσαντες ἐξ ἀρχῆς δι' ἐπιστήμης ἔρωτα 107
τῆς μὲν πρὸς τὰ πάθη κοινωνίας ἀφίστασθαι, παιδείας δὲ καὶ σοφίας περιέχεσθαι, μετανάστιν μὲν σώματος εἰργάσαντο, φρονήσει δὲ καὶ ἀνδρείᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς σύνοικον ἀπέφηναν. τοιγαροῦν ὁ μὲν κρινόμενος 108
καὶ κατατεινόμενος ὑπὲρ τοῦ τι τῶν ἀρρήτων ἐκλαλῆσαι, πυρὸς καὶ σιδήρου, τῶν ἐν τῇ φύσει κραταιοτάτων, φανεὶς δυνατώτερος, ἀποτραγὼν τοῖς ὀδοῦσι τὴν γλῶτταν εἰς τὸν βασανιστὴν ἠκόντισεν, ἵνα μηδ' ἄκων ἃ καλὸν ἡσυχάζειν φθέγξηται βιασθείς. ὁ δὲ τλητικώτατα εἶπε· 109
„πτίσσε τὸν Ἀναξάρχου ἀσκόν· Ἀνάξαρχον γὰρ οὐκ ἂν δύναιο." αὗται γέμουσαι θράσους αἱ εὐτολμίαι τὴν ἡρωϊκὴν εὐγένειαν οὐ μετρίως ὑπερβάλλουσι, διότι τοῖς μὲν τὸ κλέος ἐν τοῖς φυτεύσασιν ἀκούσιον, τῶν δ' ἐν ἐκουσίοις ἀρεταῖς, αἳ τοὺς ἀδόλως χρωμένους ἀθανατίζειν πεφύκασι.

(17.) Παλαιστὰς οἶδα καὶ παγκρατιαστὰς πολλάκις ὑπὸ φιλοτιμίας 110
καὶ τῆς εἰς τὸ νικᾶν σπουδῆς, ἀπαγορευόντων αὐτοῖς τῶν σωμάτων, μόνῃ ψυχῇ διαπνέοντας ἔτι καὶ διαθλοῦντας, ἣν ἐθίσαντες καταφρονητικῶς ἔχειν τῶν φοβερῶν ἐγκαρτεροῦσιν ἄχρι τῆς τοῦ βίου τελευτῆς. εἶτ' 111
οἰόμεθα τοὺς μὲν ἀσκητὰς τῆς ἐν σώμασιν εὐτονίας ἐπιβεβηκέναι φόβῳ

---

1 τὴν φύσιν M: τῇ φύσει ceteri (v) πικρῶν] μικρῶν M ἔτι om. G
2 αἰκίαις] αἰτίαις PQT 3 ἀλλοτρίων AQT ἠλόγουν] ἢ λόγους T
4 δι' ἐπιστήμης ἔρωτα] ἐπιστήμης ἔρωτι M 5 τῆς πρὸς μὲν M 6 περιέχεσθαι GH: παρέχεσθαι MFP, ἔχεσθαι AQT μετανάστιν] μεταναστεῖν FHP; μετανάστασιν Mang. σώματος] τοῦ σώματος H (v) ἀνδρείᾳ A, ἀνδρία FG
7 ἀπέφηναν] ἀπέδειξαν M ὁ μὲν om. M κρινόμενος M: κρεμάμενος ceteri (v)
8 τι om. M ἀρρήτων] ἀπορρήτων PT 9 δυνατότερος M 9. 10 ἀποτραγὼν MF: ἀποτρώγων ceteri (v) 10 ἠκόντισεν] προσέπτυσεν coni. Mang.
11 ἃ καλὸν ἡσυχάζειν M: ἡσυχῇ λόγον F, λόγον ἡσυχῇ ceteri (Turn.) φθέγξηται FGHP: φθέγξοιτο M (Mang.), φθέγγηται AQT πληκτικώτατα HAQT (Turn.)
12 πτίσσε] πίττε HL (sed πτῆσσε mg L), πίπτε F^1, τύπτε AP ἀσκὸν] θύλακον scribi voluit Mang. 13 γέμουσι A θάρσους A 14 ὑπερβάλλουσι v: ὑπερβάλλουσαι codd. τοῖς μὲν] τῆς μὲν FAP τῶν] τὸ M 15 ἐν om. AQT
15. 16 πεφύκασι παλαιστάς. Οἶδα Turn. (Richt.) 16 παγκρατιστὰς AHP (v) φιλοτιμίας] φιλονεικίας M 18 διαπλέοντας Q ἣν] ἵν' M 19 θλιβερῶν H ἐγκαρτερῶσιν M τῆς om. AQT τοῦ] καὶ QT 20 φόβου M

---

7 sqq. cf. Cic. Tusc. II 52. Valer. Max. III 3, 4 [Dio Chrys.] 37, 45. Diog. La. IX 27. 59. Clem. Alex. Strom. IV 7 p. 589 P. Tertull. Apolog. 50.

θανάτου ἢ δι' ἐλπίδα νίκης ἢ ὑπὲρ τοῦ μὴ τὴν ἰδίαν ἧτταν ἐπιδεῖν,
τοὺς δὲ τὸν ἀόρατον νοῦν γυμνάζοντας ἐν ἑαυτοῖς, ὃς ἀψευδῶς ἄνθρωπός
ἐστιν οἶκον ἐπιφερόμενος τὸ αἰσθητὸν εἶδος, καὶ | λόγοις μὲν τοῖς ἐκ p. 463 M.
φιλοσοφίας ἔργοις δὲ τῆς ἀρετῆς ἀλείφοντας οὐχ ὑπὲρ ἐλευθερίας
ἐθελήσειν ἀποθνῄσκειν, ἵν' ἐν ἀδουλώτῳ φρονήματι τὴν εἱμαρμένην
112 ἀνύσωσι πορείαν; ἐν ἀγῶνί φασιν ἱερῷ δύο ἀθλητὰς ἰσορρόπῳ κεχρη-
μένους ἀλκῇ, τὰ αὐτὰ ἀντιδρῶντάς τε καὶ ἀντιπάσχοντας, μὴ πρότερον
ἀπειπεῖν ἢ ἑκάτερον τελευτῆσαι.

„δαιμόνιε, φθίσει σε τὸ σὸν μένος",

113 εἴποι τις ἂν ἐπὶ τῶν τοιούτων. ἀλλὰ γὰρ οὖν κοτίνων μὲν χάριν καὶ
σελίνων εὐκλεὴς ἀγωνισταῖς ἡ τελευτή, σοφοῖς δὲ οὐ πολὺ μᾶλλον
ἐλευθερίας, ἧς ὁ πόθος ταῖς ψυχαῖς μόνον, εἰ δεῖ ταληθὲς εἰπεῖν, ἐνίδρυται
καθάπερ τι μέρος ἡνωμένον οὐ τῶν ἐπιτυχόντων, οὗ διακοπέντος ἅπασαν
114 τὴν κοινωνίαν φθείρεσθαι συμβέβηκε; Λακωνικοῦ παιδὸς ᾄδεται παρ'
οἷς ἔθος ἰχνηλατεῖν ἀρετὰς τὸ ἐκ γένους ἢ φύσεως ἀδούλωτον· ἐπειδὴ
γὰρ αἰχμάλωτος ἁπαχθεὶς ὑπό τινος τῶν Ἀντιγόνου τὰς μὲν ἐλευθέρας
χρείας ὑπέμενε, ταῖς δὲ δουλικαῖς ἠναντιοῦτο φάσκων οὐχὶ δουλεύσειν,
καίτοι μήπω τοῖς Λυκούργου νόμοις παγίως ἐντραφῆναι διὰ τὴν ἡλικίαν
δυνηθείς, ὅτι μόνον αὐτῶν ἐγεύσατο, τοῦ παρόντος ἀβιώτου βίου θά-

---

2 ἀόρατον] ἀχήρατον coni. Mang. ἑαυτοῖς] αὐτοῖς AT ὃς] ὅσον F
3 ἀποφερόμενος AQT τοῖς] τῆς F 3. 4 ἐκ φιλοσοφίας] εἰς φιλοσοφίαν GH (Turn.) 5 εἱμαρμένης FG 6 φησιν F 7 ταὐτὰ δρῶντάς τε καὶ πάσχοντας M 8 τελευτήσειν AQT 10 εἴποι τις ἂν M: εἴποι ἄν τις ceteri (ν) οὖν codd. (ἦν G): ὑπὲρ ν μὲν χάριν M: om. ceteri (ν) 11 εὐκλεὴς] εὐκλείης M ἡ τελευτή] ἥδε λύπη M δ' M πολὺ] πολλῷ H (ν) 12 ἐλευθερία AT ἧς] οἷς F μόνον] μᾶλλον F ἐνίδρυται εἰ δεῖ ταληθὲς εἰπεῖν H ἵδρυται M 13 ἡνωμένον codd. (Mang.): ἡνωμένων Turn. οὐ τῶν ἐπιτυχόντων om. in lac. G οὐ τῶν] οὗ τῶν ATP, αὐτῶν M post ἐπιτυχόντων add. ἔστιν AQT οὗ eras. F πᾶσαν T 14 ᾄδεται] εἴρηται AQT 15 ἔθος ἰχνηλατεῖν M: ἰχνηλατεῖν ἔθος ceteri (ν) ἀρετὰς M: τὰς ἀρετὰς ceteri (ν) 16 ἁπαχθεὶς codd.: ἁπήχθη ν τῶν ἀντιγόνων M 17 ὑπέμενε M: ὑπέμενεν AQTP, ὑπέμεινεν FGH (Turn.) ταῖς δὲ δουλικαῖς M: ἐν δὲ τοῖς δουλικοῖς H (Turn.), ἐν δὲ ταῖς δουλικαῖς ceteri 18 παγίοις M 19 ὅτι] ὅτι μὴ F τοῦ om. M ἀβιώτου βίου M: βιωτοῦ βίαιον PT, βιότου βίαιον AQH (ν), βίου βίαιον FG

---

9 Hom. Il. Z 407. 14 sqq. *Seneca Epist.* 77, *14* exempla nunc magnorum virorum me tibi iudicas relaturum? puerorum referam. Lacon ille memoriae traditur impubis adhuc, qui captus clamabat 'non serviam' sua illa dorica lingua et verbis fidem imposuit: ut primum iussus est servili fungi et contumelioso ministerio, .. inlisum parieti caput rupit.

νατον εὐτυχέστερον κρίνας, ἀπογνοὺς ἀπολύτρωσιν, ἄσμενος ἑαυτὸν διεχρήσατο. λέγεται δὲ καὶ πρὸς Μακεδόνων ἁλούσας Δαρδανίδας γυναῖκας 115
αἴσχιστον κακὸν δουλείαν ὑπολαβούσας οὓς ἐκουροτρόφουν παῖδας εἰς τὸ βαθύτατον τοῦ ποταμοῦ ῥίπτειν ἐπιφωνούσας· „ἀλλ' ὑμεῖς γε οὐ δουλεύσετε, πρὶν δ' ἄρξασθαι βίου βαρυδαίμονος, τὸ χρεὼν ἐπιτεμόντες ἐλεύθεροι τὴν ἀναγκαίαν καὶ πανυστάτην ὁδὸν περαιώσεσθε." Πολυξένην 116
δὲ ὁ τραγικὸς Εὐριπίδης ἀλογοῦσαν μὲν θανάτου φροντίζουσαν δὲ ἐλευθερίας εἰσάγει δι' ὧν φησιν·

„ἑκοῦσα θνῄσκω, μή τις ἅψηται χροὸς
τοὐμοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως,
ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
πρὸς θεῶν μεθέντες κτείνατε."

(18.) εἶτ' οἰόμεθα γυναίοις μὲν καὶ μειρακίοις, ὧν τὰ μὲν φύσει 117
ὀλιγόφρονα τὰ δὲ ἡλικίᾳ εὐολίσθῳ χρώμενα, τοσοῦτον ἐλευθερίας ἔρωτα ἐντήκεσθαι, ὡς ὑπὲρ τοῦ μὴ ταύτην ἀφαιρεθῆναι πρὸς θάνατον ὡς ἐπ' ἀθανασίαν ὁρμᾶν, τοὺς δὲ σοφίας ἀκράτου σπάσαντας οὐκ εὐθὺς ἐλευθέ-
p. 464 M. ρους εἶναι, | πηγήν τινα εὐδαιμονίας τὴν ἀρετὴν ⟨ἐν⟩ ἑαυτοῖς περιφέροντας, ἣν ἐπίβουλος οὐδεμία πώποτε δύναμις κατέζευξε τὸν ἀρχῆς καὶ βασιλείας ἔχουσαν αἰώνιον κλῆρον; ἀλλὰ γὰρ καὶ δήμους ὅλους ἀκούομεν ὑπὲρ 118
ἐλευθερίας ἅμα καὶ πίστεως τῆς πρὸς ἀποθανόντας εὐεργέτας αὐθαί-

---

1 προκρίνας P ἀσμένως MAQT αὐτὸν F 2 Μακεδόνων] λακεδαιμονίων M ἁλούσας M: om. ceteri (Turn.) δαρδανίδας M: τὰς δαρδανίδας ceteri (v) γυναῖκας om. AQT 3 κακῶν FG δουλείας A 4 ῥιπτεῖν M 5 δ' ἄρξασθαι G: δ'ἄρξεσθε (corr. ex δ'ἄρξασθαι) A, δράξασθαι M, ἄρξασθαι F, δὲ ἄρξασθαι HPQT τὸ χρεὼν M: om. in lac. 6—7 litt. G, τροχέων ceteri (Turn.) 6 πανυστάτην καὶ ἀναγκαίαν transp. Q, ἀναγκαίαν καὶ om. T περαιώσασθε FAQ 7 δ' MA τραγικὸς MFG: τραγωδὸς AHP (Turn.), τραγωδικὸς QT δ' MA 9 τις] πως M ἅψαιτο QT χρωτὸς F 10 γὰρ] δὲ AQT δέριν F, δέρρῖν A 11 μ' G: ἔχουσαν M, μ' οὖσαν ceteri (Turn.) 11. 12 ὡς—κτείνατε G: om. ceteri (Turn.) 13 εἶτ' οἰόμεθα] ἐγγυώμεθα M 14 ὀλιγότροφα AT δ' M 15 πρὸς θάνατον M: εἰς θάνατον ceteri (v) 16 ἀθανασίας P ἀκράτως AQT 17 πηγήν τινα M: γῆν τινα FG, ἀμιγῆ τὴν ceteri (Turn.) εὐδαιμονίας τὴν ἀρετὴν MFG: εὐδαιμονίαν τῆς ἀρετῆς ceteri (Turn.) ἐν add. Mang. περιφέροντες H, ἐπιφέροντες P 18 δύναμις πώποτε transp. AQT ἀρχῆς] ἐξ ἀρχῆς M 19 γὰρ om. A 19. 20 ὑπὲρ ἐλευθερίας ἀκούομεν transp. M 20 πρὸς om. T εὐεργέτας] ἐλευθερίας M

---

9 sqq. Eur. Hec. 548 sqq.

ρετον πανωλεθρίαν ὑποστάντας, ὥσπερ φασὶν οὐ πρὸ πολλοῦ Ξανθίους. ἐπειδὴ γὰρ εἰς τῶν ἐπιθεμένων Ἰουλίῳ Καίσαρι, Βροῦτος, ἐπιὼν ἐπ' αὐτοὺς ἐστράτευσε, δεδιότες οὐ πόρθησιν ἀλλὰ ⟨δουλείαν⟩ τὴν ὑπ' ἀνδροφόνου κτείναντος ἡγεμόνα καὶ εὐεργέτην — ἀμφότερα γὰρ ἦν αὐτῷ Καῖσαρ — ἀπεμάχοντο μὲν ἐφ' ὅσον οἷοί τε ἦσαν δυνατῶς τὸ
119 πρῶτον, ὑπαναλούμενοι δὲ ἐκ τοῦ κατ' ὀλίγον ἔτ' ἀντεῖχον. ὡς δὲ ἅπασαν τὴν ἰσχὺν ἐδαπάνησαν, γύναια καὶ γονεῖς καὶ τέκνα συνελάσαντες εἰς τὰς σφῶν οἰκίας ἕκαστοι καθιέρευον· καὶ σωρηδὸν τὰ σφάγια νήσαντες, πῦρ ἐνέντες καὶ ἑαυτοὺς ἐπικατασφάξαντες, ἐλεύθεροι τὸ πεπρωμένον
120 ἀπ' ἐλευθέρου καὶ εὐγενοῦς φρονήματος ἐξέπλησαν. ἀλλ' οὗτοι μὲν πικρίαν ἀμείλικτον τυραννικῶν ἐχθρῶν ἀποδιδράσκοντες πρὸ ἀδόξου βίου τὸν μετ' εὐκλείας θάνατον ᾑροῦντο. οἷς δὲ ἐπέτρεπε ζῆν τὰ πράγματα τὰ τυχηρά, τλητικῶς ὑπέμενον τὴν Ἡράκλειον εὐτολμίαν ἀπομιμούμενοι·
121 καὶ γὰρ ἐκεῖνος τῶν Εὐρυσθέως ἐπιταγμάτων διεφάνη κρείττων. ὁ γοῦν κυνικὸς φιλόσοφος Διογένης ὕψει καὶ μεγέθει τοσούτῳ φρονήματος ἐχρήσατο, ὥσθ' ἁλοὺς ὑπὸ λῃστῶν, ἐπεὶ γλίσχρως καὶ μόλις τὰς ἀναγκαίας αὐτῷ παρεῖχον τροφάς, οὔθ' ὑπὸ τῆς παρούσης τύχης γναμφθεὶς οὔτε τὴν ὠμότητα τῶν ὑπηγμένων δείσας „ἀτοπώτατον οὖν" ἔφη „γίνεται, δελφάκια μὲν ἢ προβάτια, ὁπότε μέλλοι πιπράσκεσθαι, τροφαῖς ἐπι-

---

1 φησὶν F ξανθίους H: ξανθία FGP, ξανθίσας M, ξάνθον AQT 2 ἐπιτιθεμένων F ἐπιὼν AQT: σκηπίων M, καὶ ἐπιὼν ceteri (v) 3 δουλείαν add. Mang., om. codd. 4. 5 ἦν αὐτῷ καῖσαρ M: αὐτῷ καῖσαρ ἦν ceteri (v) 5 post μὲν add. αὐτῷ AQT τ' A 6 ὑπανελόμενοι P δ' A ἔτ' ἀντεῖχον F^2: ἐπαντεῖχον M, ἔτ' ἀντίσχον F^1GH (v), ἔτ' ἀνίσχον P, ἔτ' ἀνεῖχον QT, ἔτ' ἀνέχον A ὡς δ' M 7 ἐδαπάνησαν M: ἐδαπανήθησαν ceteri (v) 8 τὰ σφάγια νήσαντες] ἐφοδιάσαντες M στή νήσαντες] στήσαντες H (Turn.), θύσαντες L 9 ἐνιέντες M ἐπικαταφλέξαντες F 10 ἐλευθέρου καὶ εὐγενοῦς M: εὐγενοῦς καὶ τ ἐλευθέρου ceteri (v) ἐξέπλησαν] ἐξέπλησαν H (ἐξέτλησαν v), ἐξεσύλησαν M; ἐξετέλεσαν coni. Mang. 12 μετ' εὐκλείας] σὺν εὐκλεία M ᾑροῦντο] ἡγοῦντο AT δ' M τὰ πράγματα ζῆν transp. M 13 τλητικῶς corr. ε ο ex πληκτικῶς A ὑπέμειναν H 14 τῶν om. F εὐρυσθέος P ἐπιταγμάτων om. M ἐφάνη P 15 γοῦν] γὰρ T, δὲ A ὕψει] ὄψει L (Turn.) τοσούτου MFA 16 ἐχρήσατο] ἐγεύσατο A ὥσθ' ἁλοὺς ὑπὸ λῃστῶν] ὥστ' ἄλλους ὑποπλήττων M γλίσχρως om. M μόλις scripsi (cf. M): μόγις codd. (v) μόλις τὰς] μάλιστ' M 17 αὐτῷ παρεῖχον MA: αὐτῷ om. T, παρεῖχον αὐτῷ ceteri (v) γναμφθεὶς M: καμφθεὶς ceteri (Turn.) 18 οὖν MPQ: om. ceteri (Turn.) γίγνεται M 19 πρόβατα F μέλλει QT

---

1 sqq. cf. Appian. Bell. civ. IV 76—80. Cass. Dio 47, 34.

μελεστέραις πιαίνειν εἰς εὐσαρκίαν, ζῴων δὲ τὸ ἄριστον, ἄνθρωπον, ἀσιτίαις κατασκελετευθέντα καὶ συνεχέσιν ἐνδείαις ἐπευωνίζεσθαι.“ λαβὼν δὲ τροφὰς διαρκεῖς, ἐπειδὴ μεθ' ἑτέρων αἰχμαλώτων ἔμελλεν 122
ἀπεμπολεῖσθαι, καθίσας πρότερον ἠρίστα μάλ' εὐθαρσῶς, ἐπιδιδοὺς καὶ τοῖς πλησίον. ἑνὸς δὲ οὐχ ὑπομένοντος, ἀλλὰ καὶ σφόδρα κατηφοῦντος, „οὐ παύσῃ τῆς συννοίας; χρῶ τοῖς παροῦσιν“ ἔφη·

„καὶ γάρ τ' ἠύκομος Νιόβη ἐμνήσατο σίτου,
τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.“

p. 465 M. | εἶτ' ἐπινεανιευόμενος πρὸς τὸν πυθόμενον τῶν ὠνητικῶς ἐχόντων „τί 123
11 οἶδας;“ „ἄρχειν“ εἶπεν „ἀνθρώπων,“ ἔνδοθεν, ὡς ἔοικε, τῆς ψυχῆς τὸ ἐλεύθερον καὶ εὐγενὲς καὶ φύσει βασιλικὸν ὑπηχούσης. ἤδη δὲ καὶ πρὸς

---

1 πιαίνειν εἰς εὐσαρκίαν M: εἰς εὐσαρκίαν πιαίνειν ceteri (v) ζώων Q ἄνθρωπον] ἔνεστιν T 2 ἀσιτίαις] ὡς εἶναι M κατασκελετευθέντα FGQT: κατασκελευθέντα P, κατασκελθέντα A, κατεσκληκευθέντα H (κατασκληκευθέντα v), κατασκευασθέντα M καὶ συνεχέσιν ἐνδείαις (post κατασκ.) M: om. ceteri (Turn.) ἐπευωνίζειν conicio 3 αἰχμαλώτων M: om. ceteri (Turn.) 4 ἀπεμπωλεῖσθαι QT μάλα MA 5 ἑνὸς] υἱὸς T δ' MA οὐχ ὑπομένοντος M: οὐ λυπουμένου ὄντος FGAP, οὐ μόνον λυπουμένου ὄντος QT, οὐ μόνον λυπουμένου H (v) 5. 6 καὶ σφόδρα — τῆς συννοίας om. M 6 χρῶ τοῖς παροῦσιν ἔφη M: ἔφη· χρῶ τοῖς παροῦσι ceteri (v) 7 τ' om. codd. ἠύκομος] εὔκομος M, ἡ ἠύκομος G, ἡ εὔκοσμος AT μνήσατο codd. σίτου] σου M 8 τῇ] ἧς M περ] περὶ F ὤλοντο MAH 9 υἱέες FG: υἱεῖς MHP, υἱοὶ AQT ἡβῶντες M, ἡβώοντες P, ἡβώωντες H¹QT 10 εἶτ' M: καὶ AQT, om. ceteri (Turn.) ἐπινεανιευόμενος δὲ G, ἐπινεανιευόμενοι FH πρὸς τὸν πυθόμενον τῶν ὠνητικῶς ἐχόντων M: τῶν ὠνητικῶς ἐχόντων τινὶ G, τινι τῶν ὠνητικῶς ἐχόντων ἐρωτήσαντι AQT, τῶν ὠνητικῶς ἐχόντων (cet. om.) FHP 11 εἶπεν ἄρχειν transp. G 12 ὑπαρχούσης F δὲ om. F

---

7 sqq. Hom. Il. Ω 602 sqq. 10 sqq. Diog. La. VI 29 φησὶ δὲ Μένιππος ἐν τῇ Διογένους Πράσει, ὡς ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη, τί οἶδε ποιεῖν· ἀπεκρίνατο „ἀνδρῶν ἄρχειν“. VI 74 καὶ πρᾶσιν ἤνεγκε γενναιότατα· πλέων γὰρ εἰς Αἴγιναν καὶ πειρατῶν ἁλούς, ὧν ἦρχε Σκίρπαλος, εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο· καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί οἶδε ποιεῖν, ἔφη „ἀνθρώπων ἄρχειν“. ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν προειρημένον Ξενιάδην, ἔφη· „τούτῳ με πώλει, οὗτος δεσπότου χρῄζει“. Stob. Ecl. III 3, 52 Διογένης πωλούμενος ἐν Κορίνθῳ, ἐρομένου τοῦ κήρυκος, „τί ἐπίστασαι;“ „ἀνθρώπων“ ἔφη „ἄρχειν“. Suid s. v. Διογένης¹· ... πλέων δὲ ὑπὸ καταπόντιστῶν ληφθεὶς ἐπράθη, κηρυττόμενος δὲ καὶ ἐρωτώμενος, τί εἰδείη, „ἄρχειν ἀνθρώπων“ ἔφη. καὶ θεασάμενος Κορίνθιον πλούσιον ἄσωτον „τούτῳ με“ ἔφη „πώλησον, δεσπότου γὰρ δεῖται“. cf. Clem. Alex. Paed. III 3 p. 261 P.

χαριεντισμὸν ὑπὸ τῆς συνήθους ἐκεχειρίας, ἐφ' ᾗ οἱ ἄλλοι συννοίας
124 γέμοντες κατήφουν, ἐτράπετο. λέγεται γοῦν, ὅτι θεασάμενός τινα τῶν
ὠνουμένων, ὃν θήλεια νόσος εἶχεν, ἐκ τῆς ὄψεως οὐκ ἄρρενα προσελθὼν
ἔφη· „σύ με πρίω· σὺ γὰρ ἀνδρὸς χρείαν ἔχειν μοι δοκεῖς," ὡς τὸν
μὲν δυσωπηθέντα ἐφ' οἷς ἑαυτῷ συνήδει καταδῦναι, τοὺς δὲ ἄλλους τὸ
σὺν εὐτολμίᾳ εὐθυβόλον ἐκπλήττεσθαι. ἆρά γε τῷ τοιούτῳ δουλείαν,
ἀλλ' οὐ μόνον ἐλευθερίαν δίχα ἀνυπευθύνου ἡγεμονίας ἐπιφημιστέον;
125 ζηλωτὴς δὲ τῆς τούτου παρρησίας ἐγένετό τις Χαιρέας τῶν ἀπὸ παιδείας.
Ἀλεξάνδρειαν γὰρ οἰκῶν τὴν πρὸς Αἰγύπτῳ, δυσχεράναντός ποτε Πτολε-
μαίου καὶ ἀπειλήσαντος οὐ μετρίως, τῆς ἐκείνου βασιλείας οὐδὲν ἐλάττονα
τὴν ἐν τῇ ἑαυτοῦ φύσει νομίσας ἐλευθερίαν, ἀντέλεξεν·

„Αἰγυπτίοισιν ἄνασσε, σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω
οὐδ' ὄθομαι κοτέοντος."

126 ἔχουσι γάρ τι βασιλικὸν αἱ εὐγενεῖς ψυχαί, τὸ λαμπρὸν πλεονεξίᾳ τύχης
οὐκ ἀμαυρούμεναι, ὃ προτρέπει καὶ τοῖς τἀξίωμα ὑπερόγκοις ἐξ ἴσου
127 διαφέρεσθαι, ἀλαζονείᾳ παρρησίαν ἀντιτάττον. Θεόδωρον λόγος ἔχει
τὸν ἐπικληθέντα ἄθεον ἐκπεσόντα τῶν Ἀθηνῶν καὶ πρὸς Λυσίμαχον ἐλ-
θόντα, ἐπειδή τις τῶν ἐν τέλει τὸν δρασμὸν ὠνείδισεν, ἅμα καὶ τὰς αἰτίας
ἐπιλέγων, ὅτι ἐπὶ ἀθεότητι καὶ διαφθορᾷ τῶν νέων καταγνωσθεὶς ἐξέπεσεν,
128 „[οὐκ] ἐξέπεσον" φάναι, „τὸ δ' αὐτὸ ἔπαθον τῷ Διὸς Ἡρακλεῖ. καὶ

---

1 χαριέντισμὸν] χάριν σεισμὸν M συνήθους] συνωθούσης M ἐκκεχειρίας APT ἐκεχειρίας corruptum; εὐχερείας coni. Mang. ἐφ' ᾗ AQT: ἔφη FP, ἐφ' ὧ H (v), ἐφ' οἷς M, κἂν G οἱ ἄλλοι] οἷα M 2 γοῦν] οὖν A 2. 3 τῶν ὠνουμένων om. AQT 3 οὐκ ἄρρενα] ὡς οὐκ εἰς ἄρρενα P 4 ἔφη· σύ] ἔφη σε M με πρίω] μ' ἐπρίω L (Turn.), μετρίως M σὺ γάρ] οὐ γὰρ M 5 συνήδει] σύνοιδε H (v) καταδῦναι] κατα ... (spat. 5—6 litt.) G 6 σὺν εὐτολμίᾳ] μετ' εὐτολμίας conicio 6. 7 ἆρά γε (γ' A) ἐλευθερίαν τῷ τοιούτῳ δούλῳ, ἀλλ' οὐδὲ (οὐ δὴ QT) μόνην ἐλευθερίαν AQT 7 οὐ] οὐδὲ (A)FP μόνον M: μόνην ceteri (v) δίχ' A ἡγεμονείας P 9 ἀλεξάνδρ A τὴν πρὸς Αἰγύπτῳ om. F πρὸς αἴγυπτον P δυσχεράνοντος P 12 ἀλογίζω P 13 ὄθομαι] αἴθομαι AP 15 ὃ] αἷς A, καὶ P προτρέπει MPT: πρέπει ceteri (Turn.) τἀξίωμα M: τὸ ἀξίωμα ceteri (v) 16 ἀλαζονείαν A παρρησία M, παρουσίαν A ἀντιτάττον M, ἀντιτάττων H, ἀντιτάττουσαι AP² 17 ἐκπεσόντα τῶν ἀθηνῶν τὸν μοναχὸν (sic) ἐπικληθέντα ἄθεον transp. AQT 18 δρασμὸν] διωγμὸν F² in ras. ὠνείδιζεν M 19 διαφορᾷ A ἐξέπεσε M 20 οὐκ seclusi Mangeii sententiam secutus ἐξέπεσον] ἔπεσον AQT, om. M φάναι] ἔφη P

---

12 Hom. Il. *A* 180. 181.

γὰρ ἐκεῖνος ἐξετέθη πρὸς τῶν Ἀργοναυτῶν, οὐκ ἀδικῶν, ἀλλ' ὅτι μόνος πλήρωμα καὶ ἕρμα καθ' αὑτὸν ὢν ἐναυβάρει, δέος παρασχὼν τοῖς συμπλέουσι, μὴ τὸ σκάφος ὑπέραντλον γένηται. κἀγὼ διὰ τοῦτο μετανέστην, ὕψει καὶ μεγέθει τῆς ἐμῆς διανοίας τῶν πολιτευομένων Ἀθήνησιν οὐ δυνηθέντων συνδραμεῖν, ἅμα καὶ φθονηθείς." προσανερομένου δὲ Λυσι- **129**
μάχου· „μὴ καὶ ἐκ τῆς πατρίδος ἐξέπεσες φθόνῳ;" πάλιν ἀποκρίνασθαι· „φθόνῳ μὲν οὔ, φύσεως δὲ ὑπερβολαῖς, ἃς ἡ πατρὶς οὐκ ἐχώρει.
p. 466 M. καθάπερ γὰρ Σεμέλης, ἡνίκα Διόνυσον ἐκύει, τὸν ὡρισμένον ἄχρι τῆς | **130**
ἀποτέξεως χρόνον ἐνεγκεῖν οὐ δυνηθείσης, καταπλαγεὶς Ζεὺς τὴν τοῦ κατὰ γαστρὸς φύσιν ἠλιτόμηνον ἐξελκύσας ἰσότιμον τοῖς οὐρανίοις ἀπέφηνε θεοῖς, οὕτω κἀμέ, τῆς πατρίδος βραχυτέρας οὔσης ἢ ὥστε δέξασθαι φιλοσόφου φρονήματος ὄγκον τοσοῦτον, δαίμων τις ἢ θεὸς ἀναστήσας εἰς εὐτυχέστερον τόπον Ἀθήνας ἀποικίσαι διενοήθη."

(19.) Τῆς δὲ ἐν σοφοῖς ἐλευθερίας, ὥσπερ καὶ τῶν ἄλλων ἀνθρωπίνων **131**
ἀγαθῶν, κἂν τοῖς ἀλόγοις ζῴοις παραδείγματα σκοπῶν ἄν τις εὕροι. οἱ γοῦν ἀλεκτρυόνες οὕτως εἰώθασι φιλοκινδύνως ἀγωνίζεσθαι, ὥστε ὑπὲρ

---

1 τῶν] τὸν F 2 ἕρμα] ἔρυμα M ἐναυβάρει GHP¹: ἐ≡βάρει F, ἐναυβάτει M (prob. Mang.), ἐναυάγει AQTP² 3 μετανέστην FGHP: μετανάστης MAQT 4. 5 ὕψει — δυνηθέντων om. AQT 5 post συνδραμεῖν add. μὴ θελήσας ἀθηναίοις AQT ἅμα M: ἀλλὰ ceteri (v) προσαναφερομένου L 6 μὴ om. M ἐξέπεσε ATP², ἐκπέσας M πάλιν om. H (Turn.), om. in lac. M ἀποκρίνεσθαι M 7 δ' MA πατρὶς] πάτριος HP¹ 8 σεμέλην M 9 καταπλαγεὶς] καταλαβὼν coni. Mang. 9. 10 Ζεὺς — φύσιν om. T 10 ἠλιγόμηνον A ἐξελκύσας M: ἐξετέλεσε καὶ A, ἐξέκαυσε καὶ ceteri (v) ἀπέφανε A, ἐναπέφηνε P 11 ἢ om. M 12 φιλοσόφου] φιλοτιμίαν AQT ὄγκον τὲ τοσοῦτον AQT τις om. M 13 ἀθηνῶν AQT ἀποικῆσαι M 14 τῆς] τοῖς G δ' A 15 κἂν H: ἐν ceteri ἄν τις σκοπῶν transp. M εὕροι om. M 16 οὕτως] ὄντως M, ὅπως F φιλοκινδύνως] φιλωδύνως M, φιλογύνως G, φιλοτίμως F ὑπὲρ] ὑπὸ QT

---

1 sqq. Apollod. Bibl. I 9, 19, 3 Φερεκύδης δὲ αὐτὸν (Ἡρακλέα) ἐν Ἀφεταῖς τῆς Θεσσαλίας ἀπολειφθῆναι λέγει, τῆς Ἀργοῦς φθεγξαμένης μὴ δύνασθαι φέρειν τὸ τούτου βάρος. Schol. Apoll. Rh. I 1290 Ἀντίμαχος ἐν τῇ Λύδῃ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. 5 sqq. Plut. de exilio 16 ... θαυμαστὸν γάρ, εἰ Θεόδωρος ἀπαρρησίαστος ἦν, ὅς, Λυσιμάχου τοῦ βασιλέως εἰπόντος πρὸς αὐτὸν ἡ πατρίς σε τοιοῦτον ὄντ' ἐξέβαλε', 'ναί', εἶπε, 'μὴ δυναμένη φέρειν ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον'. Diog. La. II 102 ὅτε καὶ παρρησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, 'λέγε μοι, Θεόδωρε, οὐ σὺ εἶ ὁ ἐκπεσὼν Ἀθήνηθεν;' καὶ ὅς, 'ὀρθῶς ἀκήκοας· ἡ γὰρ τῶν Ἀθηναίων πόλις οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον, ἐξέβαλε'.

τοῦ μὴ εἶξαι καὶ παραχωρῆσαι, κἂν ἡττῶνται ταῖς δυνάμεσιν, οὐχ
132 ἡττώμενοι ταῖς εὐτολμίαις ἄχρι θανάτου παραμένουσιν. ὃ συνιδὼν
Μιλτιάδης ὁ τῶν Ἀθηναίων στρατηγός, ἡνίκα βασιλεὺς ὁ Περσῶν ἅπασαν
τὴν ἀκμὴν τῆς Ἀσίας ἀναστήσας μυριάσι πολλαῖς διέβαινεν ἐπὶ τὴν
Εὐρώπην, ὡς ἀναρπάσων αὐτοβοεὶ τὴν Ἑλλάδα, συναγαγὼν ἐν τῷ πανα- 5
θηναϊκῷ τοὺς συμμάχους ὀρνίθων ἀγῶνας ἐπέδειξε, λόγου παντὸς δυνα-
τωτέραν ὑπολαμβάνων ἔσεσθαι τὴν διὰ τῆς τοιαύτης ὄψεως παρακέλευσιν·
133 καὶ γνώμης οὐχ ἥμαρτε. θεασάμενοι γὰρ τὸ τλητικὸν καὶ φιλότιμον
ἄχρι τελευτῆς ἐν ἀλόγοις ἀήττητον, ἁρπάσαντες τὰ ὅπλα πρὸς τὸν πόλεμον
ὥρμησαν, ὡς ἐχθρῶν ἀγωνιούμενοι σώμασι, τραυμάτων καὶ σφαγῶν 10
ἀλογοῦντες, ὑπὲρ τοῦ καὶ ἀποθανόντες ἐν ἐλευθέρῳ γοῦν τῷ τῆς πατρίδος
ἐδάφει ταφῆναι. προτροπῆς γὰρ εἰς βελτίωσιν οὐδὲν οὕτως αἴτιον, ὡς
134 ἡ τῶν ἀφανεστέρων ἐλπίδος μείζων κατόρθωσις. τοῦ δὲ περὶ τοὺς
ὄρνιθας ἐναγωνίου μέμνηται καὶ ὁ τραγικὸς Ἴων διὰ τούτων·

„οὐδ' ὅ γε σῶμα τυπεὶς διφυεῖς τε κόρας ἐπιλάθεται ἀλκᾶς, 15
ἀλλ' ὀλιγοδρανέων φθογγάζεται·
θάνατον δ' ὅ γε δουλοσύνας προβέβουλε."

135 τοὺς οὖν σοφοὺς τί οἰόμεθα οὐκ ἀσμενέστατα δουλείας ἀντικαταλλάξεσθαι
τελευτήν; τὰς δὲ τῶν νέων καὶ εὐφυῶν ψυχὰς ἀρ' οὐκ ἄτοπον λέγειν
ἐν ἄθλοις ἀρετῆς ὀρνίθων ἐλαττοῦσθαι καὶ μόλις φέρεσθαι τὰ δευτερεῖα; 20

---

2 ἡττώμενοι MP: ἡττῶνται ceteri (v) ἄχρι MG: ἀλλ' ἄχρι F, ἄχρι γὰρ ceteri (v)
4. 5 τὴν εὐρώπην M: τῆς εὐρώπης ceteri (Turn.) 6 ἀγῶνας M: ἀγῶνα ceteri (v) ὑπέδειξε AQT 7 ὑπολαμβάνων M: ὑπολαβὼν ceteri (v) 8 ἥμαρτεν M θεασάμενος A 9 τελευτῆς] τελε τὰς ὡς (sic) M τὰ om. M
10 ἀγωνιούμενοι] ἐναγωνιούμενοι H (v) σώμασιν P 10. 11 ἀλογοῦντες τραυμάτων καὶ σφαγῶν transp. P 11 ἀλογούντων T ἀποθανόντας M ἐν om. M ἐν ἐλευθερίᾳ AQT γοῦν τῷ codd.: τῷ γοῦν v
12 προτροπὴ M γὰρ] δὲ QT 13 ἐλπίδων P τοὺς] τὰς T
15 οὐδ' ὅ γε GHP: οὐδέ γε τὸ M, οὐδ' εἴ γε F, οὐδ' ὅτε A, οὐδ' ὅτι QT τυπεὶς MGQ: τύπτεις FHP, τύπτει AT διφυεῖς APQT: διαφυεῖς FH, διαφυεὶς M, διαφ εἶς G ἀλκῆς MQT 17 δ' ὅ γε] δ' ὅτε A, δέ γε M δουλοσύνης AQT 18 οὐκ om. QT ἀντικαταλλάξεσθαι scripsi: ἀντικαταλλάξασθαι MFG, ἀνταλλάξασθαι ceteri (ἀνταλλάξεσθαι v) 19 νέων] εὐγενῶν coni. Mang.
20 ὀρνιθίων M μόλις] μόγις F

---

3 sqq. eandem quam de Miltiade Philo historiolam de Themistocle narrat Aelianus Var. Hist. II 28; cf. etiam (de Socrate et Iphicrate) Diog. La. II 30. 15 sqq. Ion trag. frg. 53.

Καὶ μὴν οὐδ' ἐκεῖνό τις τῶν ἐπὶ βραχὺ παιδείας ἁψαμένων ἀγνοεῖ, 136
ὅτι καλὸν μὲν πρᾶγμα ἐλευθερία, αἰσχρὸν δὲ δουλεία, καὶ ὅτι τὰ μὲν καλὰ
πρόσεστι τοῖς ἀγαθοῖς, τὰ δ' αἰσχρὰ τοῖς φαύλοις· ἐξ ὧν ἐναργέστατα
παρίσταται τὸ μήτε τινὰ τῶν σπουδαίων δοῦλον εἶναι, κἂν μυρίοι τὰ
δεσποτῶν σύμβολα προφέροντες ἐπανατείνωνται, μήτε τῶν ἀφρόνων
ἐλεύθερον, κἂν Κροῖσος ἢ Μίδας ἢ ὁ μέγας βασιλεὺς ὢν τυγχάνῃ.
p.467 M. (20.) | τὸ δὲ ἐλευθερίας μὲν ἀοίδιμον κάλλος δουλείας δὲ ἐπάρατον 137
αἶσχος ὑπὸ τῶν παλαιοτέρων καὶ πολυχρονιωτέρων καὶ ὡς ἐν θνητοῖς
ἀθανάτων, οἷς θέμις ἀψευδεῖν, πόλεών τε καὶ ἐθνῶν μαρτυρεῖται.
βουλαί τε γὰρ καὶ ἐκκλησίαι καθ' ἑκάστην σχεδὸν ἡμέραν ἀθροίζονται 138
περὶ τίνος μᾶλλον ἢ ἐλευθερίας παρούσης μὲν βεβαιώσεως, εἰ δ' ἀπείη,
κτήσεως; ἡ δ' Ἑλλὰς καὶ βάρβαρος κατὰ ἔθνη στασιάζουσι καὶ πολε-
μοῦσιν ἀεί τί βουλόμεναι ὅ τι μὴ δουλείαν μὲν ἀποδιδράσκειν, ἐλευθερίαν
δὲ περιποιεῖσθαι; διὸ κἂν ταῖς μάχαις ἡ λοχαγῶν καὶ ταξιαρχῶν καὶ 139
στρατηγῶν μεγίστη παρακέλευσις ἥδ' ἐστί· „κακῶν τὸ βαρύτατον, ἄνδρες
σύμμαχοι, δουλείαν ἐπιφερομένην ἀπωσώμεθα· τοῦ καλλίστου τῶν ἐν
ἀνθρώποις ἀγαθῶν, ἐλευθερίας, μὴ περιίδωμεν. ἥδ' ἐστὶν ἀρχὴ καὶ
πηγὴ τῆς εὐδαιμονίας, ἀφ' ἧς αἱ κατὰ μέρος ῥέουσιν ὠφέλειαι." διό 140
μοι δοκοῦσιν οἱ τῶν Ἑλλήνων ὀξυδερκέστατοι διάνοιαν Ἀθηναῖοι —
ὅπερ γὰρ ἐν ὀφθαλμῷ κόρη ἢ ἐν ψυχῇ λογισμός, τοῦτ' ἐν Ἑλλάδι
Ἀθῆναι — τὴν ἐπὶ ταῖς Σεμναῖς Θεαῖς πομπὴν ὅταν στέλλωσι, δοῦλον
μηδένα προσπαραλαμβάνειν τὸ παράπαν, ἀλλὰ δι' ἐλευθέρων ἕκαστα

---

1 paragraphos 136—143 ante paragraphum 32 transponendas esse coniecit Krell ante τις add. εἴποι M ἀγνοεῖ om. M 3 δὲ M 4 τὸ] τὸ δὲ F μυρίοι] τινες AQT 5 προσφέροντες QT ἐπανατείνονται MP μήτ' ἀφρόνων AT 6 τυγχάνοι H 7 paragraphos 137—143 aliunde huc illatas esse censuit Massebieau δ' A κάλλος] κάκιον T δὲ (post δουλείας) MQT: δ' A, τε ceteri 8 ἐν om. FGP 9 ἀθανατωτέρων M ερὶ 11 παρὰ F περὶ τίνος] περί τινος Mang. 12 κατὰ] καὶ τὰ MF 12. 13 πολεμοῦσι MP 13 ἀεὶ om. M, ante καὶ πολεμοῦσι transp. P ὅ τι μὴ] ἢ τὸ M, ὅτι χρὴ AP² 14 περιποιήσασθαι M κἀν] καὶ QT 16 ἀπω-σόμεθα P 17 ἐλευθερίας om. et post περιίδωμεν add. τὸ δ' ἔστιν ἐλευθερία P 19 ὀξυδορκέστατοι P, ὀξυδερκέστεροι M τὴν διάνοιαν T 20 γὰρ ss. F² ὀφθαλμοῖς F ψυχαῖς P τοῦτο MA 21 ἀθηναῖοι P², ἀθῆναι οἱ M 22 προσπαραλαμβάνειν M: παραλαμβάνειν P, προσλαμβάνειν ceteri (v)

---

2 Stob. Ecl. II 7, 11ᵍ (de Stoicis) καθόλου δὲ τοῖς μὲν σπουδαίοις πάντα τἀγαθὰ ὑπάρχειν, τοῖς δὲ φαύλοις πάντα τὰ κακά. 21 Σεμναὶ Θεαί intellegendae sunt Demeter et Persephone; erat autem servis ad Thesmophoria aditus Athenis illicitus: Arist. Thesmophor. 294.

τῶν νενομισμένων ἀνδρῶν τε καὶ γυναικῶν ἐπιτελεῖν, καὶ οὐχ οἵων ἂν τύχῃ, ἀλλὰ βίον ἐζηλωκότων ἀνεπίληπτον· ἐπεὶ καὶ τὰ πρὸς τὴν ἑορτὴν πέμματα τῶν ἐφήβων οἱ δοκιμώτατοι σιτοπονοῦσι, πρὸς εὐδοξίας καὶ
141 τιμῆς, ὅπερ ἐστί, τὴν ὑπηρεσίαν τιθέμενοι. πρῴην ὑποκριτῶν τραγῳδίαν ἐπιδεικνυμένων καὶ τὰ παρ' Εὐριπίδῃ τρίμετρα διεξιόντων ἐκεῖνα

„τοὐλεύθερον γὰρ ὄνομα παντὸς ἄξιον,
κἂν σμίκρ' ἔχῃ τις, μεγάλ' ἔχειν νομιζέτω",

τοὺς θεατὰς ἅπαντας εἶδον ἐπ' ἄκρων ποδῶν ὑπ' ἐκπλήξεως ἀναστάντας καὶ φωναῖς μείζοσι καὶ ἐκβοήσεσιν ἐπαλλήλοις ἔπαινον μὲν τῆς γνώμης, ἔπαινον δὲ καὶ τοῦ ποιητοῦ συνείροντας, ὃς οὐ μόνον τὴν ἐλευθερίαν
142 ἔργοις ἀλλὰ καὶ τοὔνομα αὐτῆς ἐσέμνυνεν. ἄγαμαι καὶ τῶν Ἀργοναυτῶν, οἳ σύμπαν ἀπέφηναν ἐλεύθερον τὸ πλήρωμα μηδένα μηδὲ τῶν εἰς ἀναγκαίας ὑπηρεσίας προσέμενοι δοῦλον, ἀδελφὴν ἐλευθερίας αὐτουργίαν ἐν
143 τῷ τότε ἀσπασαμένων. εἰ δὲ καὶ ποιηταῖς προσέχειν ἄξιον — διὰ τί δὲ οὐ μέλλομεν; παιδευταὶ γὰρ οὗτοί γε τοῦ σύμπαντος βίου, καθάπερ ἰδίᾳ γονεῖς παῖδας καὶ οὗτοι δημοσίᾳ τὰς πόλεις σωφρονίζοντες —, οὐδ' ἡ Ἀργὼ ναυαρχοῦντος Ἰάσονος ἐπέτρεπεν ἐπιβαίνειν οἰκέταις,

---

1 ἐπιτελούντων A οἵων] ὃν M 2 τύχοι AH (Turn.) τὴν om. AQT 4 τραγωδίας AT 5 τὰ om. QT εὐριπίδι AP 6 τοὐλεύθερον γὰρ Stob.: τὸ ἐλευθερίας γὰρ QT, τὸ γὰρ ἐλευθερίας A, τὸ ἐλεύθερον γὰρ ceteri (τ' ἐλεύθερον γὰρ v) 7 σμίκρ'] μικρὰ M, σμικρὸν AT, σμικρὰ ceteri μεγάλα MFHP νομιζέτω] νομίζεται Stob. 8 τοὺς θεατὰς MG: τοὺς οὖν θεατὰς ceteri (v) ἅπαντας om. M εἶδον] ἤδον M ἐπ' ἄκρων M: ἀπ' ἄκρων ceteri ἀναστάντες (ες corr. ex ος?) M 9 καὶ ante φωναῖς om. FQT ἐπαλλήλαις M, ἐπ' ἀλλήλους T 10 καὶ om. AQT συνείροντες M, συνείροντος P 11 ἄγαμαι καὶ τὸ τῶν Ἀργοναυτῶν coni. Mang. 12 μηδὲ M: μητὲ ex μηδὲ corr. H, μήτε ceteri (v) τῶν εἰς M: τῶν ἰδίας μήτε τῶν G, τῶν ἰδίας FP, τῆς ἰδίας HAQT (Turn.) 13 post ὑπηρεσίας add. ἕνεκα G προέμενοι M, προσιέμενοι FA δούλων G ἀδελφὴν MGQ: ἀδελφὸν ceteri (v) ἐλευθερία QT, ἐλεύθερον A αὐτουργίαν M: λειτουργίαν ceteri (Turn.) 14 εἰ δὲ] εἴ γε G (εἰ δὴ v) ποιητῇ AQT ἄξιον M: ὅσιον ceteri (Turn.) 15 δ' M οὗτοί γε om. M, post τοῦ σύμπαντος transp. QT 16 ἰδίᾳ] οἷα M παῖδας M (coni. Mang.): παιδὸς ceteri (v) καὶ ante οὗτοι videtur delendum δημοσίᾳ om. T δημοσία τὰς πόλεις M: τὰς πόλεις δημοσία ceteri (v) σωφρονίζοντες M: σωφρονίζουσιν ceteri (v) 17 οὐδ' ἡ]. οὔ δὴ FHPT ἀργοναυταρχοῦντος HP (ἀργοναυαρχοῦντος Turn.) ἐπέτρεπεν] ἐπέγραπτεν (sic) F ἐπιβαίνειν ἐπιτρέπει οἰκέτην A, οὐκ ἐπιτρέπει ἐπιβαίνειν οἰκέτην QT

---

6 Eur. frg. 275, 3. 4 (ap. Stob. Ecl. IV 8, 3).

p.468 M. μεμοιραμένη | ψυχῆς καὶ λογισμοῦ, φύσις οὖσα φιλελεύθερος. ὅθεν καὶ ὁ Αἰσχύλος ἐπ' αὐτῆς εἶπε·

„ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερόν, αὔδασον, ξύλον;"

Ἐπανατάσεων δὲ καὶ ἀπειλῶν, ἃς σοφοῖς ἀνδράσιν ἐπανατείνονται 144
καὶ ἀπειλοῦσί τινες, ἥκιστα φροντιστέον καὶ τὰ ὅμοια λεκτέον Ἀντιγενίδᾳ τῷ αὐλητῇ. καὶ γὰρ ἐκεῖνόν φασιν, ἐπειδή τις τῶν ἀντιτέχνων ὀργισθεὶς εἶπεν „ὠνήσομαί σε," βαθεῖ ἤθει φάναι· „κἀγὼ τοιγαροῦν διδάξω σε αὐλεῖν." ἄξιον οὖν καὶ τῷ σπουδαίῳ πρὸς μὲν τὸν ἔχοντα ὠνητικῶς 145
λέγειν· „σωφροσύνην ἄρα ἀναδιδαχθήσῃ", πρὸς δὲ τὸν ἀπειλοῦντα φυγήν· „πᾶσα γῆ μοι πατρίς", πρὸς δὲ τὸν χρημάτων ζημίαν· „ἀρκεῖ μετρία βιοτά μοι", πρὸς δὲ τὸν πληγὰς ἢ θάνατον ἐπανατεινόμενον· „οὐ 146
μορμολύττεταί με ταῦτα, οὐδ' εἰμὶ πυκτῶν ἢ παγκρατιαστῶν ἐλάττων, οἵτινες ἀμαυρὰ εἴδωλα ἀρετῆς ὁρῶντες, ἅτε σωμάτων αὐτὸ μόνον εὐεξίαν διαπονήσαντες, ἑκάτερα τλητικῶς ὑπομένουσιν· ὁ γὰρ ἡγεμὼν σώματος ἐν ἐμοὶ νοῦς ἀνδρείᾳ τονωθεὶς οὕτω σφόδρα νενεύρωται, ὡς ἐπάνω πάσης ἀλγηδόνος ἵστασθαι δύνασθαι."

(21.) Φυλακτέον οὖν τὸν τοιοῦτον θῆρα συλλαμβάνειν, ὃς οὐκ ἀλκὴν 147
μόνον ἀλλὰ καὶ ὄψιν φοβερὸς ὢν τὸ δυσάλωτον καὶ μὴ εὐκαταφρόνητον δείκνυται.

---

1 μεμοιραμένης M, μεμοιρασμένη P ψυχῆς M: καὶ ψυχῆς ceteri (v) φύσις GH: φύσιν A, φύσει ceteri 2 ἐπ' αὐτῆς MGP: ἐπ' αὐτοῖς AQT (Turn.), ἐπ' αὐταῖς F, ἐπ' αὐτοὺς H 3 ποῦ δ' ἐστὶν v: ποῦ γ' ἐστὶν G, ποῦ ἐν F, ποῦ ἔνεστιν MP, που· ἔνεστιν AQT, ποῦ δὴ ἔνεστιν H Ἀργοῦς] αὐδοῦς A, αἰδοῦς QT ἱερὸ (sic) M αὔδασον v: δαπὲν (sic) M, αὔδασαι G, αὔδασε ceteri 4 ἐπανατάσεων M: ἐπαναστάσεων ceteri (Turn.) 5 ἀντιγεννίδα F, ἀντιγενίδη AT 6 ἐκεῖνος AT φησιν P ὀργισθεὶς om. P 7 βαθεῖ ἤθει M: βᾶθι ἤθει F, βᾶθι ἴθι HP (Turn.), βῆθι ἴθι AQT, βάσκ' ἴθι G 8 τὸν σπουδαῖον A ὠνητικῶς] νωμητικῶς M 9 φυγήν] ὑπερορίαν A; φυγὴν ὑπερορίαν Mang. 10 τὸν om. MFH χρημάτων] τὴν χρημάτων MF, τὴν τῶν χρημάτων H (v) 11 βιοτή P ἢ θάνατον M: καὶ θάνατον ceteri (v) ἐπανατεινάμενον M 12 μορμολύττεται HQ: μορμολύττει ceteri 13 ὁρῶντες] ἰδόντες A αὐτὸ] αὐτοῖς F 14 εὐεξίας M, εὐεξίας FHP διαπονήσαντες] δαπανήσαντες AQ ἑκάτερα FGA: ἑκάτερον ceteri (Turn.) 15 ἀνδρεία MP: ἀνδρία FGH (v), ἀνδρείως AQT τονωθεὶς] τὸ νωθρὸν F σφοδρῶς AQT 17—19 verbis φυλακτέον—δείκνυται sententiarum conexum turbari nemo non videt; paragraphos 32—40, ut supra dixi, huc transponi voluit Massebieau 17 τὸν om. M ἀλκὴν] ἄλλην M, ἀκμὴν F

---

3 Aesch. frg. 20. 5 sqq. fugit Philonis locus Maximilianum Dinse, qui de Antigenida Thebano musico disseruit (Berol. 1856). 10 cf. frg. trag. adesp. 318 τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς. 10. 11 ἀρκεῖ μετρία βιοτά μοι: Eur. frg. 893, 1.

148 Ἀσυλία τόπων πολλάκις οἰκετῶν τοῖς καταφεύγουσιν ἄδειαν καὶ
ἐχεχειρίαν ὡς ἰσοτίμοις καὶ ἰσοτελέσι παρέσχετο· καὶ τοὺς ἐκ προπάππων
καὶ τῶν ἄνω προγόνων κατά τινα συγγενικὴν διαδοχὴν παλαιοδούλους
ἔστιν ἰδεῖν, ὅταν ἐν ἱεροῖς ἱκέται καθέζωνται, μετὰ πάσης ἀδείας ἐλευθερο-
149 στομοῦντας. εἰσὶ δ' οἳ καὶ τοῖς κτησαμένοις οὐκ ἐξ ἴσου μόνον ἀλλὰ
καὶ ἐκ πολλοῦ τοῦ περιόντος εὐτόνως ἅμα καὶ καταφρονητικῶς δια-
φέρονται περὶ τῶν δικαίων· οὓς μὲν γὰρ ὁ τοῦ συνειδότος ἔλεγχος, κἂν
ὦσιν εὐπατρίδαι, πέφυκε δουλοῦσθαι, οἳ δὲ τὴν τοῦ σώματος ἄδειαν ἐκ
τῆς περὶ τὸν τόπον ἀσυλίας πεπορισμένοι ψυχῆς, ἣν ὁ θεὸς ἐκ πάντων
ἀχείρωτον ἐδημιούργησεν, ἐλεύθερα καὶ εὐγενῆ σφόδρα ἀναφαίνουσιν ἤθη·
150 εἰ μὴ λίαν οὕτω τίς ἐστιν ἀλόγιστος, ὡς χωρία μὲν θάρσους αἴτια καὶ
παρρησίας ὑπολαμβάνειν εἶναι, τὸ δὲ τῶν ὄντων θειοτάτων, ἀρετήν,
μηκέτι, δι' ἣν καὶ τοῖς | χωρίοις καὶ τοῖς ἄλλοις ὅσα φρονήσεως μετέχει p.469 M.
151 τὸ ἱεροπρεπὲς ἐγγίνεται. καὶ μὴν τοῖς μὲν εἰς ἀσύλους τόπους καταφεύ-
γουσιν, ἐκ μόνων τῶν τόπων περιπεποιημένοις ἀσφάλειαν, ἐκ μυ-
ρίων ἄλλων ἀγωγίμοις συμβέβηκε γίνεσθαι, δώρων γυναικός, ἀδοξίας
τέκνων, ἔρωτος ἀπάτης, τοῖς δὲ εἰς ἀρετὴν ὥσπερ εἰς ἀκαθαίρετον
καὶ ἐρυμνότατον τεῖχος ἀλογεῖν βλημάτων, ὧν αἱ ἐφεδρεῖαι τῶν
152 παθῶν βάλλουσι καὶ τοξεύουσι. ταύτῃ τις πεφραγμένος τῇ δυνάμει
μετὰ παρρησίας ἂν εἴποι, ὅτι οἱ μὲν ἄλλοι πρὸς τῶν τυχόντων
ἁλίσκονται,

---

1 ἀσυλίαι AQ ἀσυλία τόπων] ἃς ἰδία τόπον M οἰκετῶν] ἔοικε τῶν A; ἱκετῶν Turn. καταφεύγουσιν MFA: καταφυγοῦσιν ceteri (v) τοῖς καταφυγοῦσιν οἰκετῶν transp. P 2 ὡς om. M ἰσοτελέσι] ὁμοτελέσι T παρέσχετο FG: παρέχονται P, παρέσχοντο ceteri (παρέχει Mang.) 3 ἄνω MA: ἔτι ἄνω ceteri (v) παλαιοδούλους M 4 ἰδεῖν ἐστιν ransp. M οἱ ἱκέται A καθέζονται MA 4. 5 ἐλευθεροστομοῦντες MAQT ἀδείας post ἐλευθεροστομοῦντες transp. A 5 εἰσὶ δ' οἳ M: εἰσὶν οἳ ceteri (v) 6 ἅμα] ἄγαν A 7 περί τε τοῦ δικαίου M οὓς] τοὺς G, οἷς F γὰρ om. M 8 οἳ δὲ] εἰ δ' οἱ F, οὐδὲ M, οἱ δὲ ceteri 9 ψυχὴν (ἣν ex ἧς corr.) M ἐκ πάντων om. AT 10 ἐλευθέραν M ἀναφαίνουσαν H ἤθει M 11 ⟨πόσῳ μᾶλλον ἐλευθεροστομήσει ὁ σπουδαῖος;⟩ ante εἰ μὴ add. Wilamowitz εἰ μὴ M: εἰ om. ceteri (Turn.) ἐστιν] ἔστω GAQ αἴτια] ἢ αἰτιά τινα M 12 τὸ] τὴν M 13 οὐκέτι P καὶ τοῖς χωρίοις om. AT 14. 15 καταφυγοῦσιν M 15 μόνων M: om. AQT, μὲν FGHP (Turn.) περιπεποιημένους M, πεποιημένοις GT, τὲ πεποιημένοις A 16 ἀγωγίμων F γενέσθαι M δῶρον M εὐδοξία M 17 δ' A εἰς ἀρετὴν] εἰς τὴν ἀρετὴν T, ἴσα φαίνειν (sic) M 18 ὧν HP¹Q: ἃ AP²T, ὡς FG, ὅσα M αἱ] ὅσαι αἱ F, αἱ om. M ἐφεδρίαι M 19 βάλλουσιν τοξεύουσι T 20 εἴπη M ὅτι] εἴ τι T

„ἐγὼ δ' ἐμαυτοῦ" κατὰ τὸν τραγικόν „καὶ κλύειν ἐπίσταμαι,
ἄρχειν θ' ὁμοίως, τἀρετῇ σταθμώμενος
τὰ πάντα."

λέγεται γοῦν ὁ Πριηνεὺς Βίας ἀπειλοῦντι Κροίσῳ μάλα καταφρονητικῶς 153
ἀνταπειλῆσαι ἐπεσθίειν τῶν χρομμύων, αἰνιττόμενος τὸ κλαίειν, ἐπεὶ
δάκρυα κινεῖ ἡ χρομμύων βρῶσις. οὕτως οἱ σοφοὶ βασιλικώτερον οὐδὲν 154
ἀρετῆς νομίζοντες, ἢ τοῦ βίου παντὸς αὐτοῖς ταξιαρχεῖ, τὰς ἄλλων ἡγε-
μονίας ὡς ὑπηκόων οὐ δεδίασι. παρ' ὃ τοὺς διχόνους καὶ δολεροὺς
ἅπασιν ὀνομάζειν ἔθος ἀνελευθέρους τε καὶ δουλοπρεπεῖς. ὅθεν κἀκεῖνα 155
εὖ πεφώνηται·

„οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει."

τὸ γὰρ πλάγιον καὶ ποικίλον καὶ ἀπατηλὸν ἦθος ἀγενέστατον, ὥσπερ
⟨εὐγενὲς⟩ τὸ εὐθὺ καὶ ἄπλαστον καὶ ἀνύπουλον, λόγων βουλεύμασι καὶ
βουλευμάτων λόγοις συναδόντων. ἄξιον δὲ καταγελᾶν τῶν ἐπειδὰν 156

---

1 ἐγὼ] ἐὰν T δὲ MAHP, sequitur in M spat. c. 6 litt. ἐμαυτῶ AQ, μὲν τοῦ M καὶ κλύειν M: καὶ λύειν FHP (Turn.), καὶ et spat. c. 4—5 litt. G, κελεύειν AQT mg P^2 2 ante ἄρχειν add. καὶ P ἄρχειν] ἀρχὴν M θ'] δ' FAQT ὁμοῖος M τἀρετῇ Nauck: τὰ ἀρετῆς M, τῇ ἀρετῇ ceteri (v) 3 τὰ om. M, τὰ πάντα om. QT 4 γοῦν] δ' οὖν F 5 ἀπειλῆσαι T ἐπεσθίων AP κρομύων FG ἐπεὶ MFGP: ἐπειδὴ HAQT 6 ἡ om. AT κρομύων FG 7 ἄλλων M: τῶν ἄλλων ceteri (v) 7. 8 ἄλλων ἡγεμονίας] ἀπειλὰς G ἡγεμονίας om. H 8 ὡς M: om. Q, τῶν ceteri (Turn.) post δεδίασι deesse quaedam animadvertit Mang. παρὸ FAHP, παρὰ M διχόνους] δεινόχλους M post δολεροὺς add. οὓς M 9 τε] τινας M 10 εὖ πεφώνηται M: ἐκπεφώνηται ceteri (Turn.) 11 δουλεία M εὐθεία T, ἡ εὐθεία A, ἡ εὐθεία P 12 καὶ αὐχένα FG, τε καὶ αὐχένα M ἔχει v: ἔχουσα codd. (Vind.) 13 πλάγιον] παλαιὸν M καὶ ante ἀπατηλὸν om. AHP, post ἦθος add. H 14 εὐγενὲς hoc loco addidi τὸ εὐθὺ] τὸ εὐθὲς F, τὸ εὐγενὲς M post ἀνύπουλον add. εὐγενέστατον G Vind. (v), ἐλεύθερον M 14. 15 βουλεύμασι καὶ βουλευμάτων Mang.: βουλήμασι καὶ βουλημάτων codd. 15 post συναδόντων add. εὐγενέστατον QT ἄξιον δὲ AQT: δὲ om. ceteri (v); ἄξιον οὖν coni. Mang. δ' post τῶν add. F

---

1 frg. trag. adesp. 327. 4 sqq. Diog. La. I 83 θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα, ἵνα ἥκοι παρ' αὐτόν, „ἐγὼ δὲ" φησίν „Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν" [ἴσον τῷ κλαίειν]. Suid. κρόμμυα ἐσθίειν· ἴσον τῷ κλαίειν. Ἀλυάττῃ γὰρ πέμψαντι πρὸς Βίαντα τὸν σοφόν, ἵνα θᾶττον παρ' αὐτὸν ἥκοι, „ἐγὼ" φησίν „Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν". 11. 12 Theogn. Eleg. v. 535. 536. 11—14 Vindob. hist. gr. 67 fol. 58r: περὶ οἰκετῶν: Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκα, ἀλλ' αἰεὶ σκολιεῖ καὶ αὐχένα λοξὸν ἔχουσα· τὸ γὰρ πλάγειον καὶ ποικίλον καὶ ἀπατηλὸν ἦθος ἀγενέστατον, ὥσπερ τὸ εὐθὺ καὶ ἄπλα(στον) καὶ ἀνύπουλον εὐγενέστατον.

ἀπαλλαγῶσι δεσποτικῆς κτήσεως ἐλευθερωθῆναι νομιζόντων· οἰκέται μὲν γὰρ οὐκέθ' ὁμοίως ⟨ἂν⟩ εἶεν οἵ γε ἀφειμένοι, δοῦλοι δὲ καὶ μαστιγίαι πάντες, ὑπακούοντες οὐκ ἀνθρώπων — ἧττον γὰρ ἂν ἦν τὸ δεινόν —, ἀλλὰ καὶ τῶν ἐν ἀψύχοις ἀτιμοτάτων, ἀκράτου, λαχάνων, πεμμάτων, ὅσα ἄλλα σιτοπόνων τε καὶ ὀψαρτυτῶν περιεργίαι κατὰ γαστρὸς τῆς
157 ταλαίνης δημιουργοῦσιν. ὁ γοῦν Διογένης ἰδών τινα τῶν λεγομένων ἀπελευθέρων ἁβρυνόμενον καὶ πολλοὺς αὐτῷ συνηδομένους, θαυμάσας τὸ ἄλογον καὶ ἄκριτον, „ὅμοιον" εἶπεν „ὡς εἴ τις ἀνακηρύξειέ τινα τῶν οἰκετῶν ἀπὸ ταύτης τῆς ἡμέρας εἶναι γραμματικὸν ἢ γεωμέτρην ἢ μουσικόν, οὐδ' | ὅναρ τῶν τεχνῶν ἐπῃσθημένον." ὡς γὰρ ἐπιστήμονας p. 470 M.
οὐ ποιεῖ τὸ κήρυγμα, οὕτως οὐδὲ ἐλευθέρους — ἐπεὶ μακάριον ἦν τι —, 11
ἀλλὰ μόνον οὐκ οἰκέτας.

158 (22.) Ἀνελόντες οὖν τὴν κενὴν δόξαν, ἧς ὁ πολὺς ὅμιλος ἀνθρώπων ἀπῳώρηται, καὶ ἀληθείας ἱερωτάτου κτήματος ἐρασθέντες μήτε τοῖς λεγομένοις ἀστοῖς πολιτείαν ἢ ἐλευθερίαν μήτε τοῖς οἰκότριψιν ἢ ἀργυ- 15
ρωνήτοις δουλείαν ἐπιφημίσωμεν, ἀλλὰ γένη καὶ δεσποτικὰ γράμματα
159 καὶ συνόλως σώματα παρελθόντες ψυχῆς φύσιν ἐρευνῶμεν. εἰ μὲν γὰρ πρὸς ἐπιθυμίας ἐλαύνεται ἢ ὑφ' ἡδονῆς δελεάζεται ἢ φόβῳ ἐκκλίνει ἢ λύπῃ στέλλεται ἢ ὑπ' ὀργῆς τραχηλίζεται, δουλοῖ μὲν αὐτήν, δοῦλον δὲ καὶ τὸν ἔχοντα μυρίων δεσποτῶν ἀπεργάζεται· εἰ δὲ φρονήσει μὲν 20
ἀμαθίαν, σωφροσύνῃ δ' ἀκολασίαν, δειλίαν δὲ ἀνδρείᾳ καὶ πλεονεξίαν δικαιοσύνῃ κατηγωνίσατο, τῷ ἀδουλώτῳ καὶ τὸ ἀρχικὸν προσείληφεν.

---

1 ἐλευθερωθῆναι] ἐλευθέρωσιν M 2 ἂν add. Wilamowitz εἶεν] εἶναι εἰ F, εἶεν om. AQT δὲ] τὲ M 3 πάντες] πάντως coni. Wilamowitz ὑπακούοντες corr. ex ὑπάκοντες F^2 ἂν MFG: om. ceteri (Turn.) 4 καὶ om. HP (fortasse recte) ἐν om. AH ἀψύχοις] αὐχμοῖς AQT λαχάνου M πεμμάτων Mang. (non M): σπερμάτων codd. (Turn.) 5 δσ' A ὅσα ἄλλα] τῶν ἄλλων ὅσα conicio σιτοπόνων Mang.: om. in lac. G, πεμμάτων M, πομάτων QT, σπερμάτων FAHP (Turn.) ὀψαρτυμάτων AQT περιεργίαι MG: περιεργία FHP, περιεργίας AQT 9 γεωμέτρην Mang.: γεωμετρικὸν codd. (Turn.) 10 τῶν τέχνης QT, τεχνῶν om. F 11 οὐδ' A ἐπεὶ] ἐπειδὴ AQT ἦν τί M (τι scripsi): ἦν ceteri (v) 12 μόνον οὐκ M: οὐκ om. ceteri (Turn.) 13 οὖν] τοίνυν HP (v) 15 ἀστοῖς] ἀστίοις A, αὐτοῖς Q οἰκοτρίβαις M alterum ἢ om. AQL (Turn.) 15. 16 ἀργυρωνήταις AQT 16 ἐπιψηφίσωμεν F γένη om. G 18 πρὸς ἐπιθυμίαν M 19 λύπῃ] φόβῳ M στέλλεται] συστέλλεται AHP (v) ὀργῆς M: ἀπορίας ceteri (v) τραχηλιάζεται AQT δουλοῖ M: δούλην ceteri (v) αὐτὴν codd. 21 δειλίαν δ' A ἀνδρία A, ἀνδρία FG 22 προσείληφεν codd.: προσείληφε v

ὅσαι δὲ μηδετέρας ἰδέας πω μετεσχήκασι, μήτε τῆς καταδουλουμένης160
μήτε δι' ἧς ἐλευθερία βεβαιοῦται, γυμναὶ δέ εἰσιν ἔτι, καθάπερ αἱ τῶν
κομιδῇ νηπίων, ταύτας τιθηνοκομητέον, ἐνστάζοντας τὸ μὲν πρῶτον ἀντὶ
γάλακτος ἁπαλὰς τροφάς, τὰς διὰ τῶν ἐγκυκλίων ὑφηγήσεις, εἶτ' αὖθις
κραταιοτέρας ὧν φιλοσοφία δημιουργός, ἐξ ὧν ἀνδρωθεῖσαι καὶ εὐεκτή-
σασαι πρὸς τέλος αἴσιον, οὐ Ζηνώνειον μᾶλλον ἢ πυθόχρηστον, ἀφίξονται,
τὸ ἀκολούθως τῇ φύσει ζῆν.

---

1 μηδ' ἑτέρας MFH καταδουλουμένης] κατεδουλωμένης T, κατεδουλωμένης corr. ex καταδουλωμένης H, κατεδεδουλωμένης L (v) 2 δι' ἧς] δ' ἧς A δ' εἰσὶν MA 3 νηπίων κομιδῇ transp. F τιθηνοκομεῖται M ἐνστάζοντας scripsi: προτάττων τὰς M, ἐντάττοντας ceteri (v); ἐπιτάττοντας coni. Wilamowitz τὸ μὲν] μὲν τὸ M 4 διὰ om. AQT αὖθις MAQT: αὖ τῆς FHP, αὖ τὰς G (v) 5 prius ὧν] ὧν M φιλοσοφίας M 6 ὅσιον P οὐ] ἢ F Ζηνώνειον] ζῆν ὄνειον corr. in ζῆν ὄνειαρ (ut vid.) M, ζήνειον AT 7 τὸ] τῶ MA φίλωνος περὶ τοῦ πάντα σπουδαῖον εἶναι ἐλεύθερον subscr. T

---

3 cf. de agric. § 9. de congr. erud. gr. § 19. 6 Zeno fr. 179 (Arnim).
6 πυθόχρηστον: cf. *Cic. de fin. V 79* quia, cum a Zenone, inquam, hoc magnifice tamquam ex oraculo editur: 'virtus ad beate vivendum se ipsa contenta est'.

ΦΙΛΩΝΟΣ
ΠΕΡΙ ΒΙΟΥ ΘΕΩΡΗΤΙΚΟΥ
Η ΙΚΕΤΩΝ
(ΠΕΡΙ ΑΡΕΤΩΝ ΤΟ ΤΕΤΑΡΤΟΝ)

---

1 (1.) | Ἐσσαίων πέρι διαλεχθείς, οἳ τὸν πρακτικὸν ἐζήλωσαν καὶ II p.471 M.
διεπόνησαν βίον ἐν ἅπασιν ἢ — τὸ γοῦν φορητότερον εἰπεῖν — τοῖς
πλείστοις μέρεσι διενεγκόντες, αὐτίκα καὶ περὶ τῶν θεωρίαν ἀσπασαμένων
ἀκολουθίᾳ τῆς πραγματείας ἑπόμενος τὰ προσήκοντα λέξω, μηδὲν
οἰκοθεν ἕνεκα τοῦ βελτιῶσαι προστιθείς, ὃ δρᾶν ἔθος ἐν σπάνει καλῶν 5
ἐπιτηδευμάτων ἅπασι τοῖς ποιηταῖς καὶ λογογράφοις, ἀλλ' ἀτεχνῶς αὐτῆς
περιεχόμενος τῆς ἀληθείας, πρὸς ἣν οἶδ' ὅτι καὶ ὁ δεινότατος εἰπεῖν
ἀπαγορεύσει. διαθλητέον δὲ ὅμως καὶ διαγωνιστέον· οὐ γὰρ δεῖ τὸ
μέγεθος τῆς τῶν ἀνδρῶν ἀρετῆς αἴτιον ἀφωνίας γενέσθαι τοῖς μηδὲν
2 καλὸν ἡσυχάζεσθαι δικαιοῦσιν. ἡ δὲ προαίρεσις τῶν φιλοσόφων εὐθὺς 10
ἐμφαίνεται διὰ τῆς προσρήσεως· θεραπευταὶ γὰρ καὶ θεραπευτρίδες

Tit. Φίλωνος ἱκέται ἢ περὶ ἀρετῶν δ' C, φίλωνος περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῶν τὸ δ' MG, τοῦ αὐτοῦ περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῶν τὸ δ' F, Φίλωνος Ἰουδαίου περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῆς τὸ τέταρτον A, περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν ἀρετῶν HP (v), περὶ βίου θεωρητικοῦ Arm

1 διαλεχθείς] *disputaturus* Lat 2 τὸ γοῦν φορητότερον εἰπεῖν] *ne mediocrius adseram* Lat φορητότερον] ἀφορητότερον CHP Arm (Conyb.), εὐφορητότερον mg C (Turn.) 3 διενεγκόντων A 4 τῆς] τῇ F 5 ἐν om. Mang. 6 τοῖς om. Arm 8 δὲ ὅμως] δ' ὁμοίως A, οὖν F in ras. 11 διὰ] ἀπὸ A θεραπευτρίδαις P, θεραπευτίδες A

---

11 sqq. Euseb. Hist. eccl. II 17, 3 πρῶτόν γέ τοι τὸ μηθὲν πέρα τῆς ἀληθείας οἰκοθεν καὶ ἐξ ἑαυτοῦ προσθήσειν (l. 5), οἷς ἱστορήσειν ἔμελλεν, ἀπισχυρισάμενος (scil. Φίλων) ἐν ᾧ ἐπέγραψεν λόγῳ Περὶ βίου θεωρητικοῦ ἢ ἱκετῶν, θεραπευτὰς αὐτοὺς καὶ τὰς σὺν αὐτοῖς γυναῖκας θεραπευτρίδας ἀποκαλεῖσθαί φησιν, τὰς αἰτίας ἐπειπὼν τῆς τοιᾶσδε προσρήσεως, ἤτοι παρὰ τὸ τὰς ψυχὰς τῶν προσιόντων αὐτοῖς τῶν ἀπὸ κακίας παθῶν ἰατρῶν δίκην ἀπαλλάττοντας ἀκεῖσθαι καὶ θεραπεύειν ἢ τῆς περὶ τὸ θεῖον καθαρᾶς καὶ εἰλικρινοῦς θεραπείας τε καὶ θρησκείας ἕνεκα.

ἐτύμως καλοῦνται, ἤτοι παρόσον ἰατρικὴν ἐπαγγέλλονται κρείσσονα τῆς κατὰ πόλεις — ἡ μὲν γὰρ σώματα θεραπεύει μόνον, ἐκείνη δὲ καὶ ψυχὰς νόσοις κεκρατημένας χαλεπαῖς τε καὶ δυσιάτοις, ἃς ἐγκατέσκηψαν ἡδοναὶ καὶ ἐπιθυμίαι καὶ λῦπαι καὶ φόβοι πλεονεξίαι τε καὶ ἀφροσύναι καὶ ἀδικίαι καὶ τὸ τῶν ἄλλων παθῶν καὶ κακιῶν ἀνήνυτον πλῆθος — p.472 M. ἢ παρόσον ἐκ φύσεως καὶ τῶν ἱερῶν νόμων | ἐπαιδεύθησαν θεραπεύειν τὸ ὄν, ὃ καὶ ἀγαθοῦ κρεῖττόν ἐστι καὶ ἑνὸς εἰλικρινέστερον καὶ μονάδος ἀρχεγονώτερον. οἷς τίνας συγκρίνειν ἄξιον τῶν ἐπαγγελλομένων εὐσέβειαν; 3 ἆρά γε τοὺς τὰ στοιχεῖα τιμῶντας, γῆν, ὕδωρ, ἀέρα, πῦρ; οἷς καὶ ἐπωνυμίας ἔθεντο ἑτέρας ἕτεροι, τὸ μὲν πῦρ Ἥφαιστον παρὰ τὴν ἅψιν, οἶμαι, καλοῦντες, Ἥραν δὲ τὸν ἀέρα παρὰ τὸ αἴρεσθαι καὶ μετεωρίζεσθαι πρὸς ὕψος, τὸ δὲ ὕδωρ Ποσειδῶνα τάχα που διὰ τὸ ποτόν, τὴν δὲ γῆν Δήμητραν, παρόσον μήτηρ εἶναι δοκεῖ πάντων φυτῶν τε καὶ ζῴων. ἀλλὰ τὰ μὲν ὀνόματα σοφιστῶν ἐστιν εὑρήματα, τὰ δὲ στοιχεῖα ἄψυχος 4 ὕλη καὶ ἐξ ἑαυτῆς ἀκίνητος, ὑποβεβλημένη τῷ τεχνίτῃ πρὸς ἁπάσας σχημάτων καὶ ποιοτήτων ἰδέας. ἀλλὰ τοὺς τὰ ἀποτελέσματα, ἥλιον, 5 σελήνην ἢ τοὺς ἄλλους ἀστέρας πλάνητας ἢ ἀπλανεῖς ἢ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον; ἀλλὰ καὶ ταῦτα οὐκ ἐξ ἑαυτῶν γέγονεν, ἀλλ' ὑπό τινος δημιουργοῦ τελειοτάτου τὴν ἐπιστήμην. ἀλλὰ τοὺς ἡμιθέους; 6 ἢ τοῦτό γε καὶ χλεύης ἄξιον· πῶς γὰρ ἂν ὁ αὐτὸς ἀθάνατός τε καὶ θνητὸς εἴη; δίχα τοῦ καὶ τὴν ἀρχὴν τῆς τούτων γενέσεως ἐπίληπτον εἶναι, μειρακιώδους ἀκρασίας ἀνάπλεων, ἣν τολμῶσιν οὐκ εὐαγῶς

---

1 κρείττονα A 2 ἐκείνη δὲ] ἡ δὲ M 3 τε om. CF (v) ἃς] αἷς C
3. 4 ἐγκατέσκηψαν scripsi (coni. etiam Wendl.): κατέσκηψαν codd. (v); cf. quod det. pot. insid. sol. § 178 4 ἡδοναί τε καὶ Mang. καὶ ante λῦπαι om. HP (Turn.) 5 ἀνήνυτον] ἀνηκέστων A 7 τὸ ὂν ὄντως Arm ἐστὶν C
8 οἷς τίνας] οὓς τίνι vel οὐς τίσιν Arm τινὰς MA 9 ἆρα] οὐκ ἄρα CMAP τιμ
τολμῶντας A (τιμ ss. man. rec.) 10 ἕτεροι] ἕτερος A μὲν τὸ πῦρ transp. F
12 διὰ τὸ ποτὸν εἶναι Arm 13 δήμητρα G πάντων δοκεῖ εἶναι Arm
ζῴων τε καὶ φυτῶν Arm 14 ἐστιν om. G εὑρέματα A 15 αὐτῆς A
ὑποβεβλημένα (sed α in ras.) F 16 τοὺς] τὰς F 17 πλανήτας ἀστέρας transp. A πλάνητας MH¹P: πλανήτας ceteri (v) ἢ ante τὸν om. Turn.
18 καὶ post ἀλλὰ om. M γεγόνασιν corr. ex γέγονας F 19 ὑπό] ἀπό M
20 ἤ τοῦτο Arm: ἤ τοῦτο codd. (Turn.); ἤ om. Mang. ἂν om. F
21 δίχα καὶ τοῦ MGHP ἀνεπίληπτον F 22 ἀκρασίας] ἀκοῆς M, διανοίας HP
ἀνάπλεων om. in lac. M εὐαγῶς] εὐλόγως A

---

10 sqq. cf. Diod. Sic. I 12. Plut. de Is. et Osir. 32 p. 363 d. Cornut. Theol. c. 3. 4. 19. 28. 16 sq. cf. Diod. I 11. Diog. La. I 10.

προσάπτειν ταῖς μακαρίαις καὶ θείαις δυνάμεσιν, εἰ γυναιξὶ θνηταῖς ἐπιμα-
7 νέντες ὠμίλησαν οἱ παντὸς πάθους ἀμέτοχοι καὶ τρισευδαίμονες. ἀλλὰ
τοὺς τὰ ξόανα καὶ ἀγάλματα; ὧν αἱ οὐσίαι λίθοι καὶ ξύλα, τὰ μέχρι πρὸ
μικροῦ τελείως ἄμορφα, λιθοτόμων καὶ δρυοτόμων τῆς συμφυΐας αὐτὰ
διακοψάντων, ὧν τὰ ἀδελφὰ μέρη καὶ συγγενῆ λουτροφόροι γεγόνασι καὶ
ποδόνιπτρα καὶ ἄλλα ἄττα τῶν ἀτιμοτέρων, ἃ πρὸς τὰς ἐν σκότῳ χρείας
8 ὑπηρετεῖ μᾶλλον ἢ τὰς ἐν φωτί. τῶν μὲν γὰρ παρ' Αἰγυπτίοις οὐδὲ
μεμνῆσθαι καλόν, οἳ ζῷα ἄλογα καὶ οὐχ ἥμερα μόνον ἀλλὰ καὶ θηρίων
τὰ ἀγριώτατα παραγηόχασιν εἰς θεῶν τιμὰς ἐξ ἑκάστου τῶν κάτω σελήνης,
χερσαίων μὲν λέοντα, ἐνύδρων δὲ τὸν ἐγχώριον κροκόδειλον, ἀεροπόρων
9 δὲ ἶκτινον καὶ τὴν Αἰγυπτίαν ἶβιν. καὶ ταῦτα ὁρῶντες γεννώμενα καὶ
τροφῆς χρείαν ἔχοντα καὶ περὶ ἐδωδὴν ἄπληστα καὶ μεστὰ περιττωμάτων
ἰοβόλα τε καὶ ἀνθρωποβόρα καὶ νόσοις ἁλωτὰ παντοίαις καὶ οὐ μόνον
θανάτῳ τῷ κατὰ φύσιν ἀλλὰ καὶ βιαίῳ πολλάκις διαφθειρόμενα προσκυ-
νοῦσιν, οἱ ἥμεροι τὰ ἀνήμερα καὶ ἀτίθασα καὶ οἱ λογικοὶ τὰ ἄλογα καὶ
οἱ συγγένειαν ἔχοντες πρὸς τὸ θεῖον τὰ μηδ' ἂν Θερσίτῃσι | συγκριθέν- p.473M.
τα, οἱ ἄρχοντες καὶ δεσπόται τὰ ὑπήκοα φύσει καὶ δοῦλα.
10 (2.) Ἀλλ' οὗτοι μέν, ἐπειδήπερ οὐ τοὺς ὁμοφύλους μόνον ἀλλὰ
καὶ τοὺς πλησιάζοντας ἀναπιμπλᾶσι φλυαρίας, ἀθεράπευτοι διατελείτωσαν
ὄψιν, τὴν ἀναγκαιοτάτην τῶν αἰσθήσεων, πεπηρωμένοι· λέγω δὲ οὐ τὴν
σώματος, ἀλλὰ τὴν ψυχῆς, ᾗ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος μόνῃ γνωρίζεται.

---

1 εἰ corr. in αἳ H^2, οἳ L γυναιξὶν C 2 οἱ ἀμέτοχοι παντὸς πάθους Arm
εὐ
τρισδαίμονες A (ευ ss. man. rec.) 3 τοὺς om. CMHP¹ Lat (Turn.)
post ἀγάλματα add. σέβοντας A (Mang.) 4 τελέως A δρυτόμων CA (Mang.)
6 ποδόνιπτα A ἄλλ' ἄττα A 7 ὑπερτερεῖ F ἢ πρὸς τὰς MG
8 ἄλογα ζῷα Arm Lat (Conyb.); cf. de decal. § 76 καὶ ante θηρίων om. C
9 παραγειόχασιν C, παραγνώκασιν (ωκ ex οχ corr.) H ante ἐξ add. καὶ M
τῶν κατὰ σελήνην F 10 μὲν om. C κροκώδειλον C¹ ἀεροπόρον H
11 ἰκτῆνον F, ἰκτῖνα GA ἶβιν codd. (v) 12 μετὰ περιττωμάτων F,
περιττωμάτων μεστὰ HP (v) 13 ἰοβόλα] ἐπίβουλα coni. Mang. μόνω CM
14 τῷ om. F βιαίῳ CA Arm: βιαίως ceteri (Turn.) 15 ἀνήμερα καὶ
om. C ἀτίθασσα CMA (v) 16 θερσίτῃσι C¹ Arm: θηρσί τισι ceteri (v),
monstris Lat 17 καὶ δοῦλα φύσει Arm, καὶ δοῦλα om. H 19 πλησιάζοντας
αὐτοῖς Conybeare ex Arm Lat φλυαρίας om. A ἀθεράπευτοι M Arm Lat:
αὐτοὶ ἀθεράπευτοι FGHP (v), αὐτῆς, ἀθεράπευτοι CA διαλειπέτωσαν F
20. 21 τὴν τοῦ σώματος M (Mang.), τοῦ σώματος P 21 τὴν τῆς ψυχῆς M (Mang.),
τῆς ψυχῆς FP τὸ ante ψεῦδος om. v μόνῃ om. M Arm (Conyb.)

---

7 sqq. Aristid. Apolog. p. 107 ed. Harris (Texts and Studies I) Αἰγύπτιοι δὲ ... ἔτι
καὶ ἄλογα ζῷα παρεισήγαγον θεοὺς εἶναι χερσαῖά τε καὶ ἔνυδρα καὶ τὰ φυτὰ καὶ βλαστά.

τὸ δὲ θεραπευτικὸν γένος βλέπειν ἀεὶ προδιδασκόμενον τῆς τοῦ ὄντος 11
θέας ἐφιέσθω καὶ τὸν αἰσθητὸν ἥλιον ὑπερβαινέτω καὶ μηδέποτε τὴν
τάξιν ταύτην λειπέτω πρὸς τελείαν ἄγουσαν εὐδαιμονίαν. οἱ δὲ ἐπὶ 12
θεραπείαν ἰόντες οὔτε ἐξ ἔθους οὔτε ἐκ παραινέσεως ἢ παρακλήσεώς
τινων, ἀλλ' ὑπ' ἔρωτος ἁρπασθέντες οὐρανίου, καθάπερ οἱ βακχευόμενοι
καὶ κορυβαντιῶντες ἐνθουσιάζουσι, μέχρις ἂν τὸ ποθούμενον ἴδωσιν.
εἶτα διὰ τὸν τῆς ἀθανάτου καὶ μακαρίας ζωῆς ἵμερον τετελευτηκέναι 13
νομίζοντες ἤδη τὸν θνητὸν βίον ἀπολείπουσι τὰς οὐσίας υἱοῖς ἢ θυγατρά-
σιν εἴτε καὶ ἄλλοις συγγενέσιν, ἑκουσίῳ γνώμῃ προκληρονομούμενοι, οἷς
δὲ μὴ συγγενεῖς εἰσιν, ἑταίροις καὶ φίλοις· ἔδει γὰρ τοὺς τὸν βλέποντα
πλοῦτον ἐξ ἑτοίμου λαβόντας τὸν τυφλὸν παραχωρῆσαι τοῖς ἔτι τὰς δια-
νοίας τυφλώττουσιν. Ἀναξαγόραν καὶ Δημόκριτον Ἕλληνες ᾄδουσιν, ὅτι 14
φιλοσοφίας ἱμέρῳ πληχθέντες μηλοβότους εἴασαν γενέσθαι τὰς οὐσίας·
ἄγαμαι τοὺς ἄνδρας καὶ αὐτὸς γενομένους χρημάτων κρείττονας. ἀλλὰ
πόσῳ βελτίονες οἱ μὴ θρέμμασιν ἐμβόσκεσθαι τὰς κτήσεις ἀνέντες, ἀλλὰ
τὰς ἀνθρώπων ἐνδείας, συγγενῶν ἢ φίλων, ἐπανορθωσάμενοι καὶ ἐξ ἀπόρων
εὐπόρους ἀποφήναντες; ἐκεῖνο μὲν γὰρ ἀπερίσκεπτον — ἵνα μὴ μα-
νιῶδες ἐπ' ἀνδρῶν, οὓς ἡ Ἑλλὰς ἐθαύμασεν, εἴπω τὸ ἔργον —, τοῦτο
δὲ νηφάλιον καὶ μετὰ φρονήσεως ἠκριβωμένον περιττῆς. οἱ πολέμιοι 15

---

1 τὸ θεραπευτικὸν δὲ H προδιδασκόμενον Conybeare (p. 200): προσδιδασκόμενον codd. (v) 2 ἀφιέσθω M αἰσθητὸν] νοητὸν Arm 3 δ' AH 4 οὔτ' (bis) FA οὔτε ἐκ] ἢ C παραινέσεως ἢ παρακλήσεως CFGA Lat: παρακλήσεως ἢ παραινέσεων M (Mang.), παραινέσεως ἢ om. HP (Turn.), ἢ παρακλήσεως om. Arm 5 ἀναρπασθέντες A 6 μέχρι C 7 καὶ μακαρίας om. Arm ἵμερον ex ἦμερον corr. F^2 8 ἤδη om. Arm 8. 9 υἱοῖς — ἄλλοις om. Arm 9 προκληρονομούμενοι Arm, *praehereditati* Lat: προσκληρονομούμενοι codd. (v) 10 μὴ] μηδὲ A 11 τὸν τυφλὸν M (ὧν ὧν) 12 Ἕλληνες om. M 13 ἱμέρῳ φιλοσοφίας transp. A πληχθέντες A μηλοβότας A 14 αὐτὸς MA Arm (Mang. Conyb.): αὐτοὺς ceteri Lat γενομένους A κρείττους C (v) 15 βελτίονες] κρείττονες HP 16 ἀνθρώπων] ἀνθρωπίνας M 17 μὴ] μὴ μόνον HP (v) 18 ἡ ἑλλὰς οὓς transp. A ἡ om. F 19 νηφάλιόν τε καὶ M μετὰ om. M περιττῆς] περὶ ☐ῆς C, περὶ ἧς G, γρ. περὶ ἧς P, περιττῆς. περὶ ἧς M

---

8 Euseb. Hist. eccl. II 17, 5 ὅμως δ' οὖν ἐν πρώτοις τὴν ἀπόταξιν αὐτοῖς τῆς οὐσίας μαρτυρεῖ, φάσκων ἀρχομένους φιλοσοφεῖν ἐξίστασθαι τοῖς προσήκουσι τῶν ὑπαρχόντων. 12 cf. Philo de provid. II § 12. 13. Plat. Hipp. mai. 283a. Plut. Pericl. 16. de vitando aere alieno 8 p. 831f. Cic. Tusc. V 114. Diog. La. II 6. Suid. Ἀναξαγόρας. de Democrito: Cic. de fin. V 87. Hor. Epist. I 12, 12. Lactant. Inst. div. III 23. Orig. c. Cels. II 84.

τί πλέον δρῶσιν ἢ κείρουσι καὶ δενδροτομοῦσι τὴν τῶν ἀντιπάλων χώραν, ἵνα σπάνει τῶν ἀναγκαίων πιεσθέντες ἐνδῶσι; τοῦτο οἱ περὶ Δημόκριτον τοῖς ἀφ' αἵματος εἰργάσαντο χειροποίητον ἔνδειαν καὶ πενίαν αὐτοῖς κατασκευάσαντες, οὐκ ἐξ ἐπιβουλῆς ἴσως, ἀλλὰ τῷ μὴ προϊδέσθαι καὶ περι-
16 αθρῆσαι τὸ τοῖς ἄλλοις συμφέρον. πόσῳ δὴ κρείττους οὗτοι καὶ θαυμασιώτεροι, χρησάμενοι μὲν οὐκ ἐλάττοσι ταῖς πρὸς φιλοσοφίαν ὁρμαῖς, μεγαλόνοιαν δὲ ὀλιγωρίας προτιμήσαντες καὶ χαρισάμενοι τὰς οὐσίας, ἀλλὰ μὴ διαφθείραντες, ἵνα καὶ ἑτέρους καὶ ἑαυτοὺς ὠφελήσωσι, | τοὺς μὲν ἐν ἀφθόνοις περιουσίαις, ἑαυτοὺς δὲ ἐν τῷ φιλοσοφεῖν; αἱ γὰρ χρημάτων καὶ κτημάτων ἐπιμέλειαι τοὺς χρόνους ἀναλίσκουσι· χρόνου δὲ φείδεσθαι καλόν, ἐπειδὴ κατὰ τὸν ἰατρὸν Ἱπποκράτην „ὁ μὲν βίος
17 βραχύς, ἡ δὲ τέχνη μακρή." τοῦτό μοι δοκεῖ καὶ Ὅμηρος αἰνίξασθαι ἐν Ἰλιάδι κατὰ τὴν ἀρχὴν τῆς τρισκαιδεκάτης ῥαψῳδίας διὰ τούτων τῶν ἐπῶν· p.474 M.

„Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν,
γλακτοφάγων ἀβίων τε, δικαιοτάτων ἀνθρώπων,"

ὡς τῆς μὲν περὶ βίον σπουδῆς καὶ χρηματισμὸν ἀδικίαν γεννώσης διὰ τὸ ἄνισον, δικαιοσύνην δὲ τῆς ἐναντίας προαιρέσεως ἕνεκα ἰσότητος, καθ' ἣν ὁ τῆς φύσεως πλοῦτος ὥρισται καὶ παρευημερεῖ τὸν ἐν ταῖς κεναῖς δόξαις.

---

1 τί πλέον om. M δρῶσιν] ποιοῦσιν A ἢ κείρουσι om. in lac. M κείρουσι] καίουσι A 2 ἐνδῶσιν C 3 ἑαυτοῖς F 4 μὴ om. F προϊεσθαι A 5 δὴ] δ' ἂν A οὗτοι κρείττους transp. A 6 ταῖς] τοῖς H φιλοσοφίαν] φαντασίαν CG mg F, φιλοσοφίαν mg C^2 ὁρμαῖς] ὁρῶσι H 8 τοὺς Arm Lat (Conyb.): καὶ τοὺς codd. (v) 9 ἐν τῷ om. C 10 ἐπιμέλειαι] ἐπιθυμίαι Max. χρόνους] χρωμένους HP^1 Arm (Conyb.) 11 ἰατρὸν om. Arm 12 αἰνίξεσθαι HP, αἰνίττεσθαι A 13 κατ' ἀρχὴν F ιγ' M διὰ] καὶ H 15 τε M, τ' om F ἀγαυῶν] ἀγανῶν C, ἀγαθῶν HP 16 γαλακτοφάγων MAHP, γλαγοφάγων G τ' ἀβίων τε C ante δικαιοτάτων add. καὶ MH τ' ἀνθρώπων F 17 περὶ om. F^1, ss. F^2 περὶ τὸν βίον A καὶ ἀδικίαν A, καὶ ss. P^2 διὰ] καὶ A 18 δικαιοσύνης F ante τῆς add. διὰ MFHP, spat. 2 litt. G 19 τῆς om. F ὥριστο A τὸν] τῶν MFH^1P

9—11 D^K fol. 240r Φίλωνος ἐκ τοῦ περὶ βίου θεωρητικοῦ Maxim. Ecl. cap. 12 Flor. Paris. nr. 20 Φίλωνος: αἱ (ἐκ add. Max.) χρημάτων καὶ κτημάτων ἐπιμέλειαι (ἐπιθυμίαι Max. Flor. Paris.) τοὺς χρόνους ἀναλίσκουσι· χρόνου δὲ φείδεσθαι καλόν. D^R fol. 193r D^V p. 563 Φίλωνος: χρόνου φείδεσθαι καλόν. D^M fol. 215v Φίλωνος: χρόνον φοβεῖσθαι καλόν.
10—12 Clem. Alex. Strom. V 4, 22 p. 658 P. ... οἷον ἀμέλει τὸ „χρόνου φείδου", ἅτοι ἐπεὶ ὁ βίος βραχὺς καὶ οὐ δεῖ τὸν χρόνον τοῦτον εἰς μάτην καταναλῶσαι.
11 Hippocr. Aphor. I 1. 15 Hom. Il. *N* 5. 6.

ὅταν οὖν ἐκστῶσι τῶν οὐσιῶν, ὑπ' οὐδενὸς ἔτι δελεαζόμενοι φεύγουσιν 18
ἀμεταστρεπτὶ καταλιπόντες ἀδελφούς, τέκνα, γυναῖκας, γονεῖς, πολυανθρώπους συγγενείας, φιλικὰς ἑταιρείας, τὰς πατρίδας, ἐν αἷς ἐγεννήθησαν καὶ ἐτράφησαν, ἐπειδὴ τὸ σύνηθες ὀλκὸν καὶ δελεάσαι δυνατώτατον.
μετοικίζονται δὲ οὐκ εἰς ἑτέραν πόλιν, ὥσπερ οἱ πρᾶσιν αἰτούμενοι παρὰ 19
τῶν κεκτημένων ἀτυχεῖς ἢ κακόδουλοι δεσποτῶν ὑπαλλαγήν, οὐκ ἐλευθερίαν, αὐτοῖς ἐκπορίζοντες — πᾶσα γὰρ πόλις, καὶ ἡ εὐνομωτάτη, γέμει θορύβων καὶ ταραχῶν ἀμυθήτων, ἃς οὐκ ἂν ὑπομείναι τις ἅπαξ ὑπὸ σοφίας ἀχθείς —, ἀλλὰ τειχῶν ἔξω ποιοῦνται τὰς διατριβὰς ἐν κήποις ἢ μονα- 20
γρίαις ἐρημίαν μεταδιώκοντες, οὐ διά τινα ὠμὴν ἐπιτετηδευμένην μισανθρωπίαν, ἀλλὰ τὰς ἐκ τῶν ἀνομοίων τὸ ἦθος ἐπιμιξίας ἀλυσιτελεῖς καὶ βλαβερὰς εἰδότες.

(3.) Πολλαχοῦ μὲν οὖν τῆς οἰκουμένης ἐστὶ τὸ γένος — ἔδει γὰρ 21
ἀγαθοῦ τελείου μετασχεῖν καὶ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον —, πλεονάζει δὲ ἐν Αἰγύπτῳ καθ' ἕκαστον τῶν ἐπικαλουμένων νόμων καὶ μάλιστα περὶ τὴν Ἀλεξάνδρειαν. οἱ δὲ πανταχόθεν ἄριστοι καθάπερ εἰς 22

---

1 οὐσιῶν corr. ex οἰκιῶν A ἔτι] ὡς A 2 τέκνα om. Lat, γυναῖκας τέκνα transp. Arm γονεῖς γυναῖκας transp. A 3 ἑταιρίας CF 3. 4 ἐγεννήθησαν καὶ om. HP¹ 4 ὀλκὸν] ἕλκον MP, ἑλκτικὸν F (κτι ss. man. rec.), ἕλκειν A δελεάσασθαι F 5 δὲ om. A verba οὐκ—εἰς ἑτέραν πόλιν om. in lac. M ὡς F οἱ om. F 6 ἀτυχαῖς F κακόδουλοι] κακότητα M ὑπαλλαγάς A 7 αὐτοῖς MFH¹P προσεκπορίζοντες F καὶ ἡ] κἂν ᾖ coni. Mang. 8 post θορύβων add. καὶ κηρῶν G (Mang. Conyb.), om. ceteri Lat. ὑπομεῖναι A, ὑπομείνοι C ὑπὸ σοφίας ἅπαξ transp. F 9 ἀχθείς om. Arm 9. 10 μοναγρίαις scripsi: μοναγρίοις codd. (v); cf. de Abrah. § 23. Alciphr. 2, 2 10 ἠρεμίαν Arm 10. 11 οὐ—μισανθρωπίαν] οὐ τὴν μόνωσιν ἐπιτετηδεύκασι διὰ μισανθρωπίαν Arm; οὐ δή τινα ὠμὴν ἐπιτετηδευκότες μισανθρωπίαν coni. Wendl. 11 τὰς] διὰ τὰς CM (v) ἐκ secludendum censuit Mang. 13 τὸ γένος] τοῦτο τὸ γένος Mang. ἔδει] ἐπειδὴ F (εἰ ss. F²) 14 καὶ τὴν (ante Ἑλλάδα) om. Turn. 15 δ' A Eus ἑκάστην F νόμων] νομῶν C²H² (v), μονῶν Exc. Euseb.

9—12 pergit Euseb. l. l. ἔπειτα πάσαις ἀποταξαμένους ταῖς τοῦ βίου φροντίσιν, ἔξω τειχῶν προελθόντας, ἐν μοναγρίοις καὶ κήποις τὰς διατριβὰς ποιεῖσθαι, τὰς ἐκ τῶν ἀνομοίων ἐπιμιξίας ἀλυσιτελεῖς καὶ βλαβερὰς εὖ εἰδότας. 13—52, 3 Euseb. Hist. eccl. II 17, 7 τὰ παραπλήσια δὲ τούτοις μαρτυρήσας τοῖς δηλουμένοις ὁ Φίλων συλλαβαῖς αὐταῖς ἐπιφέρει λέγων· Πολλαχοῦ μὲν οὖν — καὶ ἀέρος εὐκρασίας. Exc. ex Eusebio in codd. Dionys. Areop. Φίλωνος περὶ τῶν ἐκ περιτομῆς πιστευσάντων ἐν Αἰγύπτῳ Χριστιανῶν ἅμα καὶ μοναχῶν ἐκ τοῦ ἐπιγεγραμμένου αὐτῷ λόγου περὶ βίου θεωρητικοῦ ἢ περὶ ἱκετῶν: Πολλαχοῦ μὲν — καὶ ἀέρος εὐκρασίας.

πατρίδα [θεραπευτῶν] ἀποικίαν στέλλονται πρός τι χωρίον ἐπιτηδειότατον, ὅπερ ἐστὶν ὑπὲρ λίμνης Μαρείας κείμενον ἐπὶ γεωλόφου χθαμαλωτέρου,
23 σφόδρα εὐκαίρως, ἀσφαλείας τε ἕνεκα καὶ ἀέρος εὐκρασίας. τὴν μὲν οὖν ἀσφάλειαν αἱ ἐν κύκλῳ παρέχουσιν ἐπαύλεις τε καὶ κῶμαι, | p. 475 M.
τὴν δὲ περὶ τὸν ἀέρα εὐκρασίαν αἱ ἔκ τε τῆς λίμνης ἀνεστομωμένης εἰς τὴν θάλατταν καὶ τοῦ πελάγους ἐγγὺς ὄντος ἀναδιδόμεναι συνεχεῖς αὖραι,
λεπταὶ μὲν αἱ ἐκ τοῦ πελάγους, παχεῖαι δὲ αἱ ἀπὸ τῆς λίμνης, ὧν ἡ
24 μῖξις ὑγιεινοτάτην κατάστασιν ἀπεργάζεται. αἱ δὲ οἰκίαι τῶν συνελη-λυθότων σφόδρα μὲν εὐτελεῖς εἰσι, πρὸς δύο τὰ ἀναγκαιότατα σκέπην παρέχουσαι, πρός τε τὸν ἀφ' ἡλίου φλογμὸν καὶ τὸν ἀπ' ἀέρος κρυμόν· οὔτε δὲ ἐγγύς, ὥσπερ αἱ ἐν τοῖς ἄστεσιν, — ὀχληρὸν γὰρ καὶ δυσάρεστον τοῖς ἐρημίαν ἐζηλωκόσι καὶ μεταδιώκουσιν αἱ γειτνιάσεις — οὔτε πόρρω, δι' ἣν ἀσπάζονται κοινωνίαν καὶ ἵνα, εἰ λῃστῶν γένοιτο ἔφοδος, ἀλλήλοις
25 ἐπιβοηθῶσιν. ἐν ἑκάστῃ δέ ἐστιν οἴκημα ἱερόν, ὃ καλεῖται σεμνεῖον καὶ μοναστήριον, ἐν ᾧ μονούμενοι τὰ τοῦ σεμνοῦ βίου μυστήρια τελοῦνται, μηδὲν εἰσκομίζοντες, μὴ ποτόν, μὴ σιτίον, μηδέ τι τῶν ἄλλων ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα, ἀλλὰ νόμους καὶ λόγια θεσπισθέντα διὰ προφητῶν καὶ ὕμνους καὶ τὰ ἄλλα οἷς ἐπιστήμη καὶ εὐσέβεια συναύ-
26 ξονται καὶ τελειοῦνται. ἀεὶ μὲν οὖν ἄληστον ἔχουσι τὴν τοῦ θεοῦ

1 θεραπευτῶν seclusit Ed. Schwartz (om. Lat) στέλλονται ἀποικίαν transp. M 2 ὑπὲρ] ἐπὶ M Μαρείας] μαρέας C^1 Arm (Conyb.), μαρίας C^2FH^2Lat (v) χθαμαλώτερον A 3 εὐκαίρως Eus Arm (Conyb.): εὐκαίρου codd. (v) τε om. Mang. ἀέρων M 4 περιέχουσιν F 5 αἱ C Arm (Conyb.): om. ceteri (v) τε om. C 6 καὶ αἱ τοῦ πελάγους Arm 7 τοῦ om. C αἱ post δὲ om. MF post λίμνης verba ἀνεστομωμένης εἰς τὴν θάλατταν iterum exhibent HP (v), om. ceteri Arm Lat 8 δ' A 9. 10 πρὸς δύο — παρέχουσαι om. Lat 10 ἀπ' ἀέρος CM: ἀπὸ ἀέρος ceteri (v) 11 δὲ] γὰρ A Arm (Conyb.) αἱ om. F Arm (Conyb.) 12 ἠρεμίαν Arm ἐζηλωκόσι καὶ om. CM Arm (Conyb.) 13 γίνοιτο A, sed ι corr. ex ε 14 ἐν ἑκάστῃ δέ CG Arm: ἑκάστῳ δέ (om. ἐν) ceteri, ἐν ἑκάστῃ δὲ οἰκίᾳ Eus et Exc. Euseb. (Mang.) οἴκημα om. Mang. καὶ] *sive* Lat; nescio an ἢ pro καὶ scribendum sit 16 σῖτον A (Mang.) μηδὲ τι C^2 Eus: μηδέν τι ceteri 17 ἀναγκαῖον M 18 τἄλλα F, τἆλλα A 18. 19 συναύξεται καὶ τελειοῦται Exc. Euseb. 19 τελοῦνται A οὖν om. A

8 sqq. cf. Muson. p. 107, 16 (Hense) ἐπεὶ δὲ σκέπης ἕνεκα καὶ τὰς οἰκίας ποιούμεθα, φημὶ καὶ ταύτας δεῖν ποιεῖσθαι πρὸς τὸ τῆς χρείας ἀναγκαῖον, ὡς ἀπερύκειν μὲν κρύους, ἀπερύκειν δὲ θάλπους τὸ σφοδρόν, εἶναι δ' ἡλίου καὶ ἀνέμων ἐπικούρημα τοῖς δεομένοις. 14—19 pergit Euseb. l. l. (9) εἶθ' ἑξῆς τὰς οἰκήσεις αὐτῶν ὁποῖαί τινες ἦσαν διαγράψας περὶ τῶν κατὰ χώραν ἐκκλησιῶν ταῦτά φησιν· ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν — συναύξονται καὶ τελειοῦνται. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: ἐν ἑκάστῃ δὲ οἰκίᾳ ἐστὶν — συναύξεται καὶ τελειοῦται.

μνήμην, ὡς καὶ δι' ὀνειράτων μηδὲν ἕτερον ἢ τὰ κάλλη τῶν θείων ἀρετῶν καὶ δυνάμεων φαντασιοῦσθαι· πολλοὶ γοῦν καὶ ἐκλαλοῦσιν ἐν ὕπνοις ὀνειροπολούμενοι τὰ τῆς ἱερᾶς φιλοσοφίας ἀοίδιμα δόγματα. δὶς 27 δὲ καθ' ἑκάστην ἡμέραν εἰώθασιν εὔχεσθαι, περὶ τὴν ἕω καὶ περὶ τὴν ἑσπέραν, ἡλίου μὲν ἀνίσχοντος εὐημερίαν αἰτούμενοι τὴν ὄντως εὐημερίαν, φωτὸς οὐρανίου τὴν διάνοιαν αὐτῶν ἀναπλησθῆναι, δυομένου δὲ ὑπὲρ τοῦ τὴν ψυχὴν τοῦ τῶν αἰσθήσεων καὶ αἰσθητῶν ὄχλου παντελῶς ἐπικουφισθεῖσαν, ἐν τῷ ἑαυτῆς συνεδρίῳ καὶ βουλευτηρίῳ γενομένην, ἀλήθειαν ἰχνηλατεῖν. τὸ δὲ ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα 28 σύμπαν αὐτοῖς ἐστιν ἄσκησις· ἐντυγχάνοντες γὰρ τοῖς ἱεροῖς γράμμασι φιλοσοφοῦσι τὴν πάτριον φιλοσοφίαν ἀλληγοροῦντες, ἐπειδὴ σύμβολα τὰ τῆς ῥητῆς ἑρμηνείας νομίζουσιν ἀποκεκρυμμένης φύσεως ἐν ὑπονοίαις δηλουμένης. ἔστι δὲ αὐτοῖς καὶ συγγράμματα παλαιῶν ἀνδρῶν, οἳ τῆς 29 αἱρέσεως ἀρχηγέται γενόμενοι πολλὰ μνημεῖα τῆς ἐν τοῖς ἀλληγορουμένοις
p.476 M. ἰδέας ἀπέλιπον, οἷς καθάπερ τισὶν ἀρχετύποις | χρώμενοι μιμοῦνται τῆς προαιρέσεως τὸν τρόπον· ὥστε οὐ θεωροῦσι μόνον, ἀλλὰ καὶ ποιοῦσιν

---

1 ἕτερα F 2 ἀρετῶν καὶ om. HP¹, ἀρετῶν ss. P² γοῦν AP: om. H, οὖν ceteri (v) 3 δόγματα] δράγματα F 4 περὶ τὴν ἕω] πρὸς τὴν ἕω F 5 ὄντος G 6 ὑπὲρ om. F 7 prius τοῦ] τούτου F² αἰσθητῶν] αἰσθητοῦ F ὄχλου FGA Arm (Conyb.): ὄγκου ceteri (v), γρ. ὄγκου mg G 8 κουφισθεῖσαν A γινομένην A 9 ἀληθείας A δ' A, δὲ om. F μέχρις ἑσπέρας HP Eus, μέχρι ἑσπέρας C: μέχρι (μέχρις F) τῆς ἑσπέρας MFGA (Mang.) 10 αὐτοῖς ἐστιν Eus: ἐστὶν αὐτοῖς codd. (v) τοῖς ἱερωτάτοις HP (Turn.) 11 τὴν πάτριον φιλοσοφοῦσι σοφίαν Eus codd. nonnulli φιλοσοφίαν] νομοθεσίαν Arm (Conyb.) 12 νομίζουσιν ἀποκεκρυμμένης om. in lac. M φύσεως ἀποκεκρυμμένης transp. HP (v) 13 ἔστιν C δ' A Eus συγγράμματα παλαιῶν om. in lac. M συγγράμμασι F τῶν ἀνδρῶν M 13. 14 τῆς αἱρέσεως αὐτῶν Eus 14 ἐν τοῖς ἀλληγορουμένοις codd. Eus Arm: ἀλληγορουμένης Mang. (sic Venetus 41 Oxon. Coll. Novi) 15. 16 τῆς προαιρέσεως αὐτῶν Arm 16 τρόπον] τύπον coni. Mang. ὥστ' A Eus (v)

9—16 pergit Euseb. l. l. καὶ μεθ' ἕτερά φησιν· (10) τὸ δ' ἐξ ἑωθινοῦ — τῆς προαιρέσεως τὸν τρόπον. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: τὸ δὲ ἐξ ἑωθινοῦ — τῆς προαιρέσεως τὸν τρόπον. 16—54, 2 pergit Euseb. l. l. (12) ταῦτα μὲν οὖν ἔοικεν εἰρῆσθαι τῷ ἀνδρὶ τὰς ἱερὰς ἐξηγουμένων αὐτῶν ἐπακροασαμένῳ γραφάς, τάχα δ' εἰκός, ἃ φησιν ἀρχαίων παρ' αὐτοῖς εἶναι συγγράμματα, εὐαγγέλια καὶ τὰς τῶν ἀποστόλων γραφὰς διηγήσεις τέ τινας κατὰ τὸ εἰκὸς τῶν πάλαι προφητῶν ἑρμηνευτικάς, ὁποίας ἥ τε πρὸς Ἑβραίους καὶ ἄλλαι πλείους τοῦ Παύλου περιέχουσιν ἐπιστολαί, ταῦτ' εἶναι. (13) εἶτα πάλιν ἑξῆς περὶ τοῦ νέους αὐτοὺς ποιεῖσθαι ψαλμοὺς οὕτως γράφει· ὥστ' οὐ θεωροῦσι μόνον — ἀναγκαίως χαράσσοντες. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: ὥστε οὐ θεωροῦσι μόνον — ἀναγκαίως χαράσσοντες.

ἄσματα καὶ ὕμνους εἰς τὸν θεὸν διὰ παντοίων μέτρων καὶ μελῶν, ἃ
30 ῥυθμοῖς σεμνοτέροις ἀναγκαίως χαράττουσι. τὰς μὲν οὖν ἓξ ἡμέρας
χωρὶς ἕκαστοι μονούμενοι παρ' ἑαυτοῖς ἐν τοῖς λεχθεῖσι μοναστηρίοις
φιλοσοφοῦσι, τὴν αὔλειον οὐχ ὑπερβαίνοντες, ἀλλ' οὐδὲ ἐξ ἀπόπτου θεω-
ροῦντες· ταῖς δὲ ἑβδόμαις συνέρχονται καθάπερ εἰς κοινὸν σύλλογον
καὶ καθ' ἡλικίαν ἑξῆς καθέζονται μετὰ τοῦ πρέποντος σχήματος, εἴσω
τὰς χεῖρας ἔχοντες, τὴν μὲν δεξιὰν μεταξὺ στέρνου καὶ γενείου, τὴν δὲ
31 εὐώνυμον ὑπεσταλμένην παρὰ τῇ λαγόνι. παρελθὼν δὲ ὁ πρεσβύτατος
καὶ τῶν δογμάτων ἐμπειρότατος διαλέγεται, καθεστῶτι μὲν τῷ βλέμματι,
καθεστώσῃ δὲ τῇ φωνῇ, μετὰ λογισμοῦ καὶ φρονήσεως, οὐ δεινότητα
λόγων ὥσπερ οἱ ῥήτορες ἢ οἱ νῦν σοφισταὶ παρεπιδεικνύμενος, ἀλλὰ τὴν
ἐν τοῖς νοήμασι διηρευνηκὼς καὶ διερμηνεύων ἀκρίβειαν, ἥτις οὐκ ἄκροις
ὠσὶν ἐφιζάνει, ἀλλὰ δι' ἀκοῆς ἐπὶ ψυχὴν ἔρχεται καὶ βεβαίως ἐπιμένει.
καθ' ἡσυχίαν δὲ οἱ ἄλλοι πάντες ἀκροῶνται, τὸν ἔπαινον νεύμασιν ὄψεως
32 ἢ κεφαλῆς παραδηλοῦντες αὐτὸ μόνον. τὸ δὲ κοινὸν τοῦτο σεμνεῖον, εἰς
ὃ ταῖς ἑβδόμαις συνέρχονται, διπλοῦς ἐστι περίβολος, ὁ μὲν εἰς ἀνδρῶνα, ὁ
δὲ εἰς γυναικωνῖτιν ἀποχριθείς· καὶ γὰρ καὶ γυναῖκες ἐξ ἔθους συνακροῶνται
33 τὸν αὐτὸν ζῆλον καὶ τὴν αὐτὴν προαίρεσιν ἔχουσαι. ὁ δὲ μεταξὺ τῶν
οἴκων τοῖχος τὸ μὲν ἐξ ἐδάφους ἐπὶ τρεῖς ἢ τέσσαρας πήχεις εἰς τὸ ἄνω
συνῳκοδόμηται θωρακίου τρόπον, τὸ δὲ ἄχρι τέγους ἀνάγειον ἀχανὲς
ἀνεῖται, δυοῖν ἕνεκα, τοῦ τε τὴν πρέπουσαν αἰδῶ τῇ γυναικείᾳ φύσει
διατηρεῖσθαι καὶ τοῦ τὴν ἀντίληψιν ἔχειν εὐμαρῆ καθεζομένας ἐν ἐπηκόῳ,
34 μηδενὸς τὴν τοῦ διαλεγομένου φωνὴν ἐμποδίζοντος. (4.) ἐγκράτειαν δὲ

---

1 εἰς τὸν θεὸν codd. Eus (Turn. Mang.): τὸν om. Richt. Tauchn. (errat Conyb.) παντοίων] τοιούτων F 1. 2 ἃ ῥυθμοῖς codd.: ἀριθμοῖς vel ῥυθμοῖς (om. ἃ) Eus codd. 2 ἀναγκαίως] εὐαγῶς coni. Mang. χαράττουσιν C, χαράσσοντες Eus 3 χωρὶς om. Arm 4 αὔλιον C¹A οὐδ' FA 5 δὲ ταῖς ἑβδόμαις F (δὲ ss. F²) 6 ἑξῆς om. Arm 7 δ' A 8 τῇ] τῷ A παρελθὼν] προελθὼν HP ὁ πρεσβύτερος A, πρεσβύτερός τις Arm, *unus senior* Lat 9 τῶν om. A μὲν] γε μὴν F 10 δεινότητι A, δεινότητος F 11 post ῥήτορες add. ἐνδεικνύμενος M παρεπιδεικνύμενος om. M τὴν ex τὸν corr. H 12 νοήμασι] μνήμασι P διηρευνηκὼς] διηρμηνευκὼς in textu H, corr. mg H 14 δ' FG 15 παραδηλοῦντες] παραδεικνῦντες F αὐτῷ A, αὐτῷ ex αὐτὸ corr. H 19 οἴκων C (*cellularum* Lat): οἰκιῶν ceteri (v) τέτταρας FA εἰς τὰ ἄνω F 20 συνωκοδόμητο A, εὐ ᾠκοδόμηται Arm θωρακίου CA: θωρακείου ceteri (v) τὸ ἄχρι δὲ στέγους A ἀνάγειον] ἀνώγεον A (Mang.) ἀχανὲς] τάχ' ἂν A 21 ἀνεῖται codd.: ἀνίεται Mang. δυεῖν G 23 μηδενὸς CFG Arm: ὡς μηδενὸς ceteri (v)

ὥσπερ τινὰ θεμέλιον προκαταβαλλόμενοι τῆς ψυχῆς τὰς ἄλλας ἐποικοδομοῦσιν ἀρετάς. σιτίον ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκαιτο πρὸ ἡλίου δύσεως, ἐπεὶ τὸ μὲν φιλοσοφεῖν ἄξιον φωτὸς κρίνουσιν εἶναι, σκότους δὲ τὰς τοῦ σώματος ἀνάγκας, ὅθεν τῷ μὲν ἡμέραν, ταῖς δὲ νυκτὸς βραχύ τι μέρος ἔνειμαν. ἔνιοι δὲ καὶ διὰ τριῶν ἡμερῶν ὑπομιμνήσκονται τροφῆς, οἷς πλείων ὁ πόθος ἐπιστήμης ἐνίδρυται· τινὲς δὲ οὕτως ἐνευφραίνονται καὶ τρυφῶσιν ὑπὸ σοφίας ἐστιώμενοι πλουσίως καὶ ἀφθόνως τὰ δόγματα χορηγούσης, ὡς καὶ πρὸς διπλασίονα χρόνον ἀντέχειν καὶ μόλις δι' ἓξ ἡμερῶν ἀπογεύεσθαι τροφῆς ἀναγκαίας, ἐθισθέντες ὥσπερ φασὶ τὸ τῶν
p.477 M. τεττίγων | γένος ἀέρι τρέφεσθαι, τῆς ᾠδῆς, ὡς γε οἶμαι, τὴν ἔνδειαν ἐξευμαριζούσης. τὴν δὲ ἑβδόμην πανίερόν τινα καὶ πανέορτον εἶναι νομίζοντες ἐξαιρέτου γέρως ἠξιώκασιν, ἐν ᾗ μετὰ τὴν τῆς ψυχῆς ἐπιμέλειαν καὶ τὸ σῶμα λιπαίνουσιν, ὥσπερ ἀμέλει καὶ τὰ θρέμματα, τῶν συνεχῶν πόνων ἀνιέντες. σιτοῦνται δὲ πολυτελὲς οὐδέν, ἀλλὰ ἄρτον εὐτελῆ, καὶ ὄψον ἅλες, οἷς οἱ ἁβροδίαιτοι παραρτύουσιν ὑσσώπῳ, ποτὸν δὲ ὕδωρ ναματιαῖον αὐτοῖς ἐστιν· ἃς γὰρ ἡ φύσις ἐπέστησε τῷ θνητῷ γένει δεσποίνας, πεῖναν

1 προκαταβαλλόμενοι codd. Eus: προκαταβαλόμενοι v τῆς ψυχῆς C (*cordis* Lat): τῇ ψυχῇ ceteri Eus Arm (v) 2 σιτίον Eusebii codd. plerique et Lat: σιτίον δὲ codd. Arm (v) οὐδεὶς] οὐδενὸς A προενέγκαιτο HP 3 ἐπεὶ Eus: ἐπειδὴ codd. (v) φωτὸς ἄξιον Eusebii codd. nonnulli 4 τοῦ σώματος τὸ Eus Arm Lat: σωματικὰς codd. (v) τῷ F (τὸ ss. F^2) ἡμέραν] ἡμέρας A (v) νυκτὸς om. A 4. 5 νυκτὸς βραχύ τι μέρος] βραχύ τι μέρος τῆς νυκτὸς HP (v) 5 ἔνειμαν] ἀπένειμαν Eusebii cod. A et Exc. Eus. codd. nonnulli 6 ὁ ante πόθος om. A ἐνευφραίνονται codd.: ἀνευφραίνονται v 7 ἐστιώμενοι] εὐφραινόμενοι M 8 καὶ ante πρὸς om. F μόγις Eus 10 γένος] γένους Turn. Mang. Richt. γε om. C 11 πανέορτον] πανέρωτον A εἶναι νομίζοντες C Arm: νομίζοντες εἶναι ceteri (v) 12 τῆς ante ψυχῆς om. CGHP (Turn. Conyb.) 14 ἀλλ' FA 15 ἅλας MF, ἅλας A ἁβροδίαιτοι] ἁβροδιαίτατοι H (v) ποτὸν δὲ CM Arm, ποτὸν δ' ceteri: δὲ om. v 16 ἐπέστησε] ὑπέστησε HP (v) θνητῷ] γενητῷ P

54, 23 — 55, 9 pergit Euseb. l. l. (14) πολλὰ μὲν οὖν καὶ ἄλλα, περὶ ὧν λόγος, ἐν ταὐτῷ διέξεισιν, ἐκεῖνα δ' ἀναγκαῖον ἐφάνη δεῖν ἀναλέξασθαι, δι' ὧν τὰ χαρακτηριστικὰ τῆς ἐκκλησιαστικῆς ἀγωγῆς ὑποτίθεται. (15) εἰ δέ τῳ μὴ δοκεῖ τὰ εἰρημένα ἴδια εἶναι τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας, δύνασθαι δὲ καὶ ἄλλοις παρὰ τοὺς δεδηλωμένους ἁρμόττειν, πειθέσθω κἂν ἀπὸ τῶν ἑξῆς αὐτοῦ φωνῶν, ἐν αἷς ἀναμφήριστον, εἰ εὐγνωμονοίη, κομίσεται τὴν περὶ τοῦδε μαρτυρίαν. γράφει γὰρ ὧδε· ἐγκράτειαν δ' ὥσπερ τινὰ θεμέλιον — ἀπογεύεσθαι τροφῆς ἀναγκαίας ἐθισθέντες. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: ἐγκράτειαν δὲ ὥσπερ τινὰ θεμέλιον — ἀπογεύεσθαι τροφῆς ἀναγκαίας ἐθισθέντες. 9. 10 cf. quod omnis prob. lib. sit § 8. 14 sqq. cf. Wendland, Philo u. die kynisch-stoische Diatribe p. 8 sqq.

τε καὶ δίψαν, ἀπομειλίσσονται, τῶν εἰς κολακείαν ἐπιφέροντες οὐδέν, ἀλλ' αὐτὰ τὰ χρήσιμα, ὧν ἄνευ ζῆν οὐκ ἔστι. διὰ τοῦτο ἐσθίουσι μέν, ὥστε μὴ πεινῆν, πίνουσι δέ, ὥστε μὴ διψῆν, πλησμονὴν ὡς ἐχθρόν τε καὶ
38 ἐπίβουλον ψυχῆς τε καὶ σώματος ἐκτρεπόμενοι. ἐπεὶ δὲ καὶ σκέπης διττὸν εἶδος, τὸ μὲν ἐσθῆς, τὸ δὲ οἰκία, περὶ μὲν οἰκίας εἴρηται πρότερον, ὅτι ἐστὶν ἀκαλλώπιστος καὶ αὐτοσχέδιος, πρὸς τὸ χρειῶδες αὐτὸ μόνον εἰργασμένη· καὶ ἐσθὴς δὲ ὁμοίως εὐτελεστάτη, πρὸς ἀλέξημα κρυμοῦ τε καὶ θάλπους, χλαῖνα μὲν ἀπὸ λασίου δορᾶς παχεῖα χειμῶνος, ἐξωμὶς
39 δὲ θέρους ἢ ὀθόνη. συνόλως γὰρ ἀσκοῦσιν ἀτυφίαν, εἰδότες τῦφον μὲν τοῦ ψεύδους ἀρχήν, ἀτυφίαν δὲ ἀληθείας, ἑκάτερον δὲ πηγῆς λόγον ἔχον· ῥέουσι γὰρ ἀπὸ μὲν τοῦ ψεύδους αἱ πολύτροποι τῶν κακῶν ἰδέαι, ἀπὸ δὲ τῆς ἀληθείας αἱ περιουσίαι τῶν ἀγαθῶν ἀνθρωπίνων τε καὶ θείων.
40 (5.) Βούλομαι δὲ καὶ τὰς κοινὰς συνόδους αὐτῶν καὶ ἱλαρωτέρας ἐν συμποσίοις διαγωγὰς εἰπεῖν, ἀντιτάξας τὰ τῶν ἄλλων συμπόσια. οἱ μὲν γὰρ ὅταν ἄκρατον ἐμφορήσωνται, καθάπερ οὐκ οἶνον πιόντες ἀλλὰ παρακινηματικόν τι καὶ μανιῶδες καὶ εἴ τι χαλεπώτερον ἐπ' ἐκστάσει

---

1 φέροντες A ἀλλὰ C 3 διψᾶν A 4 ψυχῆς τε καὶ σώματος ἐκτρεπόμενοι] ἐκτρεπόμενοι ψυχῆς καὶ σώματος HP (v) ἐπεὶ δὲ AH²: ἐπειδὴ CMH¹P Arm (Conyb.), ἐπειδὴ δὲ FG καὶ om. G 5 διττὸν τὸ εἶδος G εἶδος] γένος A περὶ μὲν οὖν C Arm (Conyb.) οἰκίας] τῆς οἰκίας F 8 ἀπὸ AP² (*de pelle* Lat): ἀντὶ ceteri (Turn. Conyb.) παχεῖα om. G Arm ἐξωμὶς] ἐξ ὠμῆς A 9 ἢ ὀθόνη] ἡ ὀθόνη Arm (Conyb.) ἀσκοῦσιν] ἐξασκοῦσιν C (Conyb.), καὶ ἀσκοῦσιν F 9. 10 τῦφον μὲν τοῦ ψεύδους ἀρχήν, ἀτυφίαν δὲ ἀληθείας Lat: τύφου μὲν τὸ ψεῦδος ἀρχήν, ἀτυφίας δὲ ἀλήθειαν codd. (v) 10 ἀρχήν om. in lac. M δ' A 11 ψεύδους] τύφου M 12 τῶν ἀνθρωπίνων M Arm 14 ἐν συμποσίοις διαγωγὰς om. in lac. M 15 ὅταν ἄκρατον ἐμφορήσωνται om. in lac. M πιόντες Arm (*quasi non vino epotato* Lat): πίνοντες codd. (v) 16 παρακινηματικόν MFGAP², περικινηματικόν C: παρακινητικόν H (v) prius τι HP: τε A, τι om. CMFG καί τι μανιῶδες F, καὶ εἴ τι μανιῶδες M ἐν ἐκστά εἴ τι] ἔτι M (εἰ ἔτι τι Conyb.) ἐπεκτάσει A

---

2 sqq. cf. *Senec. Epist. 8, 5* durius tractandum est (corpus), ne animo male pareat: cibus famem sedet, potio sitim extinguat, vestis arceat frigus, domus munimentum sit adversus infesta corporis. Clem. Alex. Paed. II 2, 29 p. 184 P. ὡς γὰρ τροφαῖς ἐπὶ τῷ μὴ πεινῆν, οὕτως καὶ ποτῷ ἐπὶ τῷ μὴ διψῆν χρηστέον. 7 sqq. cf. Wendland l. l. p. 15 sqq. Clem. Alex. Paed. II 10, 106 p. 233 P. φημὶ τοίνυν οὐκ ἄλλου τινὸς ἕνεκα δεηθῆναι ὑφασμάτων τὸν ἄνθρωπον ἢ σκέπης σώματος πρὸς ἀλέξησιν κρυμῶν τε ὑπερβολῆς καὶ καυμάτων ἐπιτάσεως, μή τι ἡμᾶς παραλυποίη τοῦ περιέχοντος ἡ ἀμετρία. 15 sqq. cf. Wendland l. l. p. 21 sqq.

λογισμοῦ φυσικόν, ἀράσσουσι καὶ λυττῶσι τρόπον κυνῶν ἀτιθάσων καὶ ἐπανιστάμενοι δάκνουσιν ἀλλήλους καὶ ἀποτρώγουσι ῥῖνας, ὦτα, δακτύλους, ἕτερα ἄττα μέρη τοῦ σώματος, ὡς τὸν ἐπὶ Κύκλωπος καὶ τῶν Ὀδυσσέως ἑταίρων μῦθον ἀποδεδειχέναι τούτους ἀληθῆ, „ψωμούς", ἧ φησιν ὁ ποιητής, ἐπεσθίοντας ἀνθρώπων, καὶ ὠμότερον ἢ ἐκεῖνος. ὁ μὲν γὰρ ἐχ- 41
θροὺς ὑποτοπήσας ἠμύνετο, οἱ δὲ συνήθεις καὶ φίλους, ἔστι δὲ ὅτε καὶ συγγενεῖς, ἐφ' ἁλῶν καὶ τραπέζης, ἄσπονδα ἐν σπονδαῖς ἐργασάμενοι τῶν ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ὅμοια καὶ παρακόπτοντες ὥσπερ νόμισμα δόκιμον ἄσκησιν, οἱ ἀντὶ ἀθλητῶν ἄθλιοι· τοῦτο γὰρ αὐτοῖς ἐπιφημιστέον.
ἃ γὰρ νήφοντες ἐν σταδίοις ἐκεῖνοι θεαταῖς χρώμενοι τοῖς Πανέλλησι 42
p.478M. μεθ' ἡμέραν | ἕνεκα νίκης καὶ στεφάνων [Ὀλυμπιονῖκαι] σὺν τέχνῃ δρῶσιν, οὗτοι κιβδηλεύοντες ἐπὶ συμποσίων νύκτωρ ἐν σκότῳ ⟨καὶ⟩ μεθύοντες, ἐμπαροινοῦντες, ἀνεπιστημόνως καὶ κακοτέχνως ἐπ' ἀτιμίᾳ καὶ ὕβρει καὶ αἰκίᾳ χαλεπῇ τῶν ὑπομενόντων ἐνεργοῦσιν. εἰ δὲ μηδεὶς 43
οἷα βραβευτὴς παρελθὼν μέσος διαλύσειε, μετὰ πλείονος ἐξουσίας καταπαλαίουσι, φονῶντες ἐν ταὐτῷ καὶ θανατῶντες· πάσχουσι γὰρ οὐκ ἐλάττονα ὧν διατιθέασιν, ὅπερ οὐκ ἴσασι, παραπαίοντες οἱ τὸν οἶνον οὐχ, ὡς ὁ κωμικός φησιν, ἐπὶ κακῷ τῶν πλησίον αὐτὸ μόνον ἀλλὰ καὶ ἐπὶ τῷ ἰδίῳ πίνειν ὑπομένοντες. τοιγαροῦν οἱ πρὸ μικροῦ παρελθόντες εἰς τὰ συμπόσια 44

---

1 φυσικόν CMFP: φυσικόν A, φυσικοῦ H (v), φυσικὸν om. in lac. G, φυσικὸν φάρμακον Arm (fortasse recte) ἀράσσουσι] κράζουσι AH mg P Arm (Conyb.) τρόπον κυνῶν] κυνῶν τρόπον HP (v), τρόπω τινῶν A ἀτιθάσων CFG: ἀτιθάσσων ceteri (v) 3 ἕτερ' AH (v) ἄττα M τῶν om. M 4 ἀποδεδειχέναι τούτους] ἀποδεδεῖχθαι τούτοις Arm ψωμοὺς A 5 ἐπεσθίοντας corr. in ἐσθίων τοὺς H, ἐσθίοντας C (Conyb.) ἀνθρώπων A, ἀνθρώπους GH², ἀνδρομέους v (Turn. ex Homero) ὠμότεροι A 6 ἠμύνετο C (*ulciscebatur* Lat): ἠμύνατο ceteri (Mang.) ἔστι δ' A, ἔστιν δὲ C 7 ἄσπονδα] ἄσπονδον ἔνσπονδον F εἰργασμένοι A 8 ὥσπερ codd.: ὡς καὶ v 10 ἃ codd.: ἅπερ Turn., ὥσπερ Mang. Πανέλλησι] παρ' ἕλλησι AH² (v) 11 Ὀλυμπιονῖκαι seclusi (om. Lat) ὀλυμπιονῖκαι καὶ G (Conyb.), ὀλυμπιονίκαις A, ὀλυμπιονῖκαι ceteri (v); ὀλυμπιακῶν coni. Wendl. (sic fortasse Arm) 12 συμποσίῳ FA, συμπόσια M 12. 13 καὶ μεθύοντες Arm: καὶ om. codd. (v) 15 μέσος] μέσον M, εἰς μέσους A; εἰς μέσον Mang. διαλύσει C (Conyb.) 17 ὅπερ Wendl.: ἅπερ codd. (v) 18 αὐτὸ μόνον C Arm: αὐτὸ om. A, αὐτῶν μόνον ceteri (v) 19 τὰ om. C Arm (Conyb.)

---

4 Hom. Od. ι 373 sq. φάρυγος δ' ἐξέσσυτο οἶνος | ψωμοί τ' ἀνδρόμεοι. 18 Com. Att. Fragm. adesp. 810 (III p. 551 K.).

σῳοι καὶ φίλοι μικρὸν ὕστερον ἐξίασιν ἐχθροὶ καὶ τὰ σώματα ἠκρωτηριασμένοι· καὶ οἱ μὲν συνηγόρων καὶ δικαστῶν, οἱ δὲ καταπλαστῶν καὶ
45 ἰατρῶν καὶ τῆς ὑπὸ τούτων δέονται βοηθείας. ἕτεροι δὲ τῶν μετριωτέρων δοκούντων εἶναι συμποτῶν ὥσπερ μανδραγόραν τὸν ἄκρατον πιόντες ὑπερβεβλύκασι καὶ τὸν εὐώνυμον ἀγκῶνα προβαλόντες καὶ τὸν αὐχένα ἐγκάρσιον ἐπιστρέψαντες, ἐνερευγόμενοι ταῖς κύλιξιν, ὅπῳ βαθεῖ πιέζονται. μηδὲν μήτε ἰδόντες μήτε ἀκούσαντες, ὡς μίαν μόνην ἔχοντες αἴσθησιν,
46 τὴν ἀνδραποδωδεστάτην γεῦσιν. οἶδα δέ τινας, [οἳ] ἐπειδὰν ἀκροθώρακες γένωνται, πρὶν τελέως βαπτισθῆναι, τὸν εἰς τὴν ὑστεραίαν πότον ἐξ ἐπιδόσεως καὶ συμβολῶν προευτρεπιζομένους, μέρος ὑπολαμβάνοντας τῆς ἐν χερσὶν εὐφροσύνης εἶναι τὴν περὶ τῆς εἰς τὸ μέλλον μέθης ἐλπίδα.
47 τοῦτον τὸν τρόπον διαζῶντες ἄοικοι καὶ ἀνέστιοι διατελοῦσιν, ἐχθροὶ μὲν γονέων καὶ γυναικῶν καὶ τέκνων, ἐχθροὶ δὲ καὶ τῆς πατρίδος, πολέμιοι δὲ καὶ ἑαυτῶν· ὑγρὸς γὰρ καὶ ἄσωτος βίος ἅπασιν ἐπίβουλος.

48 (6.) Ἴσως δ' ἄν τις ἀποδέξαιτο τὴν ἐπιπολάζουσαν νυνὶ τῶν συμποσίων πανταχοῦ διάθεσιν κατὰ πόθον τῆς Ἰταλικῆς πολυτελείας καὶ τρυφῆς, ἣν ἐζήλωσαν Ἕλληνές τε καὶ βάρβαροι πρὸς ἐπίδειξιν μᾶλλον
49 ἢ πρὸς εὐωχίαν ποιούμενοι τὰς παρασκευάς. τρίκλινά τε καὶ πολύκλινα χελώνης ἢ ἐλέφαντος κατεσκευασμένα καὶ τιμαλφεστέρας ὕλης, ὧν τὰ

---

1 ἐξιᾶσιν F 2 καταπλαστῶν AP: καταπλάστρων ceteri 2. 3 καὶ ἰατρῶν om. H¹P, ss. H², ἰατρῶν post δικαστῶν add. P 3 ὑπὸ τούτων] ἐξ αὐτῶν HP Arm (Conyb.); ἀπὸ τούτων coni. Mang. ἕτεροι] ἔνιοι Arm 4 δοκούντων εἶναι CFG: εἶναι δοκούντων HP Arm (Conyb.), εἶναι om. A, εἶναι δοκούντων εἶναι M πίνοντες AP 5 ὑπερβεβλύκασι Mang.: ὑποβεβλύκασι CFA (Conyb.), ὑποβεβλήκασι ceteri (v); cf. de ebr. § 221 αὐχένα] ἀγκῶνα H 6 ἐνερευγόμενοι Turn.: ἀνερευγόμενοι codd. (Conyb.); ἐνεργόμενοι Mang. (in textu) πιέζοντα C 7 μήτε ἰδόντες] μήτ' εἰδότες A Arm (Conyb.) μήτ' ἀκούσαντες A ἀκούσαντες corr. in ἀκούοντες H, ἀκούοντες L Arm (Conyb.) 8 ἀνδραποδεστάτην F, ἀνδραπωδεστάτην A οἳ secl. Wendl. et ego ἀκροθώρακες FHP: ἀκροθώρηκες C (Conyb.), ἀκροθόρακες MA, ἀκροθόρικες G 10 συμβόλων A ὑπολαμβάνοντες A 11 ἀφροσύνης F 13 καὶ τέκνων om. A 14 γὰρ] δὲ C 15 δὲ A νυνὶ] ἐπὶ G, om. in lac. M 15. 16 πανταχοῦ τῶν συμποσίων transp. HP (v) 16 πολυτελείας] πολιτείας F, om. in lac. M 17 ἐπίδειξιν] ἔνδειξιν MA 17. 18 μᾶλλον ἢ πρὸς om. in lac. M 18 εὐωχίαν] εὐεξίαν Arm (?) τε καὶ πολύκλινα om. in lac. M πολύκλινα Arm: περίκλινα codd. (v); πεντάκλινα coni. Mang. 19 τιμαλφεστάτας M ὕλης ὧν τὰ πλεῖστα om. in lac. M

---

8 ἀκροθώρακες: cf. Erotian. Gloss. Hippocr. p. 76, 8 (Klein). Plut. Symp. 3 p. 656 d. Clem. Alex. Paed. II 2, 22 p. 179 P. 18 sqq. cf. Muson. p. 109 sqq. (Hense). Clem. Alex. Paed. II 3, 35 p. 188 P. cf. Wendland l. l. p. 27 sqq.

πλεῖστα λιθοκόλλητα· στρωμναὶ ἁλουργεῖς ἐνυφασμένου χρυσοῦ καὶ ἀνθοβαφεῖς ἕτεραι παντοίων χρωμάτων πρὸς τὸ τῆς ὄψεως ἐπαγωγόν· ἐκπωμάτων πλῆθος ἐκτεταγμένων καθ' ἕκαστον εἶδος, ῥυτὰ γὰρ καὶ φιάλαι καὶ κύλικες καὶ ἕτερα πολυειδῆ τεχνικώτατα θηρίκλεια καὶ τορείαις ἐπιστημονικῶν ἀνδρῶν ἠκριβωμένα. διακονικὰ ἀνδράποδα 50
p. 479 M. εὐμορφότατα | καὶ περικαλλέστατα, ὡς ἀφιγμένα οὐχ ὑπηρεσίας ἕνεκα μᾶλλον ἢ τοῦ φανέντα τὴν τῶν θεωμένων ὄψιν ἡδῦναι· τούτων οἱ μὲν παῖδες ἔτι ὄντες οἰνοχοοῦσι, ὑδροφοροῦσι δὲ βούπαιδες λελουμένοι καὶ λελειασμένοι, ⟨οἷ⟩ τά τε πρόσωπα ἐντρίβονται καὶ ὑπογράφονται καὶ τὰς τῆς κεφαλῆς τρίχας εὖ πως διαπλέκονται σφηκούμενοι· βαθυχαῖται γάρ 51
εἰσιν ἢ μὴ κειρόμενοι τὸ παράπαν ἢ τὰς προμετωπιδίους αὐτὸ μόνον ἐξ ἄκρων εἰς ἐπανίσωσιν καὶ γραμμῆς κυκλοτεροῦς ἠκριβωμένον σχῆμα· χιτῶνάς τε ἀραχνοϋφεῖς καὶ ἐκλεύκους ἐπαναζωσάμενοι, τὰ μὲν ἐμπρόσθια κατωτέρω τῶν ὑπὸ γόνου, τὰ δὲ κατόπιν μικρὸν ὑπὸ τοῖς γονατίοις, ἑκάτερον δὲ μέρος οὐλοτέραις ταῖς σειραίαις ἐπιδιπλώσεσι κατὰ τὴν τῶν χιτωνίσκων συμβολὴν συστέλλοντες ἐκ πλαγίων κόλπους ἀπαιωροῦσιν, εὑρύνοντες τὰ κοῖλα τῶν πλευρῶν. ἐφεδρεύουσι δ' ἄλλοι, μειράκια ⟨ἢ⟩ 52
πρωτογένεια, τοὺς ἰούλους ἄρτι ἀνθοῦντες, ἀθύρματα πρὸ μικροῦ παιδεραστῶν γεγονότες, ἠσκημένοι σφόδρα περιέργως πρὸς τὰς βαρυτέρας ὑπηρεσίας, ἐπίδειξις ἑστιατόρων εὐπορίας, ὡς ἴσασιν οἱ χρώμενοι, ὡς δὲ ἔχει τὸ ἀληθές, ἀπειροκαλίας. πρὸς δὲ τούτοις αἱ πεμμάτων καὶ ὄψων καὶ 53

---

1 λιθοκόλλητοι M ἀνυφασμένου H χρυσοῦ] χρυσοῦ καὶ ἀργύρου MF (Mang.) 1. 2 καὶ ἀνθοβαφεῖς] αὐταῖς M 3 ἐκτεταμένων A εἶδος] εἶναι F γὰρ] δὲ A 4 κίλικες A θηρίκλια C^1, θηλύδρια H in textu mg P, θηρίκλεια mg H καὶ post θηρίκλεια om. C 6 εὐμορφώτατα H καὶ om. F 7 τούτων] ἔτι A, τούτων γὰρ Arm 8 ἔτι om. Arm οἰνοχοοῦσιν CF: οἰνοχοοῦσι ceteri (v) ὑδροφοροῦσι CF Arm: δορυφοροῦσι MAH, καὶ ὑδροφοροῦσι, δορυφοροῦσι GP, γρ. ὑδροφοροῦσι mg M, καὶ ὑδροφοροῦσι mg H 9 οἷ add. Wendl. 10 βαθυχαῖται] βαθύχαιτοι M, ἁβάκται τὲ A 11 ἢ μὴ] οἱ μὴ Arm ἢ ante τὰς om. C προμετωπίδους C 12 κυκλωτερους (sic) C ἠκριβωμένον codd. Arm (Conyb.): ἠκριβωμένοι L (v) 13 καὶ ante ἐκλεύκους eras. C τὰ μὲν γὰρ ἔμπροσθεν A 14 κατώτερα F ὑπὸ τῶν γονατίων F 15 οὐλοτέραις] αὐλοτέραις A τὴν om. A τὴν τῶν] αὐτῶν Arm 16 post συστέλλοντες add. καὶ Arm ἐκ πλαγίου κόλπου A ἀπαιωροῦσιν codd.: ἀπαιωροῦντες v 17 εὑρύνοντες C: εὐρύναντες ceteri (v) πλευρῶν. ἐφεδρεύουσι δ' ἄλλοι Arm (Conyb.): πλευρῶν ἐφεδρεύουσιν. ἄλλοι δὲ codd. (v) ἢ addidi; cf. de Cherub. § 114 frg. ap. Eus. Pr. Ev. VIII 11 (II p. 632 M.) 18 ἀνθοῦντα F 19 γεγονότα F ἠσκημένα F 20 ἐπίδειξις] ἃ ἐπίδειξίς ἐστιν AP^2 ἑστιατόρων] ἀπόρων AP ὡς ἴσασιν οἱ χρώμενοι post εὐπορίας exhibent codd. Arm (Conyb.): post ἀπειροκαλίας (l. 21) v ἴσασιν] νομίζουσιν coni. Mang., φασιν Wendl. 21 τἀληθές A, τὸ ἀληθὲς δὲ F ἀπειροκαλίας Mang.: ἀπειροκαλία codd. πρὸς τούτοις δὲ A

ἡδυσμάτων ποικιλίαι, περὶ ἃ σιτοπόνοι καὶ ὀψαρτυταὶ πονοῦνται, φροντίζοντες οὐ γεῦσιν, ὅπερ ἀναγκαῖον ἦν, ἡδῦναι μόνον, ἀλλὰ καὶ ὄψιν τῇ καθαριότητι. *** τοὺς αὐχένας ἐν κύκλῳ περιάγοντες τοῖς ὀφθαλμοῖς καὶ τοῖς μυκτῆρσι περιλιχνεύουσι, τοῖς μὲν τὰς εὐσαρκίας καὶ τὸ πλῆθος, τοῖς δὲ τὴν ἀναδιδομένην κνῖσαν. εἶτα ὅταν ἀμφοτέρων, ὄψεών τε καὶ ὀσμῶν, γένωνται διακορεῖς, ἐσθίειν κελεύουσιν, ἐπαινέσαντες οὐκ ὀλίγα
54 τὴν παρασκευὴν καὶ τὸν ἑστιάτορα τῆς πολυτελείας. ἑπτὰ γοῦν καὶ πλείους εἰσκομίζονται τράπεζαι, πλήρεις ἁπάντων ὅσα γῆ τε καὶ θάλαττα καὶ ποταμοὶ καὶ ἀὴρ φέρουσιν ἔκλογα πάντα καὶ εὔσαρκα, χερσαίων, ἐνύδρων, ἀεροπόρων, ὧν ἑκάστη διαλλάσσει καὶ ταῖς παρασκευαῖς καὶ ταῖς παρατύσεσιν. ὑπὲρ δὲ τοῦ μηδὲν εἶδος ἀπολειφθῆναι τῶν ἐν τῇ φύσει, τελευταῖαι τῶν ἀκροδρύων εἰσκομίζονται γέμουσαι, δίχα τῶν εἰς τοὺς κώμους
55 καὶ τὰς λεγομένας ἐπιδειπνίδας. εἶτα αἱ μὲν ἐκκομίζονται κεναὶ διὰ τὴν τῶν παρόντων ἀπληστίαν, οἳ τρόπον αἰθυιῶν ἐμφορούμενοι κατοψοφαγοῦσιν οὕτως, ὡς καὶ τῶν ὀστέων ἐπεντραγεῖν, τὰς δὲ λωβήσαντες καὶ σπαράξαντες ἡμιβρώτους ἐῶσιν. ὅταν δὲ τελέως ἀπαγορεύσωσι, τὰς μὲν γαστέρας ἄχρι φαρύγγων πεπληρωμένοι, κενοὶ δὲ πρὸς τὰς ἐπιθυμίας, ἀπειρηκότες
56 πρὸς τὰς ἐδωδάς, *** ἀλλὰ τί ταῦτα προσῆκε μηκύνειν, ἃ παρὰ πολλοῖς ἤδη τῶν μετριωτέρων καταγινώσκεται προσαναρρηγνύντα τὰς ἐπιθυμίας, ὧν ἡ μείωσις ὠφέλιμον; εὔξαιτο γὰρ ἄν τις τὰ ἀπευκταιότατα, | p.480M.

---

1 σιτοπόνοι] σιτοποιοὶ C Arm (Conyb.) 2 ἦν om. G 3 καθαριότητι C: ῑ ρι in ρει corr. H, καθαρειότητι M, καθαρειότητι GA, καθαρότητι FP lacunam indicavi sic fere explendam: ⟨οἱ γοῦν παρελθόντες εἰς τὰ συμπόσια⟩ verba τοὺς αὐχένας — τῆς πολυτελείας (l. 7) huc reduxi: post ἀπειρηκότες πρὸς τὰς ἐδωδάς (l. 18) exhibent codd. (v) 4 τοῖς ante μυκτῆρσι om. C περιλιχνεύουσι Arm (coni. Mang.): περιϊχνεύουσι codd. 5 ἀναδεδομένην MA κνίσαν CH: κνίσσαν MFGP (Mang.), ὀσμὴν A εἶθ' A τε om. FG 6 ἐσθίειν] ἐπαινεῖν Arm κελεύουσιν] διακελεύουσιν HP (v) ἐπαινέσαντες om. Arm 8 θάλασσα A 9 εὔσαρκα CFA: ἔνσαρκα ceteri 11 δὲ om. FGA Arm (Conyb., qui post φύσει interpungit) 11. 12 τελευταῖαι] τελευταῖα AP Arm (Conyb.), τελευταῖαι δὲ αἱ G 12 κομίζονται A 14 παρόντων] ἐσθιόντων Arm τρόπων C αἰθυιῶν MG: αἰθυῶν ceteri (v) 15 οὕτως om. Arm (Conyb.) ὡς] ὥστε M ὀστέων] ὀστέων αὐτῶν Arm (Conyb.) 18 lacunam indicavi sic fere explendam: ⟨πρὸς τὸν πότον τρέπονται⟩ προσήκει Arm 19 γινώσκεται H ἀναρρηγνύντα H 20 ὠφέλιμος A εὔξαιτο] εὔξεται A

---

7 sq. cf. Iuven. I 94 quis fercula septem | secreto cenavit avus? Suet. Aug. 74. 13 ἐπιδειπνίδας: Athen. XIV 658e. 664f.

πεῖνάν τε καὶ δίψαν, ⟨μᾶλλον⟩ ἢ τὴν ἐν ταῖς τοιαύταις εὐωχίαις ἄφθονον σιτίων καὶ ποτῶν περιουσίαν.

(7.) Τῶν ἐν τῇ Ἑλλάδι συμποσίων τὰ περιβόητα καὶ σημειωδέστατα 57
δύο ταῦτά ἐστιν, οἷς καὶ Σωκράτης παρετύγχανε· τὸ μὲν ἐν Καλλίου,
ἡνίκα στεφανωθέντος Αὐτολύκου τὰ ἐπινίκια εἱστία, τὸ δὲ ἐν Ἀγάθωνος,
ἃ καὶ μνήμης ἠξίωσαν ἄνδρες τά τε ἤθη καὶ τοὺς λόγους φιλόσοφοι,
Ξενοφῶν τε καὶ Πλάτων· ἀνεγράψαντο γὰρ ὡς ἀξιομνημόνευτα, οἷς
ὑπετόπασαν χρήσεσθαι παραδείγμασι τοὺς ἔπειτα τῆς ἐν συμποσίοις
ἐμμελοῦς διαγωγῆς. ἀλλ' ὅμως καὶ ταῦτα συγκρινόμενα τοῖς τῶν ἡμε- 58
τέρων, οἳ τὸν θεωρητικὸν ἠσπάσαντο βίον, γέλως ἀναφανεῖται. ἡδονὰς
μὲν οὖν ἔχει ἑκάτερον, ἀνθρωπικώτερον δέ ἐστι τὸ Ξενοφῶντος· αὐλητρίδες
τε καὶ ὀρχησταὶ καὶ θαυματοποιοὶ καὶ ποιηταὶ γελοίων ἐπὶ τῷ σκῶψαι
καὶ χαριεντίσασθαι μέγα φρονοῦντές εἰσί τινες καὶ ἄλλα τῶν ἐν ταῖς
ἱλαρωτέραις ἀνέσεσι. τὸ δὲ Πλατωνικὸν ὅλον σχεδόν ἐστι περὶ ἔρωτος, 59
οὐκ ἀνδρῶν γυναιξὶν ἐπιμανέντων ἢ γυναικῶν ἀνδράσιν αὐτὸ μόνον —
ὑποτελοῦσι γὰρ αἱ ἐπιθυμίαι αὗται νόμοις φύσεως —, ἀλλὰ ἀνδρῶν
ἄρρεσιν ἡλικίᾳ μόνον διαφέρουσι· καὶ γὰρ εἴ τι περὶ ἔρωτος καὶ Ἀφρο-
δίτης οὐρανίου κεκομψεῦσθαι δοκεῖ, χάριν ἀστεϊσμοῦ παρείληπται. τὸ 60
γὰρ πλεῖστον αὐτοῦ μέρος ὁ κοινὸς καὶ πάνδημος ἔρως διείληφεν,

---

1 πεῖνάν τε καὶ δίψαν] δίψαν τε καὶ πεῖναν C Arm (Conyb.) μᾶλλον add. Mang. 3 τῶν] τῶν γοῦν A mg P (Mang.) σημειωδέστερα A 4 ταῦτ' A ἐν καλλίου C: ἐν om. A, ἓν καλλίου ceteri Arm (Turn. Mang.) 5 εἱστία (scil. Καλλίας) scripsi: εἱστιᾶτο codd. (v) ἐν ἀγάθωνος C: ἓν ἀγάθωνος ceteri Arm (Turn. Mang.) 6 τ' A λόγους] τρόπους M φιλόσοφοι om. HP 7 τε om. C (Conyb.) ἀνέγραψαν F ἀξιομνημόνευτοι F 8 χρήσεσθαι Mang.: χρήσασθαι codd. (ἂν χρήσασθαι Conyb.) τοὺς] τοῖς A τῆς om. F 9 συγκρινομένων F 11 ἐστιν C 11. 12 αὐλητρίδες τε C: αὐλητρίδες δὲ ceteri (αὐλητρίδες γὰρ v) 12 ὀρχισταὶ C ποιηταὶ] πύκται A 13 μέγα] μεγάλα G φρονοῦσιν Arm εἰσί τινες καὶ ἄλλα scripsi: εἰσί τινα καὶ ἄλλα CFGH, εἴς τινα καὶ ἄλλα M, εἰσὶ δέ τινα καὶ ἄλλα AP, εἰσὶ (vel ἔστι) δὲ καὶ ἄλλα Arm; εἰσί, καί τινα ἄλλα v; εἰσίενται καὶ ἄλλα coni. Wendl.; ἐκεῖ τινες καὶ ἄλλα conieceram 14 ὅλον] μόνον A περὶ ἔρωτα A 15 γυναιξὶν A (Conyb.): ἐπὶ γυναιξὶν ceteri (v) 16 ὑποτελοῦσι codd. Arm (Conyb.): ἐπιτελοῦνται v (Turn.) νόμοις] νόμῳ HP (v) ἀλλ' A 17 ἄρρεσιν A: ἄρσεσιν ceteri (v) διαφέρουσιν C γὰρ om. A 17. 18 ἀφροδίτης οὐρανίου C (Conyb.): οὐρανίου ἀφροδίτης ceteri (v) 18 παρείληπται] πᾶν εἴληπται Arm 19 πλεῖστον] πλεῖον A πάνδημος] πάντων F

---

4 sqq. cf. Plut. de Pyth. orac. 15 p. 401 c καθάπερ γὰρ ὁ Σωκράτης ἑστιώμενος ἐν Καλλίου τῷ μύρῳ πολεμεῖ μόνον, ὀρχήσεις δὲ παίδων καὶ κυβιστήσεις καὶ φιλήματα καὶ γελωτοποιοὺς ὁρῶν ἀνέχεται. Xen. Symp. II 1 sqq. 17. 18 sqq. cf. Plat. Symp. 180 d.

ἀνδρείαν μέν, τὴν βιωφελεστάτην ἀρετὴν κατὰ πόλεμον καὶ κατ' εἰρήνην, ἀφαιρούμενος, θήλειαν δὲ νόσον ταῖς ψυχαῖς ἐναπεργαζόμενος καὶ ἀνδρογύνους κατασκευάζων, οὓς ἐχρῆν πᾶσι τοῖς πρὸς ἀλκὴν ἐπιτηδεύμασι
61 συγκροτεῖσθαι. λυμηνάμενος δὲ τὴν παιδικὴν ἡλικίαν καὶ εἰς ἐρωμένης τάξιν καὶ διάθεσιν ἀγαγὼν ἐζημίωσε καὶ τοὺς ἐραστὰς περὶ τὰ ἀναγκαιότατα, σῶμα καὶ ψυχὴν καὶ οὐσίαν· ἀνάγκη γὰρ τοῦ παιδεραστοῦ τὸν μὲν νοῦν τετάσθαι πρὸς τὰ παιδικά, πρὸς ταῦτα μόνον ὀξυδορκοῦντα, πρὸς δὲ τὰ ἄλλα πάντα ἴδιά τε καὶ κοινὰ τυφλούμενον, ⟨τὸ δὲ σῶμα⟩ ὑπὸ τῆς ἐπιθυμίας, καὶ μάλιστα εἰ ἀποτυγχάνοιτο, συντήκεσθαι, τὴν δὲ οὐσίαν ἐλαττοῦσθαι διχόθεν, ἔκ τε ἀμελείας καὶ τῶν εἰς τὸν ἐρώμενον
62 ἀναλωμάτων. παραφύεται δὲ καὶ μεῖζον ἄλλο πάνδημον κακόν· ἐρημίαν γὰρ πόλεων καὶ σπάνιν τοῦ ἀρίστου γένους ἀνθρώπων καὶ στείρωσιν καὶ ἀγονίαν τεχνάζονται, οἳ μιμοῦνται τοὺς ἀνεπιστήμονας τῆς γεωργίας, σπείροντες ἀντὶ τῆς | βαθυγείου πεδιάδος ὑφάλμους ἀρούρας ἢ λιθώδη p.481 M.
καὶ ἀπόκροτα χωρία, ἃ πρὸς τῷ μηδὲν πεφυκέναι βλαστάνειν καὶ τὰ
63 καταβληθέντα φθείρει σπέρματα. σιωπῶ τὰ τῶν μύθων πλάσματα καὶ τοὺς δισωμάτους, οἳ κατ' ἀρχὰς προσφύντες ἀλλήλοις ἐνωτικαῖς δυνάμεσιν αὖθις οἷα μέρη συνελήλυθότα διεζεύχθησαν, τῆς ἁρμονίας ὑφ' ἧς συνείχοντο λυθείσης· εὐπαράγωγα γὰρ ταῦτα πάντα, δυνάμενα τῇ καινότητι

ει
1 ἀνδρίαν A, ἀνδρίαν F 2 ἐναπεργαζόμενος MFG: ἐνεργαζόμενος C (Conyb.), ἀπεργαζόμενος AHP (v) 3 ἐπιτηδεύμασι] γρ. μαθήμασι mg M, μαθήμασι mg P, ἐπιτηδεύμασι καὶ μαθήμασι F 4 ἐρωμένην C, ἐρωμένων Arm (Conyb.) 6 σῶμα καὶ ψυχὴν C Arm (Conyb.): σώματα, ψυχὴν A, σώματα καὶ ψυχὴν ceteri: σῶμά τε καὶ ψυχὴν v 7 πρὸς ταῦτα CG (Conyb.): καὶ πρὸς ταῦτα ceteri (v) μόνον om. Arm ὀξυδορκοῦντα FGA: ὀξυδερκοῦντα ceteri (v) 8 τἄλλα A τὸ δὲ σῶμα add. Conyb.: τὰ δὲ σώματα Arm, om. codd. (v) 9 ἀποτυγχάνοιτο] ἀποτυγχάνοι HP (Turn.); cf. de spec. leg. III § 44 10 δ' A 11 παραφύεται] περιφύεται A, παραφύεσθαι Arm (Conyb.) 12 γὰρ om. FG Arm (Conyb.) 13 ἀγωνίαν A, ἀγονίαν ex ἀγωνίαν corr. H τεχνάζονται A et ut vid. Arm: τεχναζόντων ceteri (Turn. Conyb.) τῆς γεωργίας] τῶν γεωργῶν Arm 14 σπείροντας Wendl. (sic Arm?) ὑφάλμους] ὑφάλους G mg P; ὑφάμμους coni. Mang. λιθώδεις A 15 πεφυκέναι] πεφθακέναι A 16 καταβληθέντα G (Conyb.): βληθέντα ceteri (v) φθείρει om. in lac. G, σπείρει H² σπέρματα φθείρει transp. M σπέρματα] σώματα A 17 δισωμάτους] δῦσομμάτους M, γρ. δισωμάτους mg M προσφύντες] πρόσφυγες A ἐνωτικαῖς C Arm (Conyb.): ἐρωτικαῖς ceteri (v) 18 συνελήλυθότων HP (Turn.) 18. 19 συνείχετο FG 19 πάντα om. G

---

14 sq. cf. Plat. Legg. VIII 838e μηδ' εἰς πέτρας τε καὶ λίθους σπείροντας ..., ἀπεχομένους δὲ ἀρούρας θηλείας πάσης, ἐν ᾗ μὴ βούλοιο ἄν σοι φύεσθαι τὸ σπαρέν.

τῆς ἐπινοίας τὰ ὦτα δελεάζειν· ὧν ἐκ πολλοῦ τοῦ περιόντος οἱ Μωυσέως γνώριμοι, μεμαθηκότες ἐκ πρώτης ἡλικίας ἐρᾶν ἀληθείας, καταφρονοῦσιν ἀνεξαπάτητοι διατελοῦντες.

(8.) Ἀλλ' ἐπειδὴ τὰ διωνομασμένα συμπόσια τοιαύτης μεστὰ 64
ψλυαρίας ἐστίν, ἐν ἑαυτοῖς ἔχοντα τὸν ἔλεγχον, εἴ τις μὴ πρὸς δόξας καὶ τὴν διαδοθεῖσαν περὶ αὐτῶν ὡς δὴ πάνυ κατωρθωμένων φήμην ἐθελήσειεν ἀφορᾶν, ἀντιτάξω ⟨τὰ⟩ τῶν ἀνατεθεικότων τὸν ἴδιον βίον καὶ ἑαυτοὺς ἐπιστήμῃ καὶ θεωρίᾳ τῶν τῆς φύσεως πραγμάτων κατὰ τὰς τοῦ προφήτου Μωυσέως ἱερωτάτας ὑφηγήσεις. οὗτοι τὸ μὲν πρῶτον 65
ἀθροίζονται δι' ἑπτὰ ἑβδομάδων, οὐ μόνον τὴν ἁπλῆν ἑβδομάδα ἀλλὰ καὶ τὴν δύναμιν τεθηπότες· ἀγνὴν γὰρ καὶ ἀειπάρθενον αὐτὴν ἴσασιν. ἔστι δὲ προέορτος μεγίστης ἑορτῆς, ἣν πεντηκοντὰς ἔλαχεν, ἀγιώτατος καὶ φυσικώτατος ἀριθμῶν, ἐκ τῆς τοῦ ὀρθογωνίου τριγώνου δυνάμεως, ὅπερ ἐστὶν ἀρχὴ τῆς τῶν ὅλων γενέσεως, συσταθείς. ἐπειδὰν οὖν συνέλ- 66
θωσι λευχειμονοῦντες φαιδροὶ μετὰ τῆς ἀνωτάτω σεμνότητος, ὑποσημαίνοντός τινος τῶν ἐφημερευτῶν — οὕτω γὰρ ὀνομάζειν ἔθος τοὺς ἐν ταῖς τοιαύταις ὑπηρεσίαις —, πρὸ τῆς κατακλίσεως στάντες ἑξῆς κατὰ στοῖχον ἐν κόσμῳ καὶ τάς τε ὄψεις καὶ τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείναντες, τὰς μὲν ἐπειδὴ τὰ θέας ἄξια καθορᾶν ἐπαιδεύθησαν, τὰς δὲ ὅτι καθαραὶ λημμάτων εἰσὶν ὑπ' οὐδεμιᾶς προφάσεως τῶν εἰς πορισμὸν μιαινόμεναι, προσεύχονται τῷ θεῷ θυμήρη γενέσθαι καὶ κατὰ νοῦν ἁπαντῆσαι τὴν εὐωχίαν. μετὰ δὲ τὰς εὐχὰς οἱ πρεσβύτεροι κατακλί- 67
νονται ταῖς εἰσκρίσεσιν ἀκολουθοῦντες· πρεσβυτέρους δὲ οὐ τοὺς πολυετεῖς

---

1 post δελεάζειν add. ἐνίων GA (ss. P), ἔνια F ἐκ πολλοῦ τοῦ περιόντος] ἐκ πολλῶν χρόνων Arm μωσέως codd. 3 ἀνεξαγάπητοι F διατελοῦντες om. in lac. M διατελοῦντες] διαθλοῦντες Turn. 4 ἀλλ' om. M 4. 5. τοιαύτης ἐστὶ φλυαρίας μεστά A 5 ἐστίν om. M τις] τι A, τις om. Arm πρὸς δόξας] πρὸς δόξαν HP (v) 6 αὐτῶν] ἑαυτῶν C κατωρθωμένην A 7 ἀντιταξάτω A, ἀντιτάξας Arm τὰ add. Mang. 7. 8 καὶ ἑαυτοὺς om. Arm 8 τῆς φύσεως om. G 9 τοῦ om. A μωυσέος A, μωσέως ceteri 10 ἑβδομάδα CGHP Arm: ἑβδομάδος F, ζωὴν M, καὶ μίαν A 12 προέορτος CMG: προεόρτιος ceteri (v); cf. de spec. leg. II § 176 ἣν et ἔλαχεν om. Arm 13 ἀριθμός Arm (fortasse recte) ὀρθογώνου A τριγωνίου H^1P 14 συσταθείς MFG Arm: καὶ σύστασις CA (καὶ συστάσεως Mang.), om. HP (Turn.) οὖν] γοῦν A, δὲ Arm 15 ἀνωτάτης A 16 τινος τῶν ἐφημερευτῶν] αὐτοῖς τοῦ ἐφημερευτοῦ Arm ἐφημερευτῶν] ἑρμηνευτῶν F γὰρ] γὰρ αὐτοῖς Arm 18 τὰς ante χεῖρας om. HP (v) 19 ante ὅτι add. καθ' ἣν F 22 τὴν εὐωχίαν αὐτῶν Arm 23 εἰσκρίσεσιν ἀκολουθοῦντες] θείαις κρίσεσιν ἀκολούθως A δὲ Arm: γὰρ codd. (v)

καὶ πολιοὺς νομίζουσιν [ἀλλ' ἔτι κομιδῇ νέους παῖδας], ἐὰν ὀψὲ τῆς προαιρέσεως ἐρασθῶσιν, ἀλλὰ τοὺς ἐκ πρώτης | ἡλικίας ἐνηβήσαντας p.482M.
καὶ ἐνακμάσαντας τῷ θεωρητικῷ μέρει φιλοσοφίας, ὃ δὴ κάλλιστον καὶ
68 θειότατόν ἐστι. συνεστιῶνται δὲ καὶ γυναῖκες, ὧν πλεῖσται γηραιαὶ παρθένοι, τὴν ἁγνείαν οὐκ ἀνάγκῃ, καθάπερ ἔνιαι τῶν παρ' Ἕλλησιν ἱερειῶν, διαφυλάξασαι μᾶλλον ἢ καθ' ἑκούσιον γνώμην, διὰ ζῆλον καὶ πόθον σοφίας, ᾗ συμβιοῦν σπουδάσασαι τῶν περὶ σῶμα ἡδονῶν ἠλόγησαν, οὐ θνητῶν ἐκγόνων ἀλλ' ἀθανάτων ὀρεχθεῖσαι, ἃ μόνη τίκτειν ἀφ' ἑαυτῆς οἵα τέ ἐστιν ἡ θεοφιλὴς ψυχή, σπείραντος εἰς αὐτὴν ἀκτῖνας νοητὰς
69 τοῦ πατρός, αἷς δυνήσεται θεωρεῖν τὰ σοφίας δόγματα. (9.) διανενέμηται δὲ ἡ κατάκλισις χωρὶς μὲν ἀνδράσιν ἐπὶ δεξιά, χωρὶς δὲ γυναιξὶν ἐπ' εὐώνυμα. μή πού τις ὑπολαμβάνει στρωμνάς, εἰ καὶ οὐ πολυτελεῖς, ἀλλ' οὖν μαλακωτέρας ἀνθρώποις εὐγενέσι καὶ ἀστείοις καὶ φιλοσοφίας ἀσκηταῖς εὐτρεπίσθαι; στιβάδες γάρ εἰσιν εἰκαιοτέρας ὕλης, ἐφ' ὧν εὐτελῆ πάνυ χαμαίστρωτα παπύρου τῆς ἐγχωρίου, μικρὸν ὑπερέχοντα κατὰ τοὺς ἀγκῶνας, ἵνα ἐπερείδοιντο· τὴν μὲν γὰρ Λακωνικὴν σκληραγωγίαν ὑπανιᾶσιν, ἀεὶ δὲ καὶ πανταχοῦ τὴν ἐλευθέριον εὐκολίαν ἐπι-
70 τηδεύουσιν, ἀνὰ κράτος τοῖς ἡδονῆς φίλτροις ἀπεχθόμενοι. διακονοῦνται

---

1 πολιοὺς Mang.: παλαιοὺς codd. verba ἀλλ' ἔτι κομιδῇ νέους παίδους om. Arm, seclusi ἀλλ'] οὐδ' A 2 ἐνηβάσαντας AP, ἡβήσαντας F 2. 3 ἐνηβήσαντας καὶ om. Arm 3 ἀκμάσαντας H (Turn.) τῆς φιλοσοφίας AP² 4 ὧν αἱ πλεῖσται Eus γηραιαὶ G, γεραιαὶ A, γηραλέαι Eus (Mang.) 5 post παρθένοι add. τυγχάνουσιν Eus (Mang.), om. codd. Arm 6 φυλάξασαι Eus, διαφυλάττουσι Arm διὰ ζῆλον C Eus Arm (Conyb.): διὰ δὲ ζῆλον ceteri (v) 7 σπουδάσασαι] σπουδάζουσαι A (σπουδάζουσι Mang.) περὶ σῶμα] περὶ τὸ σῶμα M Eus (Mang. Conyb.), σωματικῶν Arm 8 ἐγγόνων A 8. 9 ἀφ' ἑαυτῆς om. Arm 11 ἡ ante κατάκλισις om. A 12 μή πού τις scripsi: ἤ πού τις C, ἤ πού τις A (Mang. Conyb.), εἴ πού τις ceteri (Turn.) οὐ] μὴ M (Conyb.) 13 καὶ ἀστείοις om. Arm 14 ἀσκηταῖς] ἐρασταῖς AP², ἀθληταῖς Arm εὐτρεπίσασθαι M στιβάδες γάρ εἰσιν codd.: γάρ om. v; στιβάδες πάρεισιν coni. et l. 12 εἴ πού τις legendum censet Wendl. ἐφ' ὧν Wendl.: ἀφ' ὧν codd. (v) 15 ὑπερανέχοντα F 16 ἵν' F ὑπερείδοιντο M μὲν om. A 17 ὑπανιᾶσιν v (Turn.): ὑπάνεισιν codd. τὴν ἐλευθερίαν εὐκόλως A 18 τοῖς τῆς ἡδονῆς AP², τῆς ἡδονῆς Arm φίλτροις ἀπεχθανόμενοι M, φίλτρων ἀπεχόμενοι Arm

---

4—9 pergit Euseb. Hist. eccl. II 17, 17 ταύτας τοῦ Φίλωνος σαφεῖς καὶ ἀναντιρρήτους περὶ τῶν καθ' ἡμᾶς ὑπάρχειν ἡγούμεθα λέξεις. (18) εἰ δ' ἐπὶ τούτοις ἀντιλέγων τις ἔτι σκληρύνοιτο, καὶ οὗτος ἀπαλλαττέσθω τῆς δυσπιστίας, ἐναργεστέραις πειθαρχῶν ἀποδείξεσιν, ἃς οὐ παρά τισιν ἢ μόνῃ τῶν Χριστιανῶν εὑρεῖν ἔνεστιν κατὰ τὸ εὐαγγέλιον θρησκεία. (19) φησὶν γὰρ τοῖς περὶ ὧν ὁ λόγος καὶ γυναῖκας συνεῖναι, ὧν αἱ πλεῖσται — ἡ θεοφιλὴς ψυχή. Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: εἰσὶ δὲ καὶ γυναῖκες θεραπευτίδες, ὧν αἱ πλεῖσται — ἡ θεοφιλὴς ψυχή. 16 cf. Plut. Lyc. 16.

δὲ οὐχ ὑπ' ἀνδραπόδων, ἡγούμενοι συνόλως τὴν θεραπόντων κτῆσιν
εἶναι παρὰ φύσιν· ἡ μὲν γὰρ ἐλευθέρους ἅπαντας γεγέννηκεν, αἱ δέ
τινων ἀδικίαι καὶ πλεονεξίαι ζηλωσάντων τὴν ἀρχέκακον ἀνισότητα κατα-
ζεύξασαι τὸ ἐπὶ τοῖς ἀσθενεστέροις κράτος τοῖς δυνατωτέροις ἀνῆψαν.
ἐν δὴ τῷ ἱερῷ τούτῳ συμποσίῳ δοῦλος μὲν ὡς ἔφην οὐδείς, ἐλεύθεροι 71
δὲ ὑπηρετοῦσι, τὰς διακονικὰς χρείας ἐπιτελοῦντες οὐ πρὸς βίαν οὐδὲ
προστάξεις ἀναμένοντες, ἀλλ' ἐθελουσίῳ γνώμῃ φθάνοντες μετὰ σπουδῆς
καὶ προθυμίας τὰς ἐπικελεύσεις. οὐδὲ γὰρ οἱ τυχόντες ἐλεύθεροι 72
τάττονται πρὸς ταῖς ὑπουργίαις ταύταις, ἀλλ' οἱ νέοι τῶν ἐν τῷ συστή-
ματι μετὰ πάσης ἐπιμελείας ἀριστίνδην ἐπικριθέντες, ὃν χρὴ τρόπον
ἀστείους καὶ εὐγενεῖς πρὸς ἄκραν ἀρετὴν ἐπειγομένους· οἳ καθάπερ υἱοὶ
γνήσιοι φιλοτίμως ἄσμενοι πατράσι καὶ μητράσιν ὑπουργοῦσι, κοινοὺς
αὑτῶν γονεῖς νομίζοντες οἰκειοτέρους τῶν ἀφ' αἵματος, εἴ γε καλοκἀγαθίας
οὐδὲν οἰκειότερόν ἐστι τοῖς εὖ φρονοῦσιν· ἄζωστοι δὲ καὶ καθειμένοι τοὺς
p. 483 M. χιτωνίσκους εἰσίασιν ὑπηρετήσοντες, ἵ ἕνεκα τοῦ μηδὲν εἴδωλον ἐπιφέρε-
σθαι δουλοπρεποῦς σχήματος. εἰς τοῦτο τὸ συμπόσιον — οἶδ' ὅτι γελά- 73
σονταί τινες ἀκούσαντες, γελάσονται δὲ οἱ κλαυθμῶν καὶ θρήνων ἄξια
ὁρῶντες — οἶνος ἐκείναις ταῖς ἡμέραις οὐκ εἰσκομίζεται, ἀλλὰ διαυγέσ-
τατον ὕδωρ, ψυχρὸν μὲν τοῖς πολλοῖς, θερμὸν δὲ τῶν πρεσβυτάτων τοῖς
ἀβροδιαίτοις· καὶ τράπεζα καθαρὰ τῶν ἐναίμων, ἐφ' ἧς ἄρτοι μὲν τροφή,
προσόψημα δὲ ἅλες, οἷς ἔστιν ὅτε καὶ ὕσσωπος ἡδυσμα παραρτύεται διὰ
τοὺς τρυφῶντας. νηφάλια γὰρ ὡς τοῖς ἱερεῦσι θύειν καὶ τούτοις βιοῦν 74
ὁ ὀρθὸς λόγος ὑφηγεῖται· οἶνος μὲν γὰρ ἀφροσύνης φάρμακον, ὄψα δὲ

---

1 συνόλως om. A τὴν τῶν θεραπόντων A, τὴν ἀνδραπόδων M 2 εἶναι om. A post παρὰ φύσιν add. ἡ δούλων A (post θεραπόντων add. Mang.) 3. 4 καταζεύξασαι] κατα... (spat. 7—8 litt.) M 5 δὴ] δὲ Arm (Conyb., coni. Mang.) ἱερῷ τούτῳ συμποσίῳ om. in lac. M οὐδεὶς ὡς ἔφην transp. C (Conyb.), οὐδεὶς ἦν ὡς ἔφην Arm 6 δ' A τὰς διακονικὰς — οὐδὲ] τὰς δια (cet. om. in lac.) M 7 ἀλλ' ἐθελουσίῳ γνώμῃ φθάνοντες μετὰ om. in lac. M 9 τάττονται om. G 11 πρὸς] καὶ πρὸς τὴν Arm (καὶ πρὸς Conyb.) ἐπειγομένους Arm (corr. Turn.): ἐπιγινόμενοι A, ἐπιγινομένους ceteri οἱ om. Arm 12 πατράσι CMFA: πατράσιν ceteri ὑπουργοῦσι MFG: ὑπουργοῦσιν ceteri 13 αὐτῶν codd., αὑτῶν om. Arm post νομίζοντες add. καὶ Arm οἰκειοτάτους F 14 οἰκειότερον οὐδέν transp. A ἐστιν C καθιέμενοι C 14. 15 τοὺς χιτῶνας A 15 ὑπηρετοῦντες A 16 post σχήματος interpung. C Arm (Conyb.): post συμπόσιον ceteri (v) εἰς om. C οἶδ' CA: οἶδα ceteri (v) 18 ὁρῶντες] ζῶντες Arm ἐκείναις] ἐν ἐκείναις HP (v) 19 τῶν πολλοῖς (sic) F τῶν πρεσβυτάτων] τοῖς πρεσβυτάτοις, οὐ A(P²) 20 τῶν ἀναίμων G ἐφ' οἷς A ἄρτοι] ἄρτος A Arm (Mang. Conyb.) 21 δ' A ἐστὶ FG ὅτε om. FG ὕσσωπος om. A 22 τούτους F 23 ἀφροσύνη (i. e. ἀφροσύνῃ) A

75 πολυτελῆ τὸ θρεμμάτων ἀπληστότατον διερεθίζει, τὴν ἐπιθυμίαν. (10.) καὶ
τὰ μὲν πρῶτα τοιαῦτα. μετὰ δὲ τὸ κατακλιθῆναι μὲν τοὺς συμπότας
ἐν αἷς ἐδήλωσα τάξεσι, στῆναι δὲ τοὺς διακόνους ἐν κόσμῳ πρὸς ὑπηρε-
σίαν ἑτοίμους, ⟨ὁ πρόεδρος αὐτῶν, πολλῆς ἁπάντων ἡσυχίας γενομένης⟩
— πότε δὲ οὐκ ἔστιν; εἴποι τις ἄν· ἀλλ' ἔτι μᾶλλον ἢ πρότερον, ὡς μηδὲ 5
γρύξαι τινὰ τολμᾶν ἢ ἀναπνεῦσαι βιαιότερον —, ζητεῖ τι τῶν ἐν τοῖς ἱεροῖς
γράμμασιν ἢ καὶ ὑπ' ἄλλου προταθὲν ἐπιλύεται, φροντίζων μὲν οὐδὲν
ἐπιδείξεως — οὐ γὰρ τῆς ἐπὶ δεινότητι λόγων εὐκλείας ὀρέγεται —,
θεάσασθαι δέ τινα ποθῶν ἀκριβέστερον καὶ θεασάμενος μὴ φθονῆσαι
τοῖς εἰ καὶ μὴ ὁμοίως ὀξυδορκοῦσι, τὸν γοῦν τοῦ μαθεῖν ἵμερον παρα- 10
76 πλήσιον ἔχουσι. καὶ ὁ μὲν σχολαιοτέρᾳ χρῆται τῇ διδασκαλίᾳ, διαμέλλων
καὶ βραδύνων ταῖς ἐπαναλήψεσιν, ἐγχαράττων ταῖς ψυχαῖς τὰ νοήματα —
τῇ γὰρ ἑρμηνείᾳ τοῦ εὐτρόχως καὶ ἀπνευστὶ συνείροντος ὁ τῶν ἀκρο-
ωμένων νοῦς συνομαρτεῖν ἀδυνατῶν ὑστερίζει καὶ ἀπολείπεται τῆς
77 καταλήψεως τῶν λεγομένων —· οἱ δὲ ἀνωρθιακότες ⟨τὰ ὦτα καὶ τοὺς 15
ὀφθαλμοὺς ἀνατετακότες⟩ εἰς αὐτὸν ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς σχέσεως
ἐπιμένοντες ἀκροῶνται, τὸ μὲν συνιέναι καὶ κατειληφέναι νεύματι καὶ
βλέμματι διασημαίνοντες, τὸν δὲ ἔπαινον τοῦ λέγοντος ἱλαρότητι καὶ τῇ
σχέδην περιαγωγῇ τοῦ προσώπου, τὴν δὲ διαπόρησιν ἠρεμαιοτέρᾳ κινήσει
τῆς κεφαλῆς καὶ ἄκρῳ δακτύλῳ τῆς δεξιᾶς χειρός· οὐχ ἧττον δὲ τῶν 20

---

1 τὸ θρέμμα τῶν ἀπληστοτάτων MAH¹P¹ 2 alterum μὲν om. M 3 διακόνους ut vid. Arm: διακονουμένους codd. (v); nescio an Philo scripserit τοὺς διακονοῦντας 4 ὁ πρόεδρος αὐτῶν, πολλῆς ἁπάντων ἡσυχίας γενομένης: sic secundum Arm codicum lacunam explevi; ὁ πρόεδρος αὐτῶν, ὅτε κοινὴ ἡσυχία γέγονεν Conyb. (sed cf. eius commentar. p. 247) 5 πότε GAP² Arm (Conyb.): πότος ceteri (v) δ' GAH² (v) 6 ζητεῖ scripsi (sic etiam Conyb. p. 248 et Wendl.): ζητεῖται codd., ζητεῖ τις v; ζήτημά τι τῶν ἐν τοῖς ἱεροῖς γράμμασι προταθέντων ἐπιλύεται videtur legisse Arm τοῖς om. F 7 προταθὲν codd.: προταθέν τι Turn. Conyb. ἐπιλύεται] ἐπιλύεταί τις A, ἐπιλύεται ἕτερος G μὲν] μὲν οὖν F 8 ἐπιδείξεως] ἐπιλύσεως HP (Turn.) οὐ] οὐδὲ A δεινότητος F¹, δεινοτάτων A 9 θεασάμενος om. A 10 τοῖς] τοῖς ἄλλοις G (Mang.) μὴ om. A ὀξυδερκοῦσι GHP (v) 10. 11 παραπλησίως A 11 ἔχουσιν C διαμέλλων codd. (Conyb.): διαμένων v (Turn.) 12 ταῖς ἐπιλήψεσιν P 13 εὐτρόχως] εὐστόχως HP (Turn.), εὐστρόφως A, τρόχως (εὐ om. in lac.) G 15. 16 τὰ ὦτα καὶ τοὺς ὀφθαλμοὺς ἀνατετακότες addidi secundum Arm *(qui vero erigunt aures et oculos inigunt)*: om. codd.; τὰ ὦτα deesse videri monuit iam Mang. 17. 18 νεύμασι καὶ βλέμμασι F (fortasse recte, cf. § 31. de conf. ling. § 11) 18 σημαίνοντες A

δ' FA ἱλαρώ$^{\tau\tau}$ (i. e. ἱλαρώτατον?) A 18. 19 τὴν σχέδην A, τῇ σχεδὸν F, σχέδην om. in lac. G 19 ἀπόρησιν P

κατακεκλιμένων οἱ παρεστῶτες νέοι προσέχουσιν. αἱ δὲ ἐξηγήσεις τῶν 78
ἱερῶν γραμμάτων γίνονται δι' ὑπονοιῶν ἐν ἀλληγορίαις· ἅπασα γὰρ ἡ
νομοθεσία δοκεῖ τοῖς ἀνδράσι τούτοις ἐοικέναι ζῴῳ καὶ σῶμα μὲν ἔχειν
τὰς ῥητὰς διατάξεις, ψυχὴν δὲ τὸν ἐναποκείμενον ταῖς λέξεσιν ἀόρατον
νοῦν, ἐν ᾧ ἥρξατο ἡ λογικὴ ψυχὴ διαφερόντως τὰ οἰκεῖα θεωρεῖν,
p.484M. ὥσπερ διὰ κατόπτρου τῶν ὀνομάτων ἐξαίσια κάλλη νοημάτων | ἐμφαινόμενα
κατιδοῦσα καὶ τὰ μὲν σύμβολα διαπτύξασα καὶ διακαλύψασα, γυμνὰ δὲ
εἰς φῶς προαγαγοῦσα τὰ ἐνθύμια τοῖς δυναμένοις ἐκ μικρᾶς ὑπομνήσεως
τὰ ἀφανῆ διὰ τῶν φανερῶν θεωρεῖν. ἐπειδὰν οὖν ἱκανῶς ὁ πρόεδρος 79
διειλέχθαι δοκῇ καὶ κατὰ προαίρεσιν ἀπηντηκέναι τῷ μὲν ἡ διάλεξις
εὐσκόπως ταῖς ἐπιβολαῖς, τοῖς δὲ ἡ ἀκρόασις, κρότος ἐξ ἁπάντων ὡς ἂν

---

1 παρέχουσιν C προσέχουσιν. αἱ δὲ ἐξηγήσεις] προσέχουσι τῇ ἐξηγήσει M ἡ δὲ ἐξήγησις ... γίνεται Arm (Conyb.) δ' A Eus 2 γίνονται αὐτοῖς Eus, οὐ γίνονται M ἀλληγορίαις] ἀλλήλοις M ἅπασα om. in lac. M 3 τούτοις — σῶμα om. in lac. M 4 ταῖς λέξεσιν om. M 5 verba ἐν ᾧ ἥρξατο — θεωρεῖν om. Arm ἐν ᾧ ἥρξατο] ὃν ἐνήρξατο FG, ὃν ἤρξατο Eus λογικὴ om. FG, ἡ λογικὴ ψυχὴ om. Eus τὰ οἰκεῖα] ἡ οἰκεία FG, ἡ οἰκεία αὕτη vel ἡ οἰκία αὕτη vel ἡ θρησκεία αὕτη Eusebii codd. et Exc. Euseb. (τῇ οἰκεία αὐγῇ Coislin. 86) 6 ὥσπερ] ὡς Eus τῶν νοημάτων M ἐμφαινόμενα Eus: ἐμφερόμενα codd. (v) 7 δ' A 8 παραγαγοῦσα C (Turn.) 10 δοκεῖ corr. ex δοκῇ H 11 εὐσκόπως CMG Arm (Conyb.): εὐστόχως ceteri (v) ἐπηβολαῖς A κρότος — ὕμνον (68, 2) om. A κρότος] σκότος C

1—7 pergit Euseb. l. l. (20) εἶθ' ὑποκαταβὰς ἐμφαντικώτερον ἐκτίθεται ταῦτα· „αἱ δὲ ἐξηγήσεις — ἐμφαινόμενα κατιδοῦσα". Exc. Euseb. l. l. τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου: αἱ δὲ ἐξηγήσεις — ἐμφαινόμενα κατιδοῦσα. tum adiungunt haec: μέμνηται τούτων καὶ Εὐσέβιος ὁ Παμφίλου. τινὲς δέ φασι ταῦτα τὸν Φίλωνα περὶ τῶν κοινῶν Ἰουδαίων εἰπεῖν· ἄλλοι περὶ Ἐσσηνῶν Ἐβιωνέων· ἄλλοι περὶ Ναζωραίων Ἰουδαίων· ἄλλοι περὶ τῶν ἐκ περιτομῆς πιστῶν καὶ πεπιστευκότων εἰς Χριστὸν καὶ φυλαττόντων τὸν νόμον Μωυσέως τυπικῶς· ἄλλοι περὶ τελείων Χριστιανῶν. οἵας δὲ εἴησαν αἱρέσεως, μοναχικὸν ζῶντες βίον θεραπευταὶ εἰκότως ὠνομάζοντο. οὐ μόνον δὲ Εὐσέβιος ὁ Παμφίλου καὶ Φίλων ὁ Ἰουδαῖος, ἀλλὰ καὶ ὁ μακάριος Διονύσιος ὁ Ἀρεοπαγίτης, ὁ μαθητὴς τοῦ ἁγίου Παύλου τοῦ ἀποστόλου, ὁ γενόμενος Ἀθηνῶν ἐπίσκοπος, ἐν τῷ περὶ τῆς ἐκκλησιαστικῆς ἱεραρχίας τοὺς μοναχοὺς ἔφη τὸ παλαιὸν καὶ θεραπευτὰς ὀνομάζεσθαι. 2 sqq. *Origenes in Levit. homil. 5, 1 (vol. IX p. 239 Lomm.)* sicut ergo cognationem sui ad invicem gerunt visibilia et invisibilia, ... ita etiam Sanctam Scripturam credendum est ex visibilibus et invisibilibus constare: veluti ex corpore quodam, litera scilicet, quae videtur, et anima, sensu, qui intra ipsam deprehenditur, et spiritu ... *cf. eiusdem fragm. (ibid. p. 171)* ἐπεὶ οὖν συνέστηκεν ἡ γραφὴ καὶ αὐτὴ οἱονεὶ ἐκ σώματος μὲν τοῦ βλεπομένου, ψυχῆς δὲ τῆς ἐν αὐτῷ νοουμένης καὶ καταλαμβανομένης, καὶ πνεύματος τοῦ κατὰ τὰ ὑπόδειγματα ...

80 συνηδομένων εἰς τὸ ἔτι ἐψόμενον γίνεται. καὶ ἔπειτα ὁ μὲν ἀναστὰς ὕμνον ᾄδει πεποιημένον εἰς τὸν θεόν, ἢ καινὸν αὐτὸς πεποιηκὼς ἢ ἀρχαῖόν τινα τῶν πάλαι ποιητῶν — μέτρα γὰρ καὶ μέλη καταλελοίπασι πολλὰ ἐπῶν τριμέτρων, προσοδίων ὕμνων, παρασπονδείων, παραβωμίων, στασίμων χορικῶν στροφαῖς πολυστρόφοις εὖ διαμεμετρημένων —, μεθ' ὃν καὶ οἱ ἄλλοι κατὰ τάξεις ἐν κόσμῳ προσήκοντι, πάντων κατὰ πολλὴν ἡσυχίαν ἀκροωμένων, πλὴν ὁπότε τὰ ἀκροτελεύτια καὶ ἐφύμνια ᾄδειν
81 δέοι· τότε γὰρ ἐξηχοῦσι πάντες τε καὶ πᾶσαι. ὅταν δὲ ἕκαστος διαπεράνηται τὸν ὕμνον, οἱ νέοι τὴν πρὸ μικροῦ λεχθεῖσαν τράπεζαν εἰσκομίζουσιν, ἐφ' ἧς τὸ παναγέστατον σιτίον, ἄρτος ἐζυμωμένος μετὰ προσοψήματος ἁλῶν, οἷς ὄσσωπος ἀναμέμικται, δι' αἰδῶ τῆς ἀνακειμένης ἐν τῷ ἁγίῳ προναΐῳ ἱερᾶς τραπέζης· ἐπὶ γὰρ ταύτης εἰσὶν ἄρτοι καὶ
82 ἅλες ἄνευ ἡδυσμάτων, ἄζυμοι μὲν οἱ ἄρτοι, ἀμιγεῖς δὲ οἱ ἅλες. προσῆκον γὰρ ἦν τὰ μὲν ἁπλούστατα καὶ εἰλικρινέστατα τῇ κρατίστῃ τῶν ἱερέων ἀπονεμηθῆναι μερίδι λειτουργίας ἄθλον, τοὺς δὲ ἄλλους τὰ μὲν ὅμοια ζηλοῦν, ἀπέχεσθαι δὲ τῶν αὐτῶν, ἵνα ἔχωσι προνομίαν οἱ κρείττονες.
83 (11.) Μετὰ δὲ τὸ δεῖπνον τὴν ἱερὰν ἄγουσι παννυχίδα. ἄγεται δὲ

---

1 ἔτι ἐψόμενον scripsi: ἐψόμενον F, ἐποψόμενον ceteri (v), τρίτον μόνον Arm (Conyb.); ἐνδόσιμον coni. Mang. ὁ μὲν codd.: μὲν om. v 2 ᾄδει πεποιημένον εἰς] ὑμνωδία γεραίρει A αἶνον ἢ καινὸν A καινὸν] καὶ νῦν F 4 πολλὰ] ποιηταὶ in ras. H² προσοδιῶν (sic) C¹: προσωδιῶν ceteri ὕμνον M 5 στασίμων] στασίων H χωρικῶν C¹F πολυτρόφοις C, καὶ πολυστρόφοις Arm 5. 6 μεθ' ὃν C¹GA: μεθ' ὧν ceteri 6 post τάξεις add. καὶ καθ' ἡλικίαν Arm ἐν om. A 7 πλὴν] πρὶν A 8 τε om. F ὅταν] ὅτε A δὲ om. A 9 διαπεράνητε M, διαπερᾶνῦται A, διαπεραίνηται FP 11 ὄσωπος HP, ὄσσωπον A δι' αἰδῶ τῆς CFGH²: δι' ἐδωδῆς MA, καὶ δι' ἐδωδῆς H¹P 12. 13 καὶ ἅλες—οἱ ἄρτοι om. FG 13 μὲν om. C δ' A, δὴ F² οἱ ἅλες A Arm: καὶ ἅλες F², καὶ οἱ ἅλες ceteri (v) 14 γὰρ] μὲν γὰρ MA 14. 15 τῶν ἱερέων Arm (coni. Mang.): τῶν ἱερῶν codd. 15 δ' A 16 τῶν αὐτῶν Arm (Conyb.): τῶν ἄρτων codd. (v); τῶν ἀζύμων coni. Mang. ἵν' A 17 ἄγουσι] εἰσάγουσι A ἄγεται δὲ] ἄδεται δ' A 17. 69, 1 ἄγεται δὲ ἡ παννυχὶς om. Arm

---

17 sqq. pergit Euseb. l. l. (21) τί δεῖ τούτοις ἐπιλέγειν τὰς ἐπὶ ταὐτὸν συνόδους καὶ τὰς ἰδίᾳ μὲν ἀνδρῶν ἰδίᾳ δὲ γυναικῶν ἐν ταὐτῷ διατριβὰς καὶ τὰς ἐξ ἔθους ἔτι καὶ νῦν πρὸς ἡμῶν ἐπιτελουμένας ἀσκήσεις, ἃς διαφερόντως κατὰ τὴν τοῦ σωτηρίου πάθους ἑορτὴν ἐν ἀσιτίαις καὶ διανυκτερεύσεσιν προσοχαῖς τε τῶν θείων λόγων ἐκτελεῖν εἰώθαμεν· (22) ἅπερ ἐπ' ἀκριβέστερον αὐτὸν ὃν καὶ εἰς δεῦρο τετήρηται παρὰ μόνοις ἡμῖν τρόπον ἐπισημηνάμενος ὁ δηλωθεὶς ἀνὴρ τῇ ἰδίᾳ παρέδωκεν γραφῇ, τὰς τῆς μεγάλης ἑορτῆς παννυχίδας καὶ τὰς ἐν ταύταις ἀσκήσεις τούς τε λέγεσθαι εἰωθότας πρὸς ἡμῶν ὕμνους ἱστορῶν, καὶ ὡς ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσιν (§ 80),

ἡ παννυχὶς τὸν τρόπον τοῦτον· ἀνίστανται πάντες ἀθρόοι, καὶ κατὰ μέσον
τὸ συμπόσιον δύο γίνονται τὸ πρῶτον χοροί, ὁ μὲν ἀνδρῶν, ὁ δὲ γυ-
p. 485 M. ναικῶν· ἡγεμὼν δὲ καὶ ἔξαρχος | αἱρεῖται καθ' ἑκάτερον ἐντιμότατός
τε καὶ ἐμμελέστατος. εἶτα ᾄδουσι πεποιημένους ὕμνους εἰς τὸν θεὸν 84
πολλοῖς μέτροις καὶ μέλεσι, τῇ μὲν συνηχοῦντες, τῇ δὲ καὶ ἀντιφώνοις
ἁρμονίαις ἐπιχειρονομοῦντες καὶ ἐπορχούμενοι, καὶ ἐπιθειάζοντες τοτὲ
μὲν τὰ προσόδια, τοτὲ δὲ τὰ στάσιμα, στροφάς τε τὰς ἐν χορείᾳ καὶ
ἀντιστροφὰς ποιούμενοι. εἶτα ὅταν ἑκάτερος τῶν χορῶν ἰδίᾳ καὶ καθ' 85
ἑαυτὸν ἑστιαθῇ, καθάπερ ἐν ταῖς βακχείαις ἀκράτου σπάσαντες τοῦ
θεοφιλοῦς, ἀναμίγνυνται καὶ γίνονται χορὸς εἷς ἐξ ἀμφοῖν, μίμημα τοῦ
πάλαι συστάντος κατὰ τὴν ἐρυθρὰν θάλασσαν ἕνεκα τῶν θαυματουργηθέντων
ἐκεῖ. τὸ γὰρ πέλαγος προστάξει θεοῦ τοῖς μὲν σωτηρίας αἴτιον τοῖς 86
δὲ πανωλεθρίας γίνεται· ῥαγέντος μὲν γὰρ καὶ βιαίοις ἀνακοπαῖς
ὑποσυρέντος καὶ ἑκατέρωθεν ἐξ ἐναντίας οἷα τειχῶν παγέντων, τὸ μεθόριον
διάστημα εἰς λεωφόρον ὁδὸν καὶ ξηρὰν πᾶσαν ἀνατμηθὲν εὑρύνετο, δι'
ἧς ὁ λεὼς ἐπέζευσεν ἄχρι τῆς ἀντιπέραν ἠπείρου πρὸς τὰ μετέωρα

---

1 ἀθρόον F μέσον] μέλη A 2 τὸ πρῶτον om. Arm 3 καθ' ἑκάτερον M Arm: καθ' ἕτερον ceteri (Turn.) 4 τε om. C εἶτ' A τοὺς ὕμνους A εἰς τὸν θεὸν ὕμνους transp. HP (v) 5 καὶ ante ἀντιφώνοις om. M Arm (Conyb.) συμφώνοις Arm 6 ἁρμονίαις om. M 7 προσόδια C¹: προσώδια ceteri τὰ ante στάσιμα om. C χορείᾳ Arm (Conyb.): χρεία codd. (χρείᾳ v) 8 ἀντιστροφὰς C Arm (Conyb.): ἀντιστρόφους ceteri (v) εἰθ' A ἑκάτεροι A χορῶν Arm (Conyb.): ἀνδρῶν codd. (v) post ἰδίᾳ καὶ add. τῶν γυναικῶν ἰδίᾳ G (Mang.), om. ceteri Arm S. 9 καθαυτὸν corr. ex καταυτὸν C 9 ἑστιαθῶσι A, ἑστιαθῇ ante ἰδίᾳ (8) transp. M βακχείαις v (Turn.): βακχικαῖς codd. (Conyb.) σπάσαντες] σπουδάσαντες A τοῦ om. M 10 εἰς om. Turn. 13 πανολεθρίας C γίνεται] ἐγίνετο coni. Mang. (sed cf. 70, 3 διαφθείρονται) γὰρ om. A 14 οἷα τείχος M ων παγέντος M 15 πᾶσαν] πᾶσιν Arm (Conyb.) εὐρύνετο om. in lac. M 15. 16 δι' ἧς] δι' οὗ M 16 λεὼς] λαὸς M ἐπέζευσεν codd. Arm (Conyb.): ἐπέζευξεν v ἀντιπέραν CM (Conyb.): ἀντιπέρας ceteri (v)

ὅπως τε κατὰ τὰς διηλωμένας ἡμέρας ἐπὶ στιβάδων χαμευνοῦντες οἴνου μὲν τὸ παράπαν, ὡς αὐτοῖς ῥήμασιν ἀνέγραψεν, οὐδ' ἀπογεύονται, ἀλλ' οὐδὲ τῶν ἐναίμων τινός, ὕδωρ δὲ μόνον αὐτοῖς ἐστι ποτόν, καὶ προσόψημα μετ' ἄρτου ἅλες καὶ ὕσσωπον (§ 69. 73). (23) πρὸς τούτοις γράφει τὸν τῆς προστασίας τρόπον τῶν τὰς ἐκκλησιαστικὰς λειτουργίας ἐγχειρισμένων διακονίας τε καὶ τὰς ἐπὶ πᾶσιν ἀνωτάτω τῆς ἐπισκοπῆς προεδρίας. (24) τούτων δ' ὅτῳ πόθος ἔνεστι τῆς ἀκριβοῦς ἐπιστάσεως, μάθοι ἂν ἐκ τῆς δηλωθείσης τοῦ ἀνδρὸς ἱστορίας. ὅτι δὲ τοὺς πρώτους κήρυκας τῆς κατὰ τὸ εὐαγγέλιον διδασκαλίας τά τε ἀρχῆθεν πρὸς τῶν ἀποστόλων ἔθη παραδεδομένα καταλαβὼν ὁ Φίλων ταῦτ' ἔγραφεν, παντί τῳ δῆλον.

παραπεμφθείς· ἐπιδραμόντος δὲ ταῖς παλιρροίαις καὶ τοῦ μὲν ἔνθεν τοῦ δὲ ἔνθεν εἰς τὸ χερσωθὲν ἔδαφος ἀναχυθέντος, οἱ ἐπακολουθήσαντες τῶν
87 πολεμίων κατακλυσθέντες διαφθείρονται. τοῦτο δὲ ἰδόντες καὶ παθόντες, ὃ λόγου καὶ ἐννοίας καὶ ἐλπίδος μεῖζον ἔργον ἦν, ἐνθουσιῶντές τε ἄνδρες ὁμοῦ καὶ γυναῖκες, εἷς γενόμενοι χορός, τοὺς εὐχαριστηρίους ὕμνους εἰς τὸν σωτῆρα θεὸν ᾖδον, ἐξάρχοντος τοῖς μὲν ἀνδράσι Μωυσέως τοῦ
88 προφήτου, ταῖς δὲ γυναιξὶ Μαριὰμ τῆς προφήτιδος. τούτῳ μάλιστα ἀπεικονισθεὶς ὁ τῶν θεραπευτῶν καὶ θεραπευτρίδων, μέλεσιν ἀντήχοις καὶ ἀντιφώνοις πρὸς βαρὺν ἦχον τῶν ἀνδρῶν ὁ γυναικῶν ὀξὺς ἀνακιρνάμενος, ἐναρμόνιον συμφωνίαν ἀποτελεῖ καὶ μουσικὴν ὄντως· πάγκαλα μὲν τὰ νοήματα, πάγκαλοι δὲ αἱ λέξεις, σεμνοὶ δὲ οἱ χορευταί· τὸ δὲ τέλος καὶ τῶν νοημάτων καὶ τῶν λέξεων καὶ τῶν χορευτῶν εὐσέβεια.
89 μεθυσθέντες οὖν ἄχρι πρωΐας τὴν καλὴν ταύτην μέθην, οὐ καρηβαροῦντες ἢ καταμύοντες, ἀλλὰ διεγηγερμένοι μᾶλλον ἢ ὅτε παρεγένοντο εἰς τὸ συμπόσιον, τάς τε ὄψεις καὶ ὅλον τὸ σῶμα πρὸς τὴν ἕω στάντες, ἐπὰν θεάσωνται τὸν ἥλιον ἀνίσχοντα, τὰς χεῖρας ἀνατείναντες εἰς οὐρανὸν εὐημερίαν καὶ | ἀλήθειαν ἐπεύχονται καὶ ὀξυωπίαν λογισμοῦ· p.486 M.
καὶ μετὰ τὰς εὐχὰς εἰς τὰ ἑαυτῶν ἕκαστος σεμνεῖα ἀναχωροῦσι, πάλιν
90 τὴν συνήθη φιλοσοφίαν ἐμπορευσόμενοι καὶ γεωργήσοντες. θεραπευτῶν μὲν δὴ πέρι τοσαῦτα θεωρίαν ἀσπασαμένων φύσεως καὶ τῶν ἐν αὐτῇ καὶ ψυχῇ μόνῃ βιωσάντων, οὐρανοῦ μὲν καὶ κόσμου πολιτῶν, τῷ δὲ πατρὶ καὶ ποιητῇ τῶν ὅλων γνησίως συσταθέντων ὑπ' ἀρετῆς, ἥτις ⟨θεοῦ⟩

---

1 ἐπιδραμόντος MGH²: ἐπιδραμόντες FAH¹P, ἐπιδραμούσαις C (Conyb.) 1. 2 τοῦ μὲν ἔνθεν τοῦ δὲ] τῆς μὲν ἔνθεν τῆς δὲ C (Conyb.) ἔνθα ... ἔνθα A 2 δ' A ἀναχυθέντα A, ἀναχυθείσης C (Conyb.) 3 τοῦτο δὲ F: τοῦτο καὶ ceteri (v), δὲ om. Arm 4 λόγου C Arm (Conyb.): καὶ λόγου ceteri (v) ἔργον ἦν om. M, ἦν om. Arm τε om. HP (v) 5 γινόμενοι M, γενόμενος HP τοὺς om. M εὐχαριστηρίους] τῆς εὐχαριστίας A; χαριστηρίους voluit Mang. 6 σωτῆρα om. HP θεὸν om. MG ᾖδον corr. ex εἶδον C μὲν τοῖς transp. A μωσέως codd. 6. 7 τοῦ προφήτου om. C 7 τούτῳ] τούτοις Arm 8 καὶ θεραπευτρίδων] καὶ ὁ τῶν θεραπαινίδων M 9 βαρὺν] τραχὺν C (Turn.) 10 ἀπετέλει Arm 11 μὲν] μὲν ἦν Arm 12 καὶ post τέλος om. M Arm (Conyb.) χορευτῶν] θεραπευτῶν M ἡ εὐσέβεια A (Mang.) 14 διαγηγερμένοι C 15 καὶ] ἢ A στάντες suspectum videtur; καθιστάντες conicio 16 ἀνίσχοντα om. Arm 16. 17 ἐπανατείναντες εἰς τὸν οὐρανὸν A 17 τὴν ἀληθῆ εὐημερίαν καὶ τὴν ἀλήθειαν Arm 18 τὰ] τὸ M ἑαυτῶν Arm (Conyb.): ἑαυτοῦ codd. (v) σεμνεῖον M, συγγενεῖα F ἀναχωροῦσιν C 21 βιωσάντων] θεωρησάντων Arm 22 καὶ ποιητῇ om. M θεοῦ addidi

φιλίαν αὐτοῖς προυξένησεν οἰκειότατον γέρας καλοκἀγαθίας προσθεῖσα, πάσης ἄμεινον εὐτυχίας, ἐπ' αὐτὴν ἀκρότητα φθάνον εὐδαιμονίας.

---

1 προυξένησεν] προεξένησεν A, προυξενήσασα F οἰκειότατον: desinit C καλοκἀγαθίας FG Arm: καλοκάγαθίαν MAHP προσθεῖσα G: προθεῖσα MAHP Arm (Conyb.), προσθεὶς F, γρ. προσθεὶς mg H mg P 2 πάσης G: ἀπάσης ceteri ἄμεινον v (Turn.): ἀμείνονα codd. φθάνουσαν M εὐδαιμονίας] ἡγεμονίας A

ΦΙΛΩΝΟΣ

ΠΕΡΙ ΑΦΘΑΡΣΙΑΣ ΚΟΣΜΟΥ

---

1 (1.) Ἐπὶ μὲν παντὸς ἀδήλου καὶ σπουδαίου πράγματος θεὸν καλεῖν II p.487M.
ἄξιον, διότι ἀγαθός ἐστι γεννητὴς καὶ οὐδὲν ἄδηλον παρ' αὐτῷ τὴν τῶν
ὅλων ἀκριβεστάτην ἐπιστήμην εἰληχότι, πρὸς δὲ τὸν ὑπὲρ ἀφθαρσίας τοῦ
κόσμου λόγον ἀναγκαιότατον· οὔτε γὰρ ἐν αἰσθητοῖς παντελέστερόν τι
τοῦ κόσμου οὔτε ἐν νοητοῖς θεοῦ τελειώτερον, αἰεὶ δ' αἰσθήσεως ἡγεμὼν
νοῦς καὶ νοητὸν αἰσθητοῦ, τὰ δὲ τῶν ὑπηκόων παρ' ἡγεμόνος τε καὶ
2 ἐπιστάτου νόμος φιλοπευστεῖν, οἷς ἐμπέφυκε πόθος ἀληθείας πλείων. εἰ
μὲν οὖν ἐνασκηθέντες τοῖς φρονήσεως καὶ σωφροσύνης καὶ πάσης ἀρετῆς
δόγμασιν ἀπερρυψάμεθα τὰς ἐκ παθῶν καὶ νοσημάτων κηλῖδας, οὐκ ἂν
ἴσως ἀπηξίωσεν ὁ θεὸς ἄκρως κεκαθαρμέναις καὶ φαιδρυναμέναις αὐγοει-
δῶς ψυχαῖς ἐπιστήμην τῶν οὐρανίων ἢ δι' ὀνειράτων ἢ διὰ χρησμῶν
ἢ διὰ σημείων ἢ τεράτων ὑφηγεῖσθαι· ἐπεὶ δὲ τοὺς ἀφροσύνης καὶ ἀδι-
κίας καὶ τῶν ἄλλων κακιῶν ἀναμαξάμενοι [στοχασμοὺς καὶ] τύπους

Tit. Φίλωνος Ἰουδαίου περὶ ἀφθαρσίας κόσμου UH. τοῦ αὐτοῦ περὶ ἀφθαρσίας κόσμου P, φίλωνος περὶ τῆς τοῦ κόσμου γενέσεως M

1. 2 θεὸν καλεῖν ἄξιον HP: ἐγκαλεῖν ἄξιον MU (ἐγκαλεῖν ἄξιον θεόν Bernays) 2 γεννητὴς] γενετὴς mg H^2P^2 (γενέτης v) 5 αἰεὶ MHP: εἰ U 7 νόμος Bernays: πόνος codd.; ⟨οὐ⟩ πόνος vel ⟨οὐ⟩ φθόνος coni. Mang. πλείων v (Turn.): πλέον codd. (cf. de vita cont. § 35) 8 οὖν om. P^1 τοῖς M: τῆς UHP πάσης MU: πᾶσιν HP (Turn.) 9 ἀπερρυψάμεθα P (coni. Mang.): ἀπερυψάμεθα U, ἀπερῤῥυψάμεθα H (v), ἀπεριψάμεθα M 10 ἴσως om. HP (Turn.) φαιδρυναμέναις MUH^2: φαιδρυνομέναις H^1P 10. 11 αὐγοειδῶς Mang.: αὐτοειδῶς codd. 11 ψυχαῖς M: εὐχαῖς UHP (Turn.) χρησμῶν scripsi: χρήσεων codd. 12 δὲ MU: δὲ καὶ HP (v) 13 στοχασμοὺς καὶ seclusi; μολυσμοὺς (pro στοχασμοὺς) Bernays, τὰ ἐγκαύματα vel τὰς εἰκόνας (pro τοὺς στοχασμοὺς) coni. Mang.

---

1 cf. Plat. Tim. 27c ὅσοι καὶ κατὰ βραχὺ σωφροσύνης μετέχουσιν, ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ καὶ μεγάλου πράγματος θεὸν ἀεί που καλοῦσιν, ἡμᾶς δὲ τοὺς περὶ παντὸς λόγους ποιεῖσθαί πῃ μέλλοντας ἢ γέγονεν ἢ καὶ ἀγεννές ἐστιν ... ἀνάγκῃ θεούς τε καὶ θεὰς ἐπικαλουμένους εὔχεσθαι πάντα κατὰ νοῦν ἐκείνοις μὲν μάλιστα ἑπομένως δὲ ἡμῖν εἰπεῖν.

p. 488M. δυσεκπλύτους | ἔχομεν, ἀγαπᾶν χρή, κἂν εἰκόσι ⟨στοχασμοῖς⟩ δι' αὐτῶν μίμημά τι τῆς ἀληθείας ἀνευρίσκωμεν.

Ἄξιον οὖν τοὺς ζητοῦντας εἰ ἄφθαρτος ὁ κόσμος, ἐπειδὴ καὶ „φθορὰ“ καὶ „κόσμος“ τῶν πολλαχῶς λεγομένων ἐστὶν ἑκάτερον, πρῶτον ἐρευνῆσαι περὶ τῶν ὀνομάτων, ἵνα καθ' ὃ σημαινόμενον νυνὶ [καὶ] τέτακται διαγνῶμεν· ἀλλ' οὐχ ὅσα δηλοῦται ⟨πάντα⟩ καταριθμητέον, ἀλλ' ὅσα πρὸς τὴν παροῦσαν διδασκαλίαν χρήσιμα. (2.) λέγεται τοίνυν ὁ κόσμος καθ' ἓν μὲν [πρῶτον] σύστημα ἐξ οὐρανοῦ καὶ ἄστρων κατὰ περιοχήν ⟨καὶ⟩ γῆς καὶ τῶν ἐπ' αὐτῆς ζῴων καὶ φυτῶν, καθ' ἕτερον δὲ μόνος οὐρανός, εἰς ὃν ἀπιδὼν Ἀναξαγόρας πρὸς τὸν πυθόμενον, ἧς ἕνεκα αἰτίας ταλαιπωρεῖται διανυκτερεύων ὕπαιθρος, ἀπεκρίνατο 'τοῦ τὸν κόσμον θεάσασθαι', τὰς χορείας καὶ περιφορὰς τῶν ἀστέρων αἰνιττόμενος, κατὰ δὲ τρίτον, ὡς δοκεῖ τοῖς Στωικοῖς, διῆκον ἄχρι τῆς ἐκπυρώσεως, οὐσία τις ἢ διακεκοσμημένη ἢ ἀδιακόσμητος, οὗ τῆς κινήσεώς φασιν εἶναι τὸν

1 κἂν MHP: ἂν U (κἀν Bernays Cumont) στοχασμοῖς addidi; κἂν εἰκόνισμα καὶ μίμημά τι coni. Mang. δι' αὐτῶν Bernays: δι' αὐτῶν codd. 2 μίμημά τι MHP: μιμήματα U ἀνευρίσκωμεν HP, εὑρίσκωμεν U: ἀνευρίσκειν ἡμᾶς M (Bernays Cumont) 3.4 ἐπειδὴ — κόσμος om. HP (Turn.) 4 πολλαχῶς MU(P?): πολλαχοῦ H (v) 5 περὶ τῶν ὀνομάτων M: περὶ om. UHP (v) τῶν νοημάτων Turn. σημαινόμενον Bernays (cf. 74, 2): σημαίνεται codd. τέτακται scripsi: καὶ τέτακται codd. (v); κατατέτακται Bernays 6 ἀλλ' οὐχ MU: καὶ οὐχ HP (v) δηλοῦται Wendl. et ego: δηλοῦνται codd. πάντα addidi 8 πρῶτον seclusi 9 καὶ ante γῆς add. Mang. (cf. 74, 2) 10 πυθόμενον M: πυνθανόμενον UHP (v) 11 ταλαιπωρεῖται διανυκτερεύων Bernays (coll. Thuc. I 134, 2): τὰ πολλὰ πειρᾶται διανυκτερεύειν codd. τοῦ] τοῦτον U 13 διῆκον Jessen: διήκων codd. (διήκουσα v) 14 οὗ codd.: ἧς v

1 cf. Plat. Tim. 29c ἀλλ' ἐὰν ἄρα μηδενὸς ἧττον παρεχώμεθα εἰκότας (λόγους), ἀγαπᾶν χρή. 7 sqq. cf. Chrysipp. frg. 527 (Arnim) κόσμον δ' εἶναί φησιν ὁ Χρύσιππος σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων. [Arist.] de mundo 2 κόσμος μὲν οὖν ἐστι σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις περιεχομένων φύσεων. Ocell. Lucan. I 7 τὸ δέ γε ὅλον καὶ τὸ πᾶν ὀνομάζω τὸν σύμπαντα κόσμον· ... σύστημα γάρ ἐστι τῶν ὅλων φύσεων αὐτοτελὲς καὶ τέλειον. Diog. La. VII 137 λέγουσι δὲ (Stoici) κόσμον τριχῶς, αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς πάσης οὐσίας ἰδίως ποιόν ... (138) καὶ αὐτὴν δὲ τὴν διακόσμησιν τῶν ἀστέρων κόσμον εἶναι λέγουσι, καὶ τρίτον τὸ συνεστηκὸς ἐξ ἀμφοῖν. καὶ ἔστι κόσμος ὁ ἰδίως ποιὸς τῆς τῶν ὅλων οὐσίας ἤ, ὥς φησι Ποσειδώνιος ἐν τῇ Μετεωρολογικῇ Στοιχειώσει, σύστημα ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν τούτοις φύσεων. Doxogr. p. 464, 18 (Arius Didymus) λέγεσθαι δὲ κόσμον ⟨καὶ⟩ σύστημα ἐξ οὐρανοῦ καὶ ἀέρος καὶ γῆς καὶ θαλάττης καὶ τῶν ἐν αὐτοῖς φύσεων. 9 sq. Doxogr. p. 337, 13 (Φιλόλαος) τὸ δὲ ὑπὸ τὴν τοῦ ὁλόμπου φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, κόσμον (καλεῖ). de Anaxagora cf. Arist. Eth. Eud. I 5 p. 1216a 11. Iamblich. Protr. 9 p. 51, 11 (Pistelli). 14 sq. cf. Doxogr. p. 461. Sext. Emp. Pyrrh. Hypot. III 136. Diog. La. VII 141.

χρόνον διάστημα. νῦν δ' ἐστὶν ἡ σκέψις περὶ κόσμου τοῦ κατὰ τὸ πρῶτον σημαινόμενον, ὃς ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν αὐτοῖς ζῴων συνέστηκε. λέγεται μέντοι καὶ φθορὰ ἥ τε πρὸς τὸ χεῖρον μεταβολὴ [λέγεται δὲ] καὶ ἡ ἐκ τοῦ ὄντος ἀναίρεσις παντελής, ἣν καὶ ἀνύπαρκτον ἀναγκαῖον λέγειν· ὥσπερ γὰρ ἐκ τοῦ μὴ ὄντος οὐδὲν γίνεται, οὐδ' εἰς τὸ μὴ ὂν φθείρεται·

„ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γενέσθαι [τι]
καί τ' ἐὸν ἐξαπολέσθαι ἀνήνυστον καὶ ἄπυστον."

καὶ ὁ τραγικός·

„θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὴν ἑτέραν ἀπέδειξεν."

6 οὐδέν γε οὕτως ἐστὶν εὐηθες ὡς τὸ ἀπορεῖν, εἰ ὁ κόσμος εἰς τὸ μὴ ὂν φθείρεται, ἀλλ' εἰ δέχεται τὴν ἐκ τῆς διακοσμήσεως μεταβολήν, τὰς ποικίλας μορφὰς στοιχείων τε καὶ συγκριμάτων εἰς μίαν καὶ τὴν αὐτὴν ἰδέαν ἀναλυθεὶς ἢ ὥσπερ ἐν τοῖς θλάσμασι καὶ τοῖς κατάγμασι δεξάμενος παντελῆ σύγχυσιν.

---

1 δέ ἐστιν M ἡ] ὁ U περὶ κόσμου MU: περὶ τοῦ κόσμου HP (v)
2 ζῴων Bernays: ἐξ ὧν codd.; εἰς ὧν coni. Mang. 3 συνέστηκεν M
4 λέγεται δὲ seclusit Diels ἐκ τοῦ ὄντος MU: ἐκ om. HP (v) 6 φθείρεταί ⟨τι⟩ Cumont, ⟨οὐδὲν⟩ φθείρεται ipse conieceram; sed nihil mutandum
7 ἔκ τε Diels: ἐκ τοῦ codd. οὐδάμ' ἐόντος Diels: οὐδαμῆ ὄντος codd. ἐστι om. M γενέσθαι τι codd., τι seclusit Diels 8 καί τ' ἐὸν Diels: τό τε ὂν codd. ἐξαπολέσθαι U (coni. Diels): ἐξαπολεῖσθαι MHP (v) ἀνήνυστον] ἀνήνυτον M; ἀνήκουστον coni. Mang. ἄπυστον Mang.: ἄπαυστον codd.; cf. Parmenid. frg. 8, 21 (Diels) ἄπυστος ὄλεθρος 10 γινομένων codd. (v)
11 κρινόμενον codd. (cf. § 144) δὲ M πρὸς ἄλλο codd.: πρὸς ἄλλου Nauck, πρὸς ἄλλῳ Bernays 13 οὐδέ (οὐδέν scripsi) γε οὕτως ἐστὶν εὐηθες codd.: οὐδεὶς γοῦν οὕτως ἐστὶν εὐήθης Bernays, οὐδεὶς οὕτως ἐστὶν εὐήθης Cumont ὡς τὸ scripsi: ὥστε MHP (Bernays Cumont), τὸ U (v) 14 τῆς om. H
15 μίαν καὶ MU: μίαν τε καὶ HP (v) 16 ἐν] πᾶν H τοῖς ante κατάγμασι om. U

---

4 ἀνύπαρκτον: cf. Doxogr. p. 462, 13 Ποσειδώνιος δὲ φθορὰς καὶ γενέσεις τέτταρας εἶναί φησιν ἐκ τῶν ὄντων εἰς τὰ ὄντα γιγνομένας. τὴν μὲν γὰρ ἐκ τῶν οὐκ ὄντων καὶ τὴν εἰς τὰ οὐκ ὄντα ... ἀπέγνωσαν ἀνύπαρκτον οὖσαν. 5 sq. cf. Doxogr. p. 279a 3 (de Anaxagora) ἐδόκει γὰρ αὐτῷ ἀπορώτατον εἶναι, πῶς ἐκ τοῦ μὴ ὄντος δύναταί τι γίνεσθαι ἢ φθείρεσθαι εἰς τὸ μὴ ὄν. 7. 8 Empedocl. frg. 12 Diels; cf. [Arist.] de Melisso 2 p. 975b 1 ... ὡς καὶ Ἐμπεδοκλῆς λέγει· ἅπαντα γὰρ κἀκεῖνα ταῦτα ὁμολογήσας, ὅτι ἔκ τε τοῦ μὴ ὄντος ἀμήχανόν ἐστι γενέσθαι, τό τε ὂν ἐξόλλυσθαι ἀνήνυστον καὶ ἄπρηκτον, ἀεὶ γὰρ ἔσεσθαι, ὅπῃ κέ τις αἰὲν ἐρείδῃ. 10—12 Eurip. frg. 839.

p. 489 M. (3.) | Τριτταὶ δὲ περὶ τοῦ ζητουμένου γεγόνασι δόξαι, τῶν μὲν ἀΐδιον 7
τὸν κόσμον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον, τῶν δὲ ἐξ ἐναντίας
γενητόν τε καὶ φθαρτόν· εἰσὶ δ' οἳ παρ' ἑκατέρων ἐκλαβόντες, τὸ μὲν
γενητὸν παρὰ τῶν ὑστέρων παρὰ δὲ τῶν προτέρων τὸ ἄφθαρτον, μικτὴν
δόξαν ἀπέλιπον, γενητὸν καὶ ἄφθαρτον οἰηθέντες αὐτὸν εἶναι. Δημόκριτος 8
μὲν οὖν καὶ Ἐπίκουρος καὶ ὁ πολὺς ὅμιλος τῶν ἀπὸ τῆς Στοᾶς φιλο-
σόφων γένεσιν καὶ φθορὰν ἀπολείπουσι τοῦ κόσμου, πλὴν οὐχ ὁμοίως·
οἱ μὲν γὰρ πολλοὺς κόσμους ὑπογράφουσιν, ὧν τὴν μὲν γένεσιν ἀλλη-
λοτυπίαις καὶ ἐπιπλοκαῖς ἀτόμων ἀνατιθέασι, τὴν δὲ φθορὰν ἀντικοπαῖς
καὶ προσράξεσι τῶν γεγονότων· οἱ δὲ Στωικοὶ κόσμον μὲν ἕνα, γενέσεως
δ' αὐτοῦ θεὸν αἴτιον, φθορᾶς δὲ μηκέτι θεόν, ἀλλὰ τὴν ὑπάρχουσαν ἐν
τοῖς οὖσι πυρὸς ἀκαμάτου δύναμιν χρόνων μακραῖς περιόδοις ἀναλύουσαν
τὰ πάντα εἰς ἑαυτήν, ἐξ ἧς πάλιν ἀναγέννησιν κόσμου συνίστασθαι προμη-
θείᾳ τοῦ τεχνίτου. δύναται δὲ κατὰ τούτους ὁ μέν τις κόσμος ἀΐδιος, 9

---

1 περὶ] παρὰ HP γεγόνασιν H 2 ἀγένητον E: ἀγέννητον codd. 3 γενητόν E: γεννητόν codd. δὲ M 4 γενητὸν E: γεννητὸν codd. παρὰ] ἀπὸ E ὑστέρων UE: ὕστερον MHP (v) προτέρων codd.: πρότερον v ἄφθαρτον] φθαρτὸν H μικτὴν] μικρὴν H, μικρὰν L 5 γενητὸν E: γεννητὸν codd. αὐτὸν εἶναι MUE: εἶναι αὐτόν HP (v) 7 γενέσεις καὶ φθορὰς Turn. τοῦ κόσμου MUE: τὸν κόσμον HP (τῶν κόσμων Turn., sed corr. in append.) 10 προσράξεσι] ἀποστάσεσι Turn. (sed corr. in append.) μὲν ἕνα MUE: μὲν om. HP (v) γενέσεως] γενέσθαι M 11 δὲ MP τὸν θεὸν αἴτιον E 12 πυρὸς ἀκαμάτου] πρὸς ἀκαμάστου U, πρὸς ἀκαμάτων E (Turn. in append.) ἀναλύουσαν MHP: ἀναλέγουσαν UE; ἀναλίσκουσαν coni. Mang. 13 ἀναγέννησιν E: ἀναγέννησιν νῦν U, νῦν ἀναγέννησιν M (Cumont), αὖ ἀναγέννησιν HP (v); αὖ νέαν γένεσιν coni. Diels, τιν' ἀναγέννησιν coni. Buecheler κόσμου συνίστασθαι MPE: συνίστασθαι κόσμου U, κόσμου ἵστασθαι H (Turn.) 14 δύναται —λεγούσαις (76, 3)γ om. E

---

1 incipit E: Τριτταὶ τοίνυν δόξαι παρὰ τοῖς φιλοσόφοις περὶ τούτου γεγόνασι, τῶν μὲν ἀΐδιον φαμένων, ἀγένητόν τε καὶ ἀνώλεθρον κτλ. 2 ἀγένητόν τε καὶ ἀνώλεθρον: Parmenid. frg. 8, 3 Diels. Plat. Tim. 52a. 5 sqq. Dionys. ap. Euseb. Pr. Ev. XIV 23, 2 (Diels, Fragm. d. Vorsokr. I² 360, 30) ... ταύτας δή φασι τὰς ἀτόμους ὡς ἔτυχεν ἐν τῷ κενῷ φερομένας αὐτομάτως τε συμπιπτούσας ἀλλήλαις διὰ ῥύμην ἄτακτον καὶ συμπλεκομένας διὰ τὸ πολυσχήμονας οὔσας ἀλλήλων ἐπιλαμβάνεσθαι, καὶ οὕτω τόν τε κόσμον καὶ τὰ ἐν αὐτῷ, μᾶλλον δὲ κόσμους ἀπείρους, ἀποτελεῖν. ταύτης δὲ τῆς δόξης Ἐπίκουρος γεγόνασι καὶ Δημόκριτος. 10 sqq. Diog. La. VII 137 ... λέγουσι δὲ κόσμον τριχῶς· αὐτόν τε τὸν θεὸν τὸν ἐκ τῆς πάσης οὐσίας ἰδίως ποιόν, ὃς δὴ ἄφθαρτός ἐστι καὶ ἀγένητος, δημιουργὸς ὢν τῆς διακοσμήσεως, κατὰ χρόνων ποιὰς περιόδους ἀναλίσκων εἰς ἑαυτὸν τὴν ἅπασαν οὐσίαν καὶ πάλιν ἐξ ἑαυτοῦ γεννῶν. 12 πυρὸς ἀκαμάτου: Hom. Il. *E* 4 al.

ὁ δέ τις φθαρτὸς λέγεσθαι, φθαρτὸς μὲν ὁ κατὰ τὴν διακόσμησιν, ἀΐδιος
δὲ ὁ κατὰ τὴν ἐκπύρωσιν παλιγγενεσίαις καὶ περιόδοις ἀθανατιζόμενος
10 οὐδέποτε ληγούσαις. Ἀριστοτέλης δὲ μήποτ' εὐσεβῶς καὶ ὁσίως ἐνιστά-
μενος ἀγένητον καὶ ἄφθαρτον ἔφη τὸν κόσμον εἶναι, δεινὴν δὲ ἀθεότητα
κατεγίνωσκε τῶν τἀναντία διεξιόντων, οἳ τῶν χειροκμήτων οὐδὲν ᾠήθησαν 5
διαφέρειν τοσοῦτον ὁρατὸν θεόν, ἥλιον καὶ σελήνην καὶ τὸ ἄλλο τῶν
11 πλανήτων καὶ ἀπλανῶν ὡς ἀληθῶς περιέχοντα πάνθειον· ἔλεγέ τε, ὡς
ἔστιν ἀκούειν, κατακερτομῶν, ὅτι πάλαι μὲν ἐδεδίει περὶ τῆς οἰκίας, μὴ
βιαίοις πνεύμασιν ἢ χειμῶσιν ἐξαισίοις ἢ χρόνῳ ἢ ῥᾳθυμίᾳ τῆς ἁρμοτ-
τούσης ἐπιμελείας ἀνατραπῇ, νυνὶ δὲ φόβον ἐπικρέμασθαι μείζονα πρὸς 10
12 τῶν τὸν ἅπαντα κόσμον τῷ λόγῳ καθαιρούντων. ἔνιοι δ' οὐκ Ἀριστο-
τέλην τῆς δόξης εὑρετὴν λέγουσιν ἀλλὰ τῶν Πυθαγορείων τινάς. ἐγὼ
δὲ καὶ Ὀκέλλου συγγράμματι, Λευκανοῦ γένος, ἐπιγραφομένῳ 'Περὶ τῆς
τοῦ παντὸς φύσεως' ἐνέτυχον, ἐν ᾧ ἀγένητόν τε καὶ ἄφθαρτον οὐκ ἀπε-
φαίνετο μόνον ἀλλὰ καὶ δι' ἀποδείξεων | κατεσκεύαζε τὸν κόσμον εἶναι. p.490M.
13 (4.) γενητὸν δὲ καὶ ἄφθαρτόν φασιν ὑπὸ Πλάτωνος ἐν Τιμαίῳ δηλοῦσθαι 16
διὰ τῆς θεοπρεποῦς ἐκκλησίας, ἐν ᾗ λέγεται πρὸς τοὺς νεωτέρους θεοὺς
ὑπὸ τοῦ πρεσβυτάτου καὶ ἡγεμόνος· „θεοὶ θεῶν, ⟨ὧν⟩ ἐγὼ δημιουργὸς

---

1 τις post ὁ δέ om. M τὴν διακόσμησιν MU: τὴν om. HP (v) 2 κατὰ τὴν ἐκπύρωσιν M: κατὰ τῆς ἐκπυρώσεως UHP (μετὰ τῆς ἐκπυρώσεως Turn.) 3 μήποτ'—ἐνιστάμενος om. E μήποτ' HP, μήποτε U: μηδέποτε M 3. 4 ἐνιστάμενος Bernays: ἐπιστάμενος codd. 4 ἀγένητον ME: ἀγέννητον UHP 5 καταγίνωσκε E χειροτμήτων HP 6 τοσοῦτον ὁρατὸν θεόν] τὸ τοσοῦτον ἔργον θεοῦ E (Turn. in append.) 6—15 ἥλιον καὶ σελήνην—τὸν κόσμον εἶναι om. E 7 πάνθειον Mang.: πᾶν θεῖον codd. ἔλεγεν M 8 κατακερτομῶν codd.: καὶ κατακερτομῶν v 9 πνεύμασιν] ῥεύμασιν Bernays 10 ἐπικρέμασθαι Diels: ἐπικρεμάσαι U, ἐπικεκρεμάσθαι MHP (v) 11 τῶν om. MU δὲ M 11. 12 ἀριστοτέλην codd.: Ἀριστοτέλη v 12 ἀλλὰ codd.: ἀλλὰ καὶ v πυθαγορείων U, πυθαγορίων M 13 συγγράμματι] γράμ(ματι) M (Bernays) ἐπιγραφομένου M περὶ] παρὰ HP¹ 14 ἀγένητον M: ἀγέννητον ceteri 15 μόνον v (Turn.): μὲν οὖν codd. ἀποδείξεων MU: ἀποδείξεως HP (Turn.) 16 γενητὸν ME: γεννητὸν UHP δὲ] τε M ἐν Τιμαίῳ in marg. M, om. in textu 17—77,6 διὰ τῆς θεοπρεποῦς ἐκκλησίας—ὅτε ἐγίγνεσθε συνεδεῖσθε om. E 18 θεοὶ θεῶν Plato (Turn.): θεὸς θεῶν codd. ὧν Plato (Turn.): om. codd.

---

3 sqq. Arist. frg. 18 (ed. Rose, Lips. 1886). J. Bernays, Dialoge d. Aristoteles p. 101. 13 Ocell. Luc. I 2 δοκεῖ γάρ μοι τὸ πᾶν ἀνώλεθρον εἶναι καὶ ἀγένητον· ἀεί τε γὰρ ἦν καὶ ἔσται. 16 sqq. Plat. Tim. 41ª (cf. Rawack, De Platonis Timaeo, Berolini 1888 p. 15 ss.).

πατήρ τε ἔργων, ἄλυτα ἐμοῦ γε μὴ θέλοντος. τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὔκ ἐστε οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι γε μὴν λυθήσεσθέ γε, οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δεσμοῦ καὶ κυριωτέρου λαχόντες ἐκείνων, οἷς ὅτε ἐγίγνεσθε συνεδεῖσθε." τινὲς δὲ οἴονται σοφιζόμενοι κατὰ Πλάτωνα 14 γενητὸν λέγεσθαι τὸν κόσμον οὐ τῷ λαβεῖν γενέσεως ἀρχήν, ἀλλὰ τῷ, εἴπερ ἐγίγνετο, μὴ ἂν ἑτέρως ἢ τὸν εἰρημένον συστῆναι τρόπον, ἢ διὰ τὸ ἐν γενέσει καὶ μεταβολῇ τὰ μέρη θεωρεῖσθαι. βέλτιον δὲ καὶ ἀλη- 15 θέστερον ὑπονοεῖν τὸ πρότερον, οὐ μόνον ὅτι διὰ παντὸς τοῦ συγγράμματος πατέρα μὲν καὶ ποιητὴν καὶ δημιουργὸν τὸν θεοπλάστην ἐκεῖνον καλεῖ, ἔργον δὲ καὶ ἔγγονον τουτονὶ τὸν κόσμον, ἀπ' ἀρχετύπου ⟨καὶ⟩ νοητοῦ παραδείγματος μίμημα αἰσθητόν, πάνθ' ὅσα ἐν ἐκείνῳ νοητὰ περιέχοντα αἰσθητὰ ἐν αὑτῷ, τελειοτάτου πρὸς νοῦν τελειότατον ἐκμα- γεῖον πρὸς αἴσθησιν, ἀλλ' ὅτι καὶ Ἀριστοτέλης ταῦτα μαρτυρεῖ περὶ 16 Πλάτωνος, διὰ τὴν τῆς φιλοσοφίας αἰδῶ μηδὲν ἂν ψευσάμενος, καὶ διότι πιστότερος οὐδεὶς ὑφηγητῇ γνωρίμου μαρτυρεῖν καὶ μάλιστα τοιούτου, ὃς οὐ πάρεργον ἔθετο παιδείαν ἀψικόρῳ ῥᾳθυμίᾳ, προσυπερβαλεῖν δὲ σπουδάσας τὰς τῶν παλαιῶν εὑρέσεις ἕνια τῶν ἀναγκαιοτάτων εἰς ἕκασ- τον φιλοσοφίας μέρος καινοτομήσας προσεξεύρετο. (5.) πατέρα δὲ τοῦ 17

1 ἐμοῦ γε μὴ θέλοντος scripsi (sic etiam Platonis cod. Paris. A): ἐμοῦ μὴ θέλοντος MHP, ἐμοῦ γε θέλοντος U (Mang.) δὴ δεθὲν Plato (Turn.): μὴ δεθὲν codd. 1. 2 πάνλυτον U 2 τό γε] τότε U 3 δι' ἃ U (Plato): διὸ MHP (v) 3. 4 τὸ πάμπαν] τῶν πάμπαν M 4 γε μὴν] μὲν δὴ Plato λυθήσεσθαι M 5 ἐκείνων MU: ἐκείνῳ H, ἐκείνου P 6 ὅτε HP: ὄντες MU συνεδεῖσθε ε Plato (Turn.): συνέδησθε HP, συνεδῆσθαι U, συνδέδεσθε M (Bernays) δὲ MUE: δ' HP 7 γενητὸν ME: γεννητὸν UHP τὸν ante κόσμον om. U οὐ τὸ λαβεῖν γενέσεως ἀρχόν M 8 ἢ ante διὰ om. P 12 καλεῖ, ἔργον Bernays: καλλίεργον MUE, φησιν καλλίεργον HP (Turn. Mang.) τουτονὶ] τουτοὺ Bernays καὶ add. Mang., om. codd. 13 ἐν ἐκείνῳ MU: ἐκείνῳ HPE (ἐκεῖνο v) 14 αἰσθητὰ om. H (Turn.) αὑτῷ] ἑαυτῷ P, αὐτῷ ceteri τελειοτάτου UHP: τελειότατον ME πρὸς νοῦν HP: πρὸς νοῦ MUE (Bernays) τελειότατον] τελειότητα E 15 ταῦτα] ταὐτὰ coni. Mang. περὶ] παρὰ HP 16 ψευσάμενος om. in lac. M 16—20 καὶ διότι — προσεξεύρετο om. E 17 ὑφηγητῇ Bernays: ὑφηγητὴς codd. (v) γνωρίμων M (Bernays) 18 προσυπερβαλεῖν codd.: προσυπερβάλλειν v 19 ἕνια τῶν] ἑνὶ αὐτῶν U, καὶ ἑνιαυτῶν mg U 20 προσεξεύρατο U

6 cf. Doxogr. p. 485, 17. 15 cf. Arist. de coelo I 10 p. 280ª 28. Phys. VIII 1 p. 251ᵇ 17.

Πλατωνείου δόγματος ἔνιοι νομίζουσι τὸν ποιητὴν Ἡσίοδον, γενητὸν καὶ ἄφθαρτον οἰόμενοι τὸν κόσμον ὑπ' ἐκείνου λέγεσθαι, γενητὸν μέν, ὅτι φησὶν

„ἤτοι μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα
γαῖ' εὐρύστερνος, πάντων ἕδος ἀσφαλὲς αἰεί,"

18 ἄφθαρτον δέ, ὅτι διάλυσιν καὶ φθορὰν οὐ μεμήνυκεν αὐτοῦ. χάος δὲ ὁ μὲν Ἀριστοτέλης τόπον οἴεται εἶναι, ὅτι τὸ δεξόμενον ἀνάγκη προϋποκεῖσθαι σώματι, τῶν δὲ Στωικῶν ἔνιοι τὸ ὕδωρ παρὰ τὴν χύσιν τοὔνομα πεποιῆσθαι νομίζοντες. ὁποτέρως δ' ἂν ἔχοι, τὸ γενητὸν εἶναι τὸν
19 κόσμον ἐναργέστατα παρ' Ἡσιόδῳ μεμήνυται. μακροῖς δὲ χρόνοις πρότερον ὁ τῶν Ἰουδαίων νομοθέτης Μωϋσῆς γενητὸν καὶ | ἄφθαρτον ἔφη τὸν p. 491 M.
κόσμον ἐν ἱεραῖς βίβλοις· εἰσὶ δὲ πέντε, ὧν τὴν πρώτην ἐπέγραψε Γένεσιν, 11
ἐν ᾗ ἄρχεται τὸν τρόπον τοῦτον· „Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν

1 πλατωνείου MU: πλατωνικοῦ HPE (v) ποιητὴν om. HP (Turn.) γεννητὸν UHP γενητόν τε καὶ M (Bernays Cumont) 2 ἐπ' ἐκείνου M γεννητὸν UHP 3 γένετ' E: ἐγένετο MUH, ≡γένετο P 4 γαῖ' E: γαῖα MUHP εὐρύσθενος U ἕδος] εἶδος H 5 μεμύνηκεν H 5. 6 δὲ ὁ UE: δ' ὁ MHP 7. 8 τῶν δὲ Στωικῶν — ὁποτέρως δ' ἂν ἔχοι om. E 8 τὸ γενητὸν] τὸ τοίνυν γενητὸν E γεννητὸν UHP 9 παρ' Ἡσιόδου E μεμύνηται H 10 τῶν Ἰουδαίων] τοῦ Ἰουδαίων ἔθνους E μωυσῆς UHP: Μωσῆς E, om. M γεννητὸν UHP ἔφη corr. (ex εἶναι vel ἔγνω?) M 11 ὧν om. MU (Bernays)

1 Πλατωνείου: cf. schol. Dionys. Thrac. p. 224, 1 Hilg. Φασὶ δέ τινες (Ἄβρων καὶ Φρύνιχος) ὡς οὐ δεῖ λέγειν Πλατωνικὸν βιβλίον, ἀλλὰ Πλατώνειον· Πλατωνικὸν γὰρ βιβλίον λέγεται τὸ περιέχον περὶ Πλάτωνος, ὥσπερ καὶ Φιλιππικοὶ λόγοι λέγονται οἱ περὶ Φιλίππου περιέχοντες καὶ Τυρσηνικαὶ ἱστορίαι αἱ περὶ Τυρσηνῶν περιέχουσαι.
3. 4 Hesiod. Theogon. 116. 117. 5 sqq. Arist. Phys. IV 1 p. 208^b 29 δόξειε δ' ἂν καὶ Ἡσίοδος ὀρθῶς λέγειν ποιήσας πρῶτον τὸ χάος· λέγει γοῦν „πάντων μὲν πρώτιστα χάος γένετ', αὐτὰρ ἔπειτα γαῖ' εὐρύστερνος", ὡς δέον πρῶτον ὑπάρξαι χώραν τοῖς οὖσι, διὰ τὸ νομίζειν, ὥσπερ οἱ πολλοί, πάντα εἶναί που καὶ ἐν τόπῳ. cf. [Arist.] de Melisso 2 p. 976^b 15 (συνδοκεῖ) εἶναί τι κενόν, οὐ μέντοι τοῦτό γέ τι σῶμα εἶναι, ἀλλ' οἷον καὶ ὁ Ἡσίοδος ἐν τῇ γενέσει πρῶτον τὸ χάος φησὶ γενέσθαι, ὡς δέον χώραν πρῶτον ὑπάρχειν τοῖς οὖσιν, τοιοῦτον δέ τι καὶ τὸ κενόν, οἷον ἀγγεῖόν τι ἀνὰ μέσον εἶναι ζητοῦμεν. Sext. Emp. adv. Mathem. X 11 οἵ τε παλαιοὶ καὶ τὰ ὅλα διακοσμήσαντες ἀρχὴν τῶν πάντων ὑπέθεντο τόπον, κἀντεῦθεν ὁρμηθεὶς ὁ Ἡσίοδος ἀνεφώνησεν· „ἤτοι — ἀσφαλὲς αἰεί", χάος λέγων τὸν χωρητικὸν τῶν ὅλων τόπον· μὴ ὑποκειμένου γὰρ τούτου, οὔτε γῆ οὔτε ὕδωρ οὔτε τὰ λοιπὰ τῶν στοιχείων, οὐχ ὁ σύμπας κόσμος ἐδύνατο συστῆναι. Pyrrh. Hypotyp. III 121 ... ἔτι καὶ τῶν ἀρχαίων ἀκούων λεγόντων „ἤτοι μὲν γὰρ πρῶτα χάος ἐγένετο". εἶναι γάρ φασι χάος τὸν τόπον ἀπὸ τοῦ χωρητικὸν αὐτὸν εἶναι τῶν ἐν αὐτῷ γινομένων. εἴ γε μὴν ἔστι τι σῶμα, φασίν, ἔστι καὶ ὁ τόπος· ἄνευ γὰρ τούτου οὐκ ἂν εἴη τὸ σῶμα. 7 cf. Cornut. Theol. c. 17 (p. 28, 7 Lang) ἔστι δὲ χάος μὲν τὸ πρὸ τῆς διακοσμήσεως γενόμενον ὑγρόν, ἀπὸ τῆς χύσεως οὕτως ὠνομασμένον. Schol. Apollon. Rh. I 498 καὶ Ζήνων δὲ τὸ παρ' Ἡσιόδῳ χάος ὕδωρ εἶναί φησιν (Zeno frg. 103. 104 Arnim).

καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος“ (Gen. 1,1. 2.), εἶτα προελθὼν ἐν τοῖς ἔπειτα μηνύει πάλιν, ὅτι ἡμέραι καὶ νύκτες καὶ ὧραι καὶ ἐνιαυτοὶ σελήνη τε καὶ ἥλιος, οἳ χρόνου μετρήσεως φύσιν ἔδειξαν, μετὰ τοῦ παντὸς οὐρανοῦ μοίρας ἀθανάτου λαχόντες διατελοῦσιν ἄφθαρτοι (cf. Gen. 1,14. 8,22).

Τοὺς δὲ ἀγένητον καὶ ἄφθαρτον κατασκευάζοντας λόγους ἕνεκα τῆς πρὸς τὸν ὁρατὸν ⟨θεὸν⟩ αἰδοῦς προτέρους τακτέον οἰκείαν ἀρχὴν λαβόντας. ἅπασι τοῖς φθορὰν ἐνδεχομένοις αἰτίαι δίτται τῆς ἀπωλείας, ἡ μὲν ἐντός, ἡ δὲ ἐκτός, προϋπόκεινται· σίδηρον γοῦν καὶ χαλκὸν καὶ τὰς τοιουτοτρόπους οὐσίας εὕροις ἂν ἀφανιζομένας ἐξ ἑαυτῶν μέν, ὅταν ἑρπηνώδους νοσήματος τρόπον ἰὸς ἐπιδραμὼν διαφάγῃ, πρὸς δὲ τῶν ἐκτός, ὅταν ἐμπιπραμένης οἰκίας ἢ πόλεως συναναφλεχθεῖσαι τῇ πυρὸς βιαίῳ ῥιπῇ διαλυθῶσιν· ὁμοιοτρόπως δὲ καὶ ζῴοις ἐπιγίνεται τελευτὴ νοσήσασι μὲν ἐξ ἑαυτῶν, ὑπὸ δὲ τῶν ἐκτὸς σφαττομένοις ἢ καταλευομένοις ἢ ἐμπιπραμένοις ἢ θάνατον οὐ καθαρὸν τὸν δι' ἀγχόνης ὑπομένουσιν. εἰ δὴ φθείρεται καὶ κόσμος, ἐξ ἀνάγκης ἤτοι ὑπό τινος τῶν ἐκτὸς ἢ πρός τινος τῶν ἐν αὐτῷ διαφθαρήσεται δυνάμεων· ἀμήχανον δ' ἑκάτερον· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστι τοῦ κόσμου, πάντων εἰς τὴν συμπλήρωσιν

1—5 ἡ δὲ γῆ — διατελοῦσιν ἄφθαρτοι om. E 4 ἔδειξαν scripsi: ἐδέξαντο codd.; ἐδείξαντο coni. Mang. (v. infra p. 89, 4. de opif. mundi § 60. leg. alleg. I § 2. de spec. leg. I § 90) 6 ἀγέννητον UHP κατασκευάζοντας λόγους om. U ἕνεκα — αἰδοῦς (7) om. E τῆς] τοῦ U 7 τὸν ὁρατὸν U: τὸ ὁρατὸν MHP (v) θεὸν add. Bernays αἰδοῦς HP: ἀειδοῦς MU προτέρους τακτέον ME: τακτέον προτέρους UHP (v) οἰκείαν] ὁσίαν coni. Cumont 8 ἅπασι δὲ E αἴτιαι H 9 γοῦν MUE: οὖν HP (v) χαλκοῦν H 10 ἑρπινώδους UE 11 νοσήματα M διαφάγοι E τῶν ἐκτός] τὸν ἐκτός M 12 ῥιπῇ M: ῥοπῇ UHPE 13 διαλυθῶσιν] διαλάθωσιν Turn. νοσήσασι] νοσήμασι UE 14 ἢ καταλευομένοις om. HP (om. Turn. in textu, add. in append.) καταλευομένοις Turn. (Mang. in Corrig.): καὶ λευομένοις UE, καὶ κελευομένοις M 15. 16 εἰ δὴ φθείρεται U: εἰ δὲ φθείρεται ME (Mang. Bernays Cumont), εἰ διαφθείρεται HP, εἰ διαφθαρήσεται L (Turn.) 16 κόσμος] ὁ κόσμος E 17 διαφθαρήσεται MUE: φθαρήσεται HP (v) δὲ M

---

6 sqq. Arist. frg. 19 (ed. Rose, Lips. 1886). 15 sqq. Ocell. Luc. I 11 εἰ δὲ καὶ δοξάζοι τις αὐτὸ (τὸ πᾶν) φθείρεσθαι, ἤτοι ὑπό τινος τῶν ἔξω τοῦ παντὸς φθαρήσεται δυναστευόμενον ἢ ὑπό τινος τῶν ἐντός. οὔτε δ' ὑπό τινος τῶν ἔξωθεν — ἐκτὸς γὰρ τοῦ παντὸς οὐδέν· τὰ γὰρ ἄλλα πάντα ἐν τῷ παντὶ καὶ τὸ ὅλον καὶ τὸ πᾶν ὁ κόσμος — οὔτε ὑπὸ τῶν ἐν αὐτῷ· δεήσει γὰρ ταῦτα μείζονά τε καὶ δυναμικώτερα εἶναι τοῦ παντός· τοῦτο δὲ οὐκ ἀληθές· ἄγεται γὰρ τὰ ἄλλα πάντα ὑπὸ τοῦ παντός, καὶ κατὰ τοῦτο καὶ σῴζεται καὶ συνήρμοσται καὶ βίον ἔχει καὶ ψυχήν. εἰ δὲ οὔτε ὑπό τινος τῶν ἔξωθεν οὔτε ὑπό τινος τῶν ἔνδοθεν φθαρήσεται τὸ πᾶν, ἄφθαρτος ἄρα καὶ ἀνώλεθρος ὁ κόσμος.

αὐτοῦ συνερανισθέντων· οὕτως γὰρ εἷς τε ἔσται καὶ ὅλος καὶ ἀγήρως, εἰς μὲν διὰ τὸ ἀπολειφθέντων τινῶν ἕτερον ἂν τῷ νῦν ὄντι γενέσθαι ὅμοιον, ὅλος δὲ ἕνεκα τοῦ σύμπασαν τὴν οὐσίαν εἰς αὐτὸν ἐξανηλῶσθαι, ἀγήρως δὲ καὶ ἄνοσος, ἐπειδὴ τὰ νόσοις καὶ γήρᾳ σώματα ἁλωτὰ θερμότησι καὶ ψύξεσι καὶ ταῖς ἄλλαις ἐναντιότησι προσεμπιπτούσαις ἔξωθεν ἰσχυρῶς ἀνατρέπεται, ὧν οὐδεμία δύναμις ἀποδρᾶσα κυκλοῦται καὶ ἐπιτίθεται, πασῶν, μηδενὸς ἀποστατοῦντος μέρους, ὁλοκλήρων ἐγκατειλημμένων εἴσω. εἰ δ' ἄρα τί ἐστιν ἐκτός, πάντως ἂν εἴη κενόν, ἡ ἀπαθὴς
22 φύσις, ἣν ἀδύνατον παθεῖν τι ἢ δρᾶσαι. καὶ μὴν οὐδὲ ὑπό τινος αἰτίας διαλυθήσεται τῶν ἐντὸς αὐτοῦ· πρῶτον μέν, ἐπειδὴ τοῦ ὅλου τὸ μέρος καὶ μεῖζον ἔσται καὶ κραταιότερον, ὅπερ ἐστὶν ἀτοπώτατον· ὁ γὰρ κόσμος ἀνυπερβλήτῳ κράτει | χρώμενος ἄγει τὰ πάντα μέρη, πρὸς μηδενὸς αὐτῶν p. 492 M. ἀγόμενος· ἔπειτα δέ, ὅτι διττῶν οὐσῶν φθορᾶς αἰτιῶν, τῆς μὲν ἐντὸς τῆς δὲ ἐκτός, ἃ τὴν ἑτέραν οἷά τε ὑπομένειν, δεκτικὰ καὶ τῆς ἑτέρας
23 ἐστὶ πάντως. σημεῖον δέ· βοῦς καὶ ἵππος καὶ ἄνθρωπος καὶ τὰ παραπλήσια ζῷα, διότι πέφυκεν ἀναιρεῖσθαι ὑπὸ σιδήρου, καὶ νόσῳ τελευτήσει· χαλεπὸν γὰρ μᾶλλον δὲ ἀδύνατον εὑρεῖν, ὅ τι τὴν ἔξωθεν αἰτίαν πεφυκὸς
24 ὑπομένειν τῆς φθορᾶς ἄδεκτον ἔσται | κατὰ τὸ παντελὲς τῆς ἔνδοθεν. ἐπειδὴ p. 497,8 M. τοίνυν ὑπ' οὐδενὸς τῶν ἐκτὸς φθαρησόμενος ἐδείχθη ὁ κόσμος, τῷ μηδὲν ἔξω καταλελεῖφθαι πάντως, οὐδ' ὑπό τινος τῶν ἐν αὐτῷ, διὰ τὴν

---

1 οὕτως MU: οὕτω HPE τε E: τοι MUHP ἔσται] ἐστι E καὶ ante ἀγήρως om. M 2—3 εἰς μὲν — ἐξανηλῶσθαι] εἰς μὲν καὶ ὅλος διὰ τὴν προειρημένην αἰτίαν E 3 ὅλος] ὅλως H εἰς αὐτὸν] εἰς ἑαυτὸν MHP, εἰς αὐτοῦ U 4 τὰ νόσοις om. U 5 ψύξεσι MHPE: ψυχρότησι U (Mang.) ἐναντιότησι MHP: ἐναντιώσεσι UE προσεμπιπτούσαις HP, προσεπιπτούσαις U: προσεπιπιπτούσαις M (Bernays Cumont), πρὸς ἐπιπιπτούσαις E 6 ἀποδρᾶσα E: ἀποδράσασα MUHP (Cumont) 7 πασῶν Mang.: παθῶν codd. ⟨ἅτε⟩ μηδενὸς coni. Mang. ἀποστατοῦντος] ἀποστάντος HP ὁλοκλήρων] ἀλλ' ὁλοκλήρων E 8 τι[τίς P πάντως] παντὸς M κενόν] κενός E ἡ ἀπαθὴς MU: ἢ ἀπαθὴς PE, ἢ ἡ ἀπαθὴς H (v) 10 πρῶτον Mang. (sic iam E cod. b): πρότερον codd. τὸ ὅλον τοῦ μέρους M 12 τὰ πάντα μέρη UE: πάντα om. MHP (Turn.) 13 ἔπειτα δέ, ὅτι scripsi: ἔπειτα διότι codd. φθορᾶς αἰτιῶν MHP: τῶν φθορᾶς αἰτιῶν E, αὐ τῶν φθορᾶς αἰτιῶν U 14 τῆς δ' U οἷά τε Mang.: οἴεται codd.; εἴωθεν coni. Turn. in append. 15 βοῦς, ἵππος, ἄνθρωπος E 17 χαλεπὸν γὰρ — τῆς ἔνδοθεν (18) om. E γὰρ] μὲν γὰρ U μᾶλλον δ' U ὅ τι τὴν Buecheler: νοητὴν MU, ὃ τὴν νοητὴν HP (v); ὃ τὴν Bernays 18—89, 11 κατὰ τὸ παντελὲς — τὸ μηδὲ χρόνον post 97, 3 συνεπιγραψάμενος tradunt codd., huc reduxit Bernays 18 τῆς ἔνδοθεν] τοῖς ἔνδοθεν H (v) 19 post τοίνυν add. ἡ σύνταξις· ἅτε μηδενὸς ὑπολειφθέντος μέρους ὡς βιασθῆναι HP (v): est scholion quod pertinet ad p. 95, 20. 21

προεπιλογισθεῖσαν ἀπόδειξιν, καθ' ἣν τὸ ἀλωτὸν τῇ ἑτέρᾳ τῶν αἰτιῶν καὶ τὴν ἑτέραν ἐπεφύκει δέχεσθαι. (11.) μαρτύρια δὲ καὶ τὰ ἐν Τιμαίῳ περὶ τοῦ τὸν κόσμον ἄνοσον εἶναι καὶ μὴ φθαρησόμενον τάδε· „τῶν δὲ δὴ τεττάρων ἓν ὅλον ἕκαστον εἴληφεν ἡ τοῦ κόσμου σύστασις· ἐκ γὰρ πυρὸς παντὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς συνέστησεν αὐτὸν ὁ συνιστάς, μέρος οὐδὲν οὐδενὸς οὐδὲ δύναμιν ἔξωθεν ὑπολιπών, τάδε διανοηθείς· πρῶτον μέν, ἵνα ὅλον ὅτι μάλιστα ζῷον, τέλειον ἐκ τελείων μερῶν, εἴη· πρὸς δὲ τούτοις ἕν, ἅτε οὐχ ὑπολελειμμένων ἐξ ὧν ἄλλο τοιοῦτον γένοιτ' ἄν· ἔτι δέ, ἵνα ἀγήρων καὶ ἄνοσον ᾖ, κατανοῶν ὡς συστάτῳ σώματι θερμὰ καὶ ψυχρὰ καὶ πάνθ' ὅσα δυνάμεις ἰσχυρὰς ἔχει περιιστάμενα ἔξωθεν καὶ προσπίπτοντα ἀκαίρως λυπεῖ καὶ νόσους καὶ γῆρας ἐπάγοντα φθίνειν ποιεῖ. διὰ τὴν αἰτίαν καὶ τὸν λογισμὸν τόνδε θεὸς ὅλον ἐξ ὅλων ἁπάντων τέλειον καὶ ἀγήρων καὶ ἄνοσον αὐτὸν ἐτεκτήνατο." τοῦτο μὲν δὴ παρὰ Πλάτωνος πρὸς τὴν ἀφθαρσίαν τοῦ κόσμου μαρτύριον εἰλήφθω, τὸ δ' ἀγένητον παρὰ τῆς φυσικῆς ἀκολουθίας· ἕπεται μὲν γὰρ τῷ γενομένῳ διάλυσις, ἀφθαρσία δὲ τῷ ἀγενήτῳ· ἐπεὶ καὶ ὁ τὸ τρίμετρον ἐκεῖνο ποιήσας

„τό τοι γενόμενον κατθανεῖν ὀφείλεται"

δοκεῖ μὴ ἀπὸ σκοποῦ, συνεὶς ἀκολουθίαν τῶν αἰτιῶν τῆς ⟨γενέσεως καὶ τῆς⟩ φθορᾶς, * * * ὧδ' ἔχει.

---

2 καὶ τὴν ἑτέραν] καὶ τῇ ἑτέρα M μαρτυρία M (Bernays) 3 τάδε] εἶναι H (Turn.) 4 δὴ om. U ἕκαστον om. M ἕκαστον εἴληφεν ὅλον transp. UE 6 ἀπολιπών E 8 ὑπολελειμένων M, ὑπολελειμμένον UE 9 τοιοῦτον UE (Plato): τοιοῦτο MHP ἀγήρων HP: ἀγήρω MUE 9. 10 ὡς συστάτῳ Plato (συστατῷ Bernays): ὡς τὰ τῶ codd. 10 ἔχει ἰσχυρὰς transp. UE 11 ante περιιστάμενα add. καὶ E λυπεῖ codd.: λύει ν (Plato) 11. 12 καὶ γῆρας] γῆράς τε Plato 12 διὰ τὴν αὐτὴν αἰτίαν E (διὰ δὴ τὴν αἰτίαν Plato) 13 ὅλον] ἓν ὅλον Plato ἐξ ὅλων ἁπάντων] ὅλων ἐξ ἁπάντων Plato ἁπάντων om. HP (Turn.) ἀγήρων P, ἀγείρων H: ἀγήρω MUE 14 παρὰ] περὶ U ἀφθαρσίαν] ἁμαρτίαν U 15 εἰλήφθαι M ἀγέννητον UHP ἀκολουθίας Mang.: ἀληθείας codd. 16 ἀγενήτῳ E: ἀγεννήτῳ MUHP 17 τρίμερον M 18 τό τοι γενόμενον] τῷ τοι γενομένῳ coni. Mang. κατθανεῖν MPE: καταθανεῖν H, κατακτανεῖν U 19 μὴ] μὲν E συνεὶς Bernays: συνθεὶς codd. ἀλλ' ἀκολουθίαν E τῶν αἰτιῶν MU: om. HPE 19. 20 γενέσεως καὶ τῆς add. Bernays 20 ὧδ' ἔχει HE, ὧδε ἔχει MP: ὧδε ἔχη U (ὧδ' ἔχειν ν): ⟨μαρτυρεῖν ὅτι⟩ ὧδ' ἔχει conicio; ⟨ὧδε λέγειν. καὶ αὕτη μὲν ἡ ἀπόδειξις⟩ ὧδ' ἔχει coni. Bernays, ⟨ὁμολογεῖν ὅτι⟩ ὧδ' ἔχει Buecheler, ὧδ' εἰπεῖν Cumont

---

4 sqq. Plat. Tim. 32c. 18 versus ignoti poetae; cf. Eur. Alc. 419 ὡς πᾶσιν ἡμῖν κατθανεῖν ὀφείλεται et 782 βροτοῖς ἅπασιν κατθανεῖν ὀφείλεται.

28 Ἑτέρως δέ ἐστι τοιόνδε· | πάνθ' ὅσα τῶν συνθέτων φθείρεται, διά- p. 498 M.
λυσιν εἰς τὰ ἐξ ὧν συνετέθη λαμβάνει· διάλυσις δ' οὐδὲν ἦν ἄρα ἢ πρὸς
τὸ κατὰ φύσιν ἑκάστων ἐπάνοδος, ὥστε κατὰ τοὐναντίον ἡ σύνθεσις εἰς
τὸ παρὰ φύσιν τὰ συνελθόντα βεβίασται. καὶ δὴ τάδ' οὕτως ἔοικεν ἀψευ-
29 δέστατα ἔχειν. ἄνθρωποι γὰρ ἀπὸ τῶν τεττάρων στοιχείων, ἃ δὴ ὅλα
τοῦ παντός ἐστιν οὐρανοῦ, γῆς, ⟨ὕδατος⟩, ἀέρος τε καὶ πυρός, βραχέα τὰ
μέρη δανεισάμενοι συνεκράθημεν· τὰ δ' ἀνακραθέντα τῆς κατὰ φύσιν
θέσεως ἐστέρηται, θερμότητος μὲν τῆς ἀνωφοίτου κατω⟨σθείσης⟩, τῆς δὲ
γεώδους καὶ βάρος ἐχούσης οὐσίας ἐπελαφρισθείσης καὶ τὸν ἄνω τόπον
30 ἀντιλαβούσης, ὃν τὸ γεωδέστατον τῶν ἐν ἡμῖν ἐπέσχηκε κεφαλή. δεσμῶν
δὲ φαυλότατος ὃν ἔσφιγξε βία, βαιὸς καὶ ὀλιγοχρόνιος· ῥήγνυται γὰρ
θᾶττον ὑπὸ τῶν δεθέντων, ἅτε ἀπαυχενιζόντων διὰ πόθον [ὑπὸ] τῆς
κατὰ φύσιν κινήσεως, πρὸς ἣν σπεύδοντα μετανίσταται· κατὰ γὰρ τὸν
τραγικὸν

„χωρεῖ δ' ὀπίσω
τὰ μὲν ἐκ γαίας φύντ' εἰς γαῖαν

---

1 ἑτέρως] ἑτέρω E δέ ἐστι ME: δ' ἐστὶ UHP πάνθ' om. Turn.
2 δὲ E 2. 3. πρὸς τὸ Buecheler: πρὸς τὰ HP (v), πρὸς τὴν MUE 3 ὥστε om. in lac. M; ὥσπερ coni. Buecheler ἡ σύνθεσις codd.: ἢ σύνθεσις Diels (Cumont), ἦ σύνθεσις Rose, ἡ σύνθεσις tamquam glossema secludit Gomperz
4 βεβίαται H καὶ δὴ τάδ' Buecheler: καὶ δῆτα codd. (καὶ δῆλα L Turn.)
5 τεσσάρων E 6 ἐστι M οὐρανοῦ seclusit Cumont; sed cf. p. 87, 13. 89, 5 ὕδατος add. Bernays 6. 7 τὰ μέρη MUHP: τὰ om. E (L Turn.) 7 συνεκράθημεν MUHP: συνεκράθησαν E 7. 8 τῆς κατὰ φύσιν θέσεως MUE: τῆς κατὰ φύσεως HP, τῆς κινήσεως L (v, τῆς κατὰ φύσιν κινήσεως Mang. in Corrig.) 8 θερμότητος M: θερμότης UHE (v), evan. in P 8. 9 κατ⟨ωσθείσης⟩, τῆς δὲ γεώδους Diels (Cumont): κάτω δὲ τῆς γεώδους codd.: κάτω ⟨φερομένης⟩, τῆς δὲ γεώδους Bernays: κάτω ⟨βιασθείσης⟩, τῆς δὲ γεώδους Rose alteram Bernaysii coniecturam secutus; ψυχρότης δὲ τῆς γεώδους Turn., ψυχρότης δὲ τῆς κάτω· γεώδους Mang. 10 ἀντιλαβούσης] ἐπιλαβούσης M (Bernays) ὃν U: ὧν MHPE; ὥστε Cumont ἐπέσχηκε U, ἐπέσχηκεν M: ἐπέσχημεν H, ἐπέσχομεν P, ἐπέσχε E κεφαλῇ P: ἐν κεφαλῇ Cumont δεσμῶν] θεσμῶν HP, δεσμὸς E 11 δὲ om. P βαιὸς Mang.: βίαιος MUHP, βίαιός ἐστι E γὰρ] μὲν γὰρ HP (Turn.) 12 ἀπαυχενιζόντων UE: ἐπαυχενιζόντων MHP ὑπὸ seclusit Mang. 13 σπεύδοντα MUE: σπεύδοντες HP (Turn.) 16 γαίας UE: γαίης M, τῆς HP φῦντες γαῖαν M
εἰς] ἐς codd. (v)

---

1 sqq. Arist. frg. 20 (ed. Rose, Lips. 1886). 7 δανεισάμενοι: Plato Tim. 42 e ... πυρὸς καὶ γῆς ὕδατός τε καὶ ἀέρος ἀπὸ τοῦ κόσμου δανειζόμενοι μόρια.
15 sqq. Eur. frg. 839, 8—14 Nauck²; cf. Heraclit. Alleg. Hom. c. 22. Marc. Antonin. VII 50. Plut. de plac. philos. V 19 p. 908 d.

τὰ δ' ἀπ' αἰθερίου βλαστόντα γονῆς
εἰς οὐράνιον πόλον ἦλθε πάλιν·
θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὴν ἰδίαν ἀπέδειξεν."

τοῖς μὲν δὴ φθειρομένοις ἅπασι νόμος ἀναγέγραπται καὶ θεσμὸς οὗτος, 31
ὁπότε μὲν ὑφέστηκε τὰ συνεληλυθότα ἐν τῇ κράσει, πρὸ τῆς κατὰ φύσιν
τάξεως ἀταξίας ἀντιμετειληφέναι καὶ πρὸς τοὺς ἐναντίους τόπους μετανί-
στασθαι, ὡς τρόπον τινὰ ξενιτεύειν δοκεῖν, ὁπότε δὲ διαλύοιτο, πρὸς τὴν
οἰκείαν τῆς φύσεως λῆξιν ἀνακάμπτειν. (12.) ὁ δὲ κόσμος ἀμέτοχος 32
τῆς ἐν τοῖς λεχθεῖσιν ἀταξίας ἐστίν. ἐπεί, φέρε, θεασώμεθα· φθειρομένου
τὰ μέρη νυνὶ μὲν ἀνάγκη τετάχθαι τὴν παρὰ φύσιν ἕκαστα χώραν·
τοῦτο δὲ ὑπονοεῖν οὐκ εὐαγές· ἀρίστην γὰρ θέσιν καὶ τάξιν ἐναρμόνιον
τὰ τοῦ κόσμου μέρη πάντα εἴληχεν, ὡς ἕκαστον καθάπερ πατρίδι φιλοχω-
ροῦν μὴ ζητεῖν ἀμείνω μεταβολήν. διὰ τοῦτο γῇ μὲν ὁ μεσαίτατος 33
ἀπενεμήθη τόπος, ἐφ' ἣν πάντα τὰ γεώδη, κἂν ἀναρρίψῃς, καταφέρεται —
p. 499 M. τὸ δ' ἐστὶ | σημεῖον χώρας τῆς κατὰ φύσιν· ἔνθα γὰρ μὴ ὑπὸ βίας
ὁτιοῦν ἐνεχθὲν ἵσταται καὶ ἠρεμεῖ, τὸν οἰκεῖον εἴληχε χῶρον —· ὕδωρ
δὲ ἐπὶ γῆν ἀνακέχυται [δεύτερον], ἀὴρ δὲ καὶ πῦρ ἀπὸ τοῦ μέσου πρὸς
τὸν ἄνω κεχώρηκεν, ἀὴρ μὲν τὸν μεθόριον ὕδατος καὶ πυρὸς κληρωσά-
μενος τόπον, πῦρ δὲ τὸν ἀνωτάτω· διὸ κἂν ἀναψάμενος δᾷδα πρὸς γῆν

---

1 ἀπ' αἰθερίου ν (Turn.): ἀπ' αἰθρίου UHPE, ἀπ' .. θρίου (αι om. in lac.) M
βλαστόντα] βλαστάνοντα codd. (ν) γονῆς Mang.: γῆς MUHP, om. E
3 γιγνομένων E: γινομένων MUHP 4 δὲ M πρὸς ἄλλο codd.: πρὸς ἄλλου Nauck, πρὸς ἄλλῳ Bernays 5 ἰδίαν] ἑτέραν Philo aliis locis ἀπέδειξεν M: ἀπέδειξε UHPE 6 φθειρομένοις] γινομένοις coni. Mang. θεσμὸς] δεσμὸς E
8 ἀντιμετειληφέναι MUE: μετειληφέναι HP (ν) 11 ἐπεί] ἐπεὶ δὲ M φέρε ex φθεῖρε corr. M 12 τὴν HP: om. MUE παρὰ] περὶ M 13 δ' U εὐαγές] ἀγεννές E 14 εἴληχε πάντα transp. M (Bernays), πάντα om. E
14. 15 φιλοχωροῦν] ἐμφιλοχωροῦν coni. Mang. 15 ἀμείνω μεταβολήν] τὴν εἰς ἄμεινον μεταβολήν coni. Mang., ἀμείνω μεταβολῇ Buecheler, εἰς ἀμείνω μεταβολήν Rose: sed cf. Cumontii indicem s. v. μεταβολή γῇ μὲν] γῆν M 16 ἐφ' ἣν ν (Turn.): ἐφ' ἣ codd. τὰ γεώδη UHE: τὰ om. MP (Bernays) κἂν ἀναρρείψῃς M, κἂν ἀναρρίψῃς τι τῶν γεωδῶν E καταφέρεται] κάτω φέρεται E
17 τὸ δ' ἐστὶ MUE: τότε δ' ἐστὶ HP (τόδε δ' ἐστὶ ν) μὴ om. U
18 ὁτιοῦν M ἐνεχθὲν] ἀνεχθὲν M εἴληχε χῶρον MUE: εἴληφε τόπον HP (Turn.) 19 δεύτερον seclusi πῦρ] γῆ U 20 τὸν ἄνω MUE: τὸ ἄνω HP (Turn.) τὸ μεθόριον H 21 τόπον fortasse post κεχώρηκεν (l. 20) transponendum putat Cumont τὸν ἀνωτάτω MP: τῶν ἀνωτάτω H, τὸν ἀνώτατον UE κἂν ἀναψάμενος H: καὶ ἀναψάμενος M, κἂν ἀψάμενος UPE

καταφέρῃς, ἡ φλὸξ οὐδὲν ἧττον ἀντιβιάσεται καὶ πρὸς τὴν φυσικὴν τοῦ
34 πυρὸς κίνησιν ἐπικουφίσασα αὑτὴν ἀναδραμεῖται. εἰ δὴ φθορᾶς μὲν αἴτιον
ἡ παρὰ φύσιν τάξις τῶν ἄλλων [ἔχει] ζῴων, ἐν δὲ τῷ κόσμῳ κατὰ
φύσιν ἕκαστα τῶν μερῶν διατέτακται τὰς οἰκείας διακληρωσάμενα
χώρας, ἐνδίκως ἂν λέγοιτο ὁ κόσμος ἄφθαρτος.
35 Ἔτι τοίνυν ἐκεῖνο παντί τῳ δῆλον, ὅτι φύσις ἑκάστη διατηρεῖν καὶ
διασῴζειν, εἰ δ' οἷόν τε εἴη, καὶ ἀθανατίζειν ἕκαστα ὧν φύσις ἐστὶν ἐσπού-
δακεν, ἡ μὲν ἐν τοῖς δένδρεσι τὰ δένδρα, ἡ δ' ἐν τοῖς ζῴοις τῶν ζῴων
36 ἕκαστον. ἐξασθενεῖ δὲ ἡ ἐπὶ μέρους ἀναγκαίως ἄγειν πρὸς ἀιδιότητα·
ἢ γὰρ ἔνδεια ἢ φλογμὸς ἢ κρυμὸς ἢ μυρία ἄλλα τῶν εἰωθότων ἐπισυνί-
στασθαι κατασκήψαντα διέσεισε καὶ διέλυσε τὸν συνέχοντα δεσμὸν καὶ
τέλος κατέρρηξε· τοιοῦτον δ' εἰ μηδὲν ἐφήδρευεν ἔξω, κἂν ὅσον ἐφ'
37 ἑαυτῇ πάντα μικρά τε αὖ καὶ μεγάλα ἀγήρῳ διεφύλαττεν. ἀναγκαῖον
οὖν καὶ τὴν τοῦ κόσμου φύσιν γλίχεσθαι τῆς τοῦ ὅλου διαμονῆς· οὐ γὰρ
δὴ τῶν ἐπὶ μέρους ἐστὶ χείρων, ὡς ἀποδιδράσκουσα καὶ λιποτακτοῦσα
νόσον ἀνθ' ὑγιείας καὶ φθορὰν ἀντὶ σωτηρίας παντελοῦς ἐπιχειρεῖν
τεχνάζειν, ἐπειδὴ

„πασάων ὑπὲρ ἥ γε κάρη ἔχει ἠδὲ μέτωπα,
ῥεῖά τ' ἀριγνώτη πέλεται, καλαὶ δέ τε πᾶσαι."

ἀλλ' εἰ τοῦτ' ἀληθές ἐστι, φθορὰν ὁ κόσμος οὐ δέξεται. διὰ τί; ὅτι
ἡ συνέχουσα φύσις αὐτὸν ἀήττητός ἐστι κατὰ πολλὴν ἰσχύος ῥώμην,
38 τῶν ἄλλων ὅσα βλάπτειν ἔμελλεν ἁπαξαπάντων ἐπικρατοῦσα. διὸ καὶ
Πλάτων εὖ „ἀπῄει τε γὰρ" φησίν „οὐδὲν οὐδὲ προσῄει αὐτῷ ποθεν·

---

1 καταφέρῃς ex καταφέροις (vel καταφέρεις) corr. M, καταφερὴς U 2 ἐπικουφίσασαν M αὑτὴν codd. 3 τάξις mg U²: κατὰ codd., κίνησις v (Turn.) ἔχει seclusi ἔχῃ H 4 διακληρωσάμενοι H 6 παντί τω MUPE: παντὶ τῶ H (τῳ om. Turn.) 7 εἴη] ἦν E ἡ φύσις Turn. 8 ἡ δ'] εἰ δ' M 9 δὲ ἡ M: δ' ἡ HP, δὴ UE infinitivus ἄγειν post ἐξασθενεῖν, quod absolute poni solet, suspectus 11 διέλυσε] διεκώλυσε L (Turn.) 12 κατέρρηξεν U τοιοῦτον—πάντα (13) om. UE δ' εἰ HP: δεῖ M ἀφήδρευεν M 12. 13 ἐφ' αὐτῇ M 13 πάντα om. v αὖ] οὖν M διεφύλαττεν v (Turn.): διαφυλάττειν codd. 14 καὶ post οὖν om. E γλίχεσθε P τὴν ὅλου διαμονήν E 15 ἐπὶ μέρη E λειποτακτοῦσα codd. (v) 16 ὑγιείας M: ὑγείας UHPE 18 πασῶν Turn. (sed corr. in append.) ἥ γε] ἥδε E 19 ῥεῖά τ' Mang. (ex Homero): ῥεῖα δ' codd. 20 τοῦτο U 22 ἁπαξαπάντων MUE: ἁπάντων HP (v) 23 εὖ ἀπῄει τε γὰρ om. E ἀπῄει τε M: ἀπίητε H, ἄπιτε U, evan. in P οὐδὲν οὐδὲ M: οὐδὲν οὔτε UHPE προσῄει M: προσείη UPE, προσίη H

---

18 sq. Hom. Od. ζ 107. 108. 23 Plat. Tim. 33 c.

οὐδὲν γὰρ ἦν. αὐτὸ γὰρ ἑαυτῷ τροφὴν τὴν ἑαυτοῦ φθίσιν παρέχον καὶ πάντ' ἐν ἑαυτῷ καὶ ὑφ' ἑαυτοῦ πάσχον καὶ δρῶν ἐκ τέχνης γέγονεν· ἠγήσατο γὰρ αὐτὸ ὁ συνθεὶς αὔταρκες ὂν ἄμεινον ἔσεσθαι μᾶλλον ἢ προσδεὲς ⟨ἄλλων⟩."

(13.) Ἀποδεικτικώτατός γε μὴν κἀκεῖνος ὁ λόγος ἐστίν, ἐφ' ᾧ 39
μυρίους οἶδα σεμνυνομένους ὡς ἠκριβωμένῳ καὶ πάνυ ἀνεξελέγκτῳ.
p. 500 M. πυνθάνονται γάρ· τίνος ἕνεκα τὸν κόσμον φθερεῖ ὁ θεός; ἤτοι γὰρ | ὑπὲρ τοῦ μηκέτι κοσμοποιῆσαι ἢ ὑπὲρ τοῦ ἕτερον κατασκευάσαι. τὸ μὲν 40
οὐ πρότερον ἀλλότριον θεοῦ· πρὸς τάξιν γὰρ ἀταξίαν μεταβάλλειν δέον, οὐ πρὸς ἀταξίαν τάξιν· εἶτα δ' ὅτι καὶ μετάνοιαν πάθος καὶ νόσημα δέξεται ψυχῆς· ἔδει γὰρ ἢ μὴ κοσμοποιῆσαι τὸ παράπαν ἢ κρίνοντα πρέπον αὐτῷ τὸ ἔργον χαίρειν τῷ γενομένῳ. τὸ δὲ δεύτερον ἄξιον οὐ 41
βραχείας ἐρεύνης. εἰ γὰρ ἕτερον ἀντὶ τοῦ νῦν ὄντος κατασκευάσει, πάντως ὁ γενόμενος ἢ χείρων ἢ ὅμοιος ἢ κρειττων ἀποτελεσθήσεται· ὧν ἕκαστον ἐπίληπτον. εἰ μὲν γὰρ χείρων ὁ κόσμος, χείρων καὶ ὁ δημιουργός. ἀμώμητα δὲ καὶ ἀνεξέλεγκτα καὶ ἀνεπανόρθωτα τὰ τοῦ θεοῦ τελειοτάτῃ τέχνῃ καὶ ἐπιστήμῃ δημιουργηθέντα·

„οὐδὲ" γὰρ „γυνὴ" φασί „τοσσόνδε νόου ἐπιδεύεται ἐσθλοῦ,
ὥστε χερειόν' ἐλέσθαι ἀμεινοτέρων ⟨παρεόντων⟩."

ἐμπρεπὲς δὲ θεῷ τὰ ἄμορφα μορφοῦν καὶ τοῖς αἰσχίστοις περιτιθέναι

---

1 οὐδὲν γὰρ ἦν om. UE αὐτὸ Plato: αὐτὸς codd. (Turn. Mang.) γὰρ om. L (Turn.) φθίσιν] φύσιν E παρέχον Plato: παρέχων codd. (Turn. Mang.) 2 πάντ' M: πάντα UHPE πάσχον Plato: πάσχων codd. (Turn. Mang.) γέγονεν ἀρίστης E 3 αὐτὸ HPE, ex αὐτῷ ut videtur corr. M: αὐτὸς U ὂν] ἦν HP 4 ἄλλων add. Mang. (ex Platone): om. codd. 6 ἠκριβωμένων καὶ πάνυ ἀνεξελέγκτων M 7 ἕνεκε M φθερεῖ Gomperz (sic etiam E cod. b): φθείρει codd. 9 μεταβαλεῖν coni. Diels 11 ἢ μὴ E (cod. a): ἢ om. MUHP 12 αὐτῷ codd. ἄξιον οὐ] ἄξιόν που Cumont 13 καὶ ἕτερον U 14 ὁ γινόμενος coni. Buecheler ἢ κρειττων ἢ ὅμοιος transp. E 17 ante τελειοτάτῃ add. τὰ M; ⟨ἅτε⟩ τελειοτάτῃ Bernays 18. 19 οὐδὲ — ἀμεινοτέρων παρεόντων om. E 18 τοσσόνδε M: τοσόνδε UHP ἐπιδεύεται UP: ἐπιτηδεύεται H, ἐπιλείπεται M 19 χερειόν' U (coni. Meineke): χέρειον MHP (v) παρεόντων add. Mang. (Bergk) 20 ἐμπρεπὲς MH (et P ut vid.): εὐπρεπὲς UE τῷ θεῷ U αἰσχί(στοις) in ras. M

---

5 sqq. Arist. frg. 21 (ed. Rose, Lips. 1886). 10 cf. Arist. ap. Cic. Acad. pr. II 119 (frg. 22 Rose). 18. 19 versus ignoti poetae (Bergk, Poetae lyr. gr. II⁴ 73). emendandus hinc Philodem. Rhet. p. 324 (Sudh.). cf. Theogn. v. 21.

42 θαυμαστὰ κάλλη. εἰ δ' ὅμοιος, ματαιοπόνος ὁ τεχνίτης, οὐδὲν κομιδῇ νηπίων παίδων διαφέρων, οἳ πολλάκις παρ' αἰγιαλοῖς ἀθύροντες ψάμμου γεωλόφους ἀνιστᾶσι κἄπειθ' ὑφαιροῦντες ταῖς χερσὶ πάλιν ἐρείπουσι· πολὺ γὰρ ἄμεινον τοῦ κατασκευάζειν ὅμοιον μηδὲν μήτε ἀφαιροῦντα μήτε προστιθέντα μηδ' αὖ πρὸς τὸ ἄμεινον ἢ χεῖρον μεταβάλλοντα τὸν ἐξ ἀρχῆς
43 ἅπαξ γενόμενον κατὰ χώραν ἐᾶν. εἰ δὲ κρείττονα δημιουργήσει, γενήσεται τότε κρειττων καὶ ὁ δημιουργός, ὥσθ' ἡνίκα τὸν πρότερον κατεσκεύαζε καὶ τὴν τέχνην καὶ τὴν διάνοιαν ἦν ἀτελέστερος, ὅπερ οὐδὲ θέμις ὑπονοεῖν ἐστιν· ἴσος γὰρ αὐτὸς ἑαυτῷ καὶ ὅμοιος ὁ θεός, μήτε ἄνεσιν πρὸς τὸ χεῖρον μήτ' ἐπίτασιν πρὸς τὸ βέλτιον δεχόμενος. ἐπὶ δὲ τὰς τοιαύτας ἀνωμαλίας ἄνθρωποι κεχωρήκασι, πρὸς ἑκάτερον τό τε εὖ καὶ τὸ χεῖρον πεφυκότες μεταβάλλειν, αὐξήσεσι καὶ προκοπαῖς καὶ βελτιώσεσι καὶ πᾶσι
44 τοῖς ἐναντίοις εἰωθότες χρῆσθαι. πρὸς δὲ τούτοις τὰ μὲν τῶν θνητῶν ἔργα ἡμῶν φθαρτὰ δεόντως ἂν γένοιτο, τὰ δὲ τοῦ ἀθανάτου κατὰ τὸν εἰκότα λόγον ἄφθαρτα δήπου· τῇ γὰρ φύσει τῶν τεχνιτῶν εὔλογον τὰ δημιουργηθέντα ἐξομοιοῦσθαι.

45 (14.) Καὶ μὴν ἅπαντί τῳ κἀκεῖνο δῆλον, ὅτι φθειρομένης μὲν τῆς γῆς ἀνάγκη καὶ τὰ χερσαῖα τῶν ζῴων καθ' ὅλον τὸ γένος ἀπόλλυσθαι. φθειρομένου δὲ ὕδατος τὰ ἔνυδρα, καὶ ἀέρος μέντοι καὶ πυρὸς τὰ ἀερο-

---

1 ματαιοπόνος HP: ματαιοπόνω M, μάταιος U, om. E οὐδὲ H et P ut vid. (Turn.) κομιδὴν U 2 ψάμμου P: ψάμμους UHE, ψάμους M 3 ἀνιστᾶσι MUE: διανιστᾶσι HP (v) 5 μηδ' αὖ MHP: μήτε UE (μήτ' αὖ v) 6 γενόμενον ἅπαξ transp. UE εἰ δὲ] εἰδὸς U 7 τὸν πρότερον om. E (τὸ πρότερον v) 8 οὐδὲ] οὐ U (et E cod. a) 9 ἐστιν om. E ἴσος γὰρ — χρῆσθαι (13) om. E ὅμοιός ἐστιν ὁ θεός U 10 βέλτιον M: βέλτιστον UHP 12 πᾶσι] πάλιν coni. Wendl. 13 δὲ om. HP 14 τοῦ θανάτου M 15 εἰκότα E (conieceram): ἐοικότα MUHP (v) 17 Καὶ μὴν — 97,6 καὶ ἀκραιφνέστατος νοῦς om. E ἅπαντί τῳ scripsi: ἅπαντί που codd. 19 δὲ om. U

---

1 sqq. cf. Hom. Il. Ω 362 sqq.

ὡς ὅτε τις ψάμαθον παῖς ἄγχι θαλάσσης,
ὅς τ' ἐπεὶ οὖν ποιήσῃ ἀθύρματα νηπιέῃσιν
ἄψ' αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων.

Nemesius de natura hominis cap. 2 p. 107 (Matthaei) κομιδῇ γὰρ νηπίων παίδων ὁ τρόπος οὗτος (scil. τὸ διαφθείρεσθαι τὸν κόσμον) ἐν ψάμμῳ τῆς παιδιᾶς εὐθὺς μετὰ τὸ πληρῶσαι συγχεόντων τὰ γενόμενα. Zachar. Mityl. de mundi opif. p. 89 (Boissonade) ὅτου χάριν ἀπόλλυσι τὸ ἄριστον τῶν γεγονότων; ἤτοι γὰρ καλλίονα ποιήσων; καὶ οὐ δυνατόν. ἢ χείρονα; καὶ οὐ θέμις. ἢ ὅμοιον; ἀλλὰ παιδικὸν ἄθυρμα τοῦτό γε παρ' ἡϊόνα παίζοντων καὶ ἐκ ψάμμου οἴκους συντιθέντων καὶ λυόντων. τίς γὰρ οὕτω ματαιοπόνος τεχνίτης, ὡς ἐναλλάττειν ἑαυτοῦ τὰ καλῶς τῶν ἔργων γεγονότα.

πόρα καὶ πυρίγονα. κατ' ἀνάλογον οὖν εἰ φθείρεται ὁ οὐρανός, φθαρήσεται 46
μὲν ἥλιος καὶ σελήνη, φθαρήσονται δ' οἱ λοιποὶ πλάνητες, φθαρήσονται
p. 501 M. δ' οἱ ἀπλανεῖς ἀστέρες, ὁ τοσοῦτος | αἰσθητῶν θεῶν εὐδαίμων τὸ πάλαι
νομισθεὶς στρατός. ὃ δὴ [εἰ] γένοιτ' ἂν οὐδὲν ἕτερον ἢ θεοὺς φθειρο-
μένους ὑπονοεῖν· ἴσον γάρ ἐστι τῷ καὶ ἀνθρώπους ἀθανάτους ὑπονοεῖν.
καίτοι τις ἐν ἀτίμων συγκρίσει τοῦτ' ἂν εὕροι σκοπῶν εὐλογώτερον ἐκεί-
νου· χάριτι μὲν γὰρ θεοῦ θνητὸν ἀθανασίας μεταλαχεῖν εἰκός ἐστιν,
ἀφθαρσίαν δὲ θεοὺς ἀποβαλεῖν ἀδύνατον, κἂν αἱ ἀνθρώπων σοφίαι
κακομανῶσι. καὶ μὴν οἵ γε τὰς ἐκπυρώσεις καὶ τὰς παλιγγενεσίας εἰση- 47
γούμενοι τοῦ κόσμου νομίζουσι καὶ ὁμολογοῦσι τοὺς ἀστέρας θεοὺς εἶναι,
οὓς τῷ λόγῳ διαφθείρειν οὐκ ἐρυθριῶσιν. ἔδει γὰρ ἢ μύδρους διαπύρους
ἀποφήνασθαι, καθάπερ ἔνιοι τῶν οἷα περὶ δεσμωτηρίου φλυαρούντων τοῦ
σύμπαντος οὐρανοῦ, ἢ θείας ἢ δαιμονίας φύσεις νομίζοντας τὴν ἁρμότ-
τουσαν θεοῖς ἀφθαρσίαν προσομολογῆσαι. νυνὶ δὲ τοσοῦτον δόξης ἀληθοῦς
διήμαρτον, ὥστε λελήθασιν αὑτοὺς καὶ τῇ προνοίᾳ — ψυχὴ δ' ἐστὶ
τοῦ κόσμου — φθορὰν ἐπιφέροντες ἐξ ὧν ἀνακόλουθα φιλοσοφοῦσι.
Χρύσιππος γοῦν ὁ δοκιμώτατος τῶν παρ' αὐτοῖς ἐν τοῖς Περὶ αὐξανομένου 48
τερατεύεταί τι τοιοῦτον· προκατασκευάσας ὅτι „δύο ἰδίως ποιὰ ἐπὶ τῆς
αὐτῆς οὐσίας ἀμήχανον συστῆναι", φησίν· „ἔστω θεωρίας ἕνεκα τὸν μέν

---

1 κατ' ἀνάλογον MU: κατὰ λόγον HP (Turn.) 2 μὲν om. L (Turn.) ἥλιος] καὶ ἥλιος Mang. πλανῆται, συμφθαρήσονται U 3 θεῶν v (Turn.): θεοῦ codd. 4 ὃ δὴ v (Turn.): ὃ δὴ εἰ codd.; verba ἢ θεοὺς φθειρομένους ὑπονοεῖν a librario addita et Philonem tantum οὗ δὴ τί γένοιτ' ἂν αἰδοιότερον; vel simile quid scripsisse putavit Cumont; οὗ δὴ τί γένοιτ' ἂν εὐηθέστερον ἢ κτλ. coni. Wendl. 5 τῷ UHP: τὸ M; ἴσον δ' ἐστὶ τὸ Bernays 6 καίτοι τις Wendl.: καὶ τοῖς M, τοῖς (om. καὶ) U, καίτοι HP (v); καί τις coni. Buecheler ἀτίμῳ M εὕροι M: εὕροις HP (v), εὑρεῖ U 6. 7 ἐκείνους U 7 χάριτι μὲν γὰρ θεοῦ θνητὸν Buecheler: χάριτι μὲν θεοῦ ὄν· θνητὸν γὰρ MU, χάριτι μὲν θεοῦ ὄν· θνητὸν μὲν γὰρ HP (χάριτι θεοῦ ὄν· θνητὸν μὲν γὰρ v) θεοῦ] θεῶν Diels (Cumont)
κο
εἰκός ἐστιν] εἰ πρόσεστι U 9 καταμανῶσι L οἵ γε Buecheler: οἵ τε codd. 11 τοῦ λόγου M μύδρους] μύλους coni. Mang., sed cf. de somn. I § 22 12 ἀποφήνεσθαι M περὶ] ὑπὸ U 13 νομίζοντας HP: νομίζουσαν MU 13. 14 ἁρμόζουσαν U 15 ὥστε om. in lac. M αὐτοὺς codd. 16 φιλοσοφοῦσιν M 17 γοῦν MU: οὖν HP (v) 18 ante προκατασκευάσας add. καὶ v (Turn.), om. codd. δύο ἰδίως ποιὰ Cumont: δύο εἰδοποιοὺς codd. δύο ἰδίως ποιοὺς hic et infra Arnim)

---

11 Diog. La. II 8 οὗτος (Ἀναξαγόρας) ἔλεγε τὸν ἥλιον μύδρον εἶναι διάπυρον. Aet. Plac. II 13, 6 (Doxogr. p. 342, 1) Ἀρχέλαος μύδρους ἔφησεν εἶναι τοὺς ἀστέρας, διαπύρους δέ. 17 Chrys. frg. 397 (Arnim). cf. Doxogr. p. 462, 22 (de Posidonio) ἐπὶ ⟨δὲ⟩ τῶν ἰδίως ποιῶν οἷον Διωνος καὶ Θέωνος καὶ αὐξήσεις καὶ μειώσεις γίνεσθαι.

τινα ὁλόκληρον, τὸν δὲ χωρὶς ἐπινοεῖσθαι τοῦ ἑτέρου ποδός, καλεῖσθαι δὲ τὸν μὲν ὁλόκληρον Δίωνα, τὸν δὲ ἀτελῆ Θέωνα, κἄπειτα ἀποτέμνεσθαι Δίωνος τὸν ἕτερον τοῖν ποδοῖν". ζητουμένου δή, πότερος ἔφθαρται, τὸν Θέωνα φάσκειν οἰκειότερον εἶναι. τοῦτο δὲ παραδοξολογοῦντος μᾶλλόν
49 ἐστιν ἢ ἀληθεύοντος. πῶς γὰρ ὁ μὲν οὐδὲν ἀκρωτηριασθεὶς μέρος, ὁ Θέων, ἀνήρπασται, ὁ δ' ἀποκοπεὶς τὸν πόδα Δίων οὐχὶ διέφθαρται; „δεόντως" φησίν· „ἀναδεδράμηκε γὰρ ὁ ἐκτμηθεὶς τὸν πόδα Δίων ἐπὶ τὴν ἀτελῆ τοῦ Θέωνος οὐσίαν, καὶ δύο ἰδίως ποιὰ περὶ τὸ αὐτὸ ὑποκείμενον οὐ δύνατ' εἶναι. τοιγαροῦν τὸν μὲν Δίωνα μένειν ἀναγκαῖον, τὸν δὲ Θέωνα διεφθάρθαι."

„τὰ δ' οὐχ ὑπ' ἄλλων ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
ἁλισκόμενα"

φησὶν ὁ τραγικός· ἀπομαξάμενος γάρ τις τὸν | τύπον τοῦ λόγου καὶ p.502 M.
ἐφαρμόσας τῷ παντὶ κόσμῳ δείξει σαφέστατα καὶ αὐτὴν φθειρομένην
50 τὴν πρόνοιαν. σκόπει δ' ὧδε· ὑποκείσθω τὸ μὲν ὡσανεὶ Δίων ὁ κόσμος — τέλειος γάρ —, τὸ δὲ ὡσανεὶ Θέων ἡ τοῦ κόσμου ψυχή, διότι τοῦ ὅλου τὸ μέρος ἔλαττον, καὶ ἀφαιρείσθω, ὥσπερ ἀπὸ τοῦ Δίωνος ὁ πούς,
51 οὕτως καὶ ἀπὸ τοῦ κόσμου ὅσον αὐτοῦ σωματοειδές. οὐκοῦν ἀνάγκη λέγειν ὅτι ὁ μὲν κόσμος οὐκ ἔφθαρται ὁ τὸ σῶμα ἀφαιρεθείς, ὥσπερ οὐδὲ ὁ ἀποκοπεὶς τὸν πόδα Δίων, ἀλλ' ἡ τοῦ κόσμου ψυχή, ὥσπερ Θέων ὁ μηδὲν παθών. ὁ μὲν γὰρ κόσμος ἐπ' ἐλάττονα οὐσίαν ἀνέδραμεν, ἀφαιρεθέντος αὐτῷ τοῦ σωματοειδοῦς, ἐφθάρη δ' ἡ ψυχὴ διὰ τὸ μὴ δύνασθαι δύο ἰδίως ποιὰ εἶναι περὶ τὸ αὐτὸ ὑποκείμενον. ἔκθεσμον δὲ τὸ λέγειν φθείρεσθαι τὴν πρόνοιαν· ἀφθάρτου δὲ ὑπαρχούσης, ἀνάγκη καὶ τὸν κόσμον ἄφθαρτον εἶναι.

---

1 τοῦ ante ἑτέρου om. L (Turn.) 2 κἄπειτα codd.: κἄπειτ' Cumont 3 ζητημένου M 4 τὸν ante Θέωνα om. U 4. 5 ἐστὶ μᾶλλον transp. U 5 οὐδὲν om. M 6 ἀνήρπασται] ἔφθαρται coni. Mang., πεπήρωται coni. Wendl. διέφθαρται M: ἔφθαρται UHP (v) 7 ὁ ἐκτμηθεὶς MU: οὐ τμηθεὶς H(P); οὐκτμηθεὶς Cumont 8 ἰδίως ποιὰ Cumont: εἰδοποιοὶ codd. (ἰδίως ποιοὶ Arnim) περὶ MU: ἐπὶ HP (v) τὸ αὐτὸ ὑποκείμενον Bernays (cf. l. 23): τοῦ αὐτοῦ ὑποκειμένου codd. 9 δύνατ' HP: δύναται U, δύνανται M (δύναντ' v) 10 διεφθάρθαι M: ἐφθάρθαι UHP (v) 11 ὑπ' ἄλλην M αὐτῶν codd. 14 αὐτὴν MU: τὴν αὐτὴν HP (v) 15 δὲ M τὸ μὲν Cumont: ὁ μὲν codd. 16 τὸ δὲ Cumont: ὁ δὲ codd. 18 οὕτως MU: οὕτω HP ⟨τὸ⟩ ὅσον conicio, ⟨πᾶν⟩ ὅσον coni. Cumont αὐτοῦ] αὐτῷ U 20. 21 ὁ μηδὲν παθὼν MHP: μηδέν τι παθών U 22 αὐτῷ] αὐτοῦ P 23 ἰδίως ποιὰ Cumont: εἰδοποιοὺς codd. 24 δὲ MHP: δ' U

---

11 Aesch. frgm. 139, 4.

(15.) Μεγίστην μέντοι παρέχεται πίστιν εἰς ἀιδιότητα καὶ ὁ χρόνος. 52
εἰ γὰρ ἀγένητος ὁ χρόνος, ἐξ ἀνάγκης καὶ ὁ κόσμος ἀγένητος. διὰ τί;
ὅτι, ᾗ φησιν ὁ μέγας Πλάτων, ἡμέραι καὶ νύκτες μῆνές τε καὶ ἐνιαυτῶν
περίοδοι χρόνον ἔδειξαν. ἀμήχανον δέ τι τούτων συστῆναι δίχα ἡλίου
κινήσεως καὶ τῆς τοῦ παντὸς οὐρανοῦ περιφορᾶς· ὥστ' εὐθυβόλως ἀποδε-
δόσθαι πρὸς τῶν εἰωθότων τὰ πράγματα ὁρίζεσθαι χρόνον διάστημα τῆς
τοῦ κόσμου κινήσεως. ἐπεὶ δὲ τοῦθ' ὑγιές ἐστι, γίνεται ὁ κόσμος ἰσῆλιξ 53
τοῦ χρόνου καὶ αἴτιος. πάντων δ' ἀτοπώτατον ὑπονοεῖν, ὅτι ἦν ποτε
κόσμος, ἡνίκα οὐκ ἦν χρόνος· ἄναρχος γὰρ καὶ ἀτελεύτητος ἡ τούτου
φύσις, ἐπεὶ καὶ αὐτὰ ταῦτα, τὸ ἦν, τὸ ποτέ, τὸ ἡνίκα, χρόνον συνεμφαίνει.
p.492,10 M. τούτῳ δ' ἀκόλουθον τὸ μηδὲ χρόνον | ὑποστῆναι καθ' ἑαυτόν, ἡνίκα
κόσμος οὐκ ἦν· τὸ γὰρ μὴ ὑπάρχον οὐδὲ κινεῖται· διάστημα δὲ κοσμικῆς
κινήσεως ἐδείχθη ὁ χρόνος ὤν. ἀνάγκη τοίνυν ἑκάτερον ἐξ ἀιδίου ὑφε-
στάναι γενέσεως ἀρχὴν μὴ λαβόντα· τὰ δ' ἀίδια φθορᾶς ἀνεπίδεκτα. τάχα 54
τις εὑρεσιλογῶν Στωικὸς ἐρεῖ, τὸν χρόνον ἀποδεδόσθαι διάστημα τῆς τοῦ
κόσμου κινήσεως οὐχὶ τοῦ νυνὶ διακεκοσμημένου μόνον ἀλλὰ καὶ τοῦ
κατὰ τὴν ἐκπύρωσιν ὑπονοουμένου. πρὸς ὃν λεκτέον· τὴν ἀκοσμίαν, ὦ
γενναῖε, μετατιθεὶς τὰ ὀνόματα κόσμον καλεῖς· εἰ γὰρ οὗτος ὃν ὁρῶμεν

---

1 πίστιν ss. M 2 ἀγένητος (utrumque) M: ἀγέννητος UHP 4 δέ τι τούτων M: δ' ἐπὶ τούτων U, δέ πη τοῦτον HP (v) ἡλίου δίχα transp. M 5 καὶ τῆς UHP: καὶ ἐπὶ τῆς M; καὶ ἔτι τῆς Bernays 7 τοῦ ante κόσμου om. HP ἐπεὶ δὲ M: ἐπειδὴ δὲ U, ἔπειτα δὲ HP (ἔπειτ' οὐδὲ Turn.) ἐστιν H ὁ γὰρ κόσμος Turn. ἰσήληξ M, ἀπῆλιξ H (ἀφῆλιξ Turn.) 8 δὲ M 9 κόσμος Bernays: χρόνος MUP, ὁ χρόνος H χρόνος Bernays: κόσμος codd. γὰρ καὶ] καὶ γὰρ U 10 ἦν] ᾗ H συνεμφαίνει MU: συνυφαίνει HP (Turn.) 11 δὲ M ἀκόλουθον codd.: ἀκολουθῶν v ὑποστῆναι — 97, 3 συνεπιγραψάμενος ante 80, 18 κατὰ τὸ παντελὲς tradunt codd., huc reduxit Bernays 12 κοσμικῆς mg P, χρονικῆς in textu P 14 τὰ δ' αἰδια φθορᾶς Bernays: τὰ δὲ διαφθορᾶς codd. 15 εὑρεσιλογῶν] εὑρεσιλόγων U, εὑρησιλογῶν M, εὑρήσει λόγων HP 16 νυνὶ διακεκοσμημένου Bernays: νῦν ἰδία κεκοσμημένου codd. (νῦν διακεκοσμημένου coni. iam Mang.) 17 ὑπονοουμένου M: ἐπινοουμένου UHP (v)

---

3 Plat. Tim. 37 e ἡμέρας γὰρ καὶ νύκτας καὶ μῆνας καὶ ἐνιαυτοὺς οὐκ ὄντας, πρὶν οὐρανὸν γενέσθαι, τότε ἅμα ἐκείνῳ ξυνισταμένῳ τὴν γένεσιν αὐτῶν μηχανᾶται· ταῦτα δὲ πάντα μέρη χρόνου, καὶ τό τ' ἦν τό τ' ἔσται χρόνου γεγονότα εἴδη. 6 sq. Doxogr. p. 461, 4 Ζήνων ἔφησε χρόνον εἶναι κινήσεως διάστημα (Zeno frg. 93 Arnim) ... Ἀπολλόδωρος δ' ἐν τῇ Φυσικῇ Τέχνῃ οὕτως ὁρίζεται τὸν χρόνον· χρόνος δ' ἐστὶ τῆς τοῦ κόσμου κινήσεως διάστημα. (idem traditur de Chrysippo et Posidonio ibid. l. 23. 13.) Sext. Emp. Pyrrh. Hypot. III 136 χρόνον γὰρ εἶναί φασιν οἱ μὲν διάστημα τῆς τοῦ ὅλου κινήσεως (ὅλον δὲ λέγω τὸν κόσμον), οἱ δὲ αὐτὴν τὴν κίνησιν τοῦ κόσμου. Diog. La. VII 141 ἔτι δὲ καὶ τὸν χρόνον ἀσώματον, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως.

ἑτύμως καὶ προσφυέστατα κόσμος κέκληται, διατεταγμένος καὶ διακεκοσμημένος ἀνεπανορθώτου τέχνης ἀκρότητι, τὴν πρὸς τὸ πῦρ αὐτοῦ μεταβολὴν δεόντως ἄν τις ἀκοσμίαν ὀνομάσαι.

55 (6.) Κριτόλαος δέ ⟨τις⟩ τῶν κεχορευκότων Μούσαις, τῆς Περιπατητικῆς ἐραστὴς φιλοσοφίας, τῷ περὶ τῆς ἀιδιότητος κόσμου δόγματι συνειπὼν ἐχρήσατο τοιαύταις πίστεσιν· εἰ γέγονεν ὁ κόσμος, ἀνάγκη καὶ τὴν γῆν γεγονέναι· εἰ δὲ ἡ γῆ γενητή, πάντως καὶ τὸ ἀνθρώπων γένος· ἄνθρωπος δὲ ἀγέννητον, ἐξ ἀιδίου τοῦ γένους ὑφεστῶτος, ὥσπερ ἐπι-
56 δειχθήσεται· ἀίδιος ἄρα καὶ ὁ κόσμος. τὸ δὲ ὑπερτεθὲν ἤδη κατασκευαστέον, εἰ δεῖ καὶ ἀποδείξεως τοῖς οὕτως ἐμφανέσι· δεῖ δέ, ὡς ἔοικεν, ἕνεκα τῶν μυθοπλαστῶν, οἳ ψευσμάτων ἀναπλήσαντες τὸν βίον ἀλήθειαν ὑπερόριον πεφυγαδεύκασιν, οὐ μόνον πόλεις καὶ οἴκους ἀλλὰ καὶ ἕνα ἕκαστον τοῦ ⟨ἀρίστου⟩ κτήματος χηρεύειν βιασάμενοι καὶ πρὸς τὸ τῆς φράσεως ὀλκὸν μέτρα καὶ ῥυθμοὺς δέλεαρ εἰς ἐνέδραν ἐπινοήσαντες, οἷς ἀφρόνων ὦτα καταθηγεύουσι, καθάπερ ὀφθαλμοὺς αἱ ἄμορφοι καὶ εἰδεχ-
57 θεῖς ἑταῖραι περιάπτοις καὶ νόθῳ κόσμῳ χηρείᾳ γνησίου. λέγουσι γὰρ ὅτι ἡ ἐξ ἀλλήλων γένεσις ἀνθρώπων νεώτερον φύσεως ἔργον, ἀρχεγονώτερον δὲ καὶ πρεσβύτερον | ἡ ἐκ γῆς, ἐπειδὴ πάντων μήτηρ ἐστί τε p.493M. καὶ νενόμισται· τοὺς δὲ ἀδομένους παρ' Ἕλλησι Σπαρτοὺς ἐκφῦναι,
58 καθάπερ νῦν τὰ δένδρα, τελείους καὶ ἐνόπλους γῆς παῖδας. ὅτι δὲ μύθου πλάσμα τοῦτ' ἐστί, συνιδεῖν ἐκ πολλῶν ῥᾴδιον. αὐτίκα τῷ πρώτῳ

---

1 ἑτύμως] ἑτοίμως HP ⟨ἅτε⟩ διατεταγμένος Bernays 2 ἀνεπανορθώτου Buecheler (cf. 85, 16): ἅτ' ἐπ' ἀνθρώπου codd. (ἅτ' ἀπ' ἀνθρώπου v) πρὸς τὸ πῦρ M: πρὸς πῦρ HP (Turn.), πῦρ (om. πρὸς τὸ) U 4 τις addidi; εἰς add. Mang., post Μούσαις intercidisse κορυφαῖος vel aliquid huiusmodi putavit Buecheler κεχορευκότων] συγκεχορευκότων coni. Mang.; sed cf. quod omn. prob. lib. § 62 4. 5 περιπατητικῆς etiam M (non περιπατητικῶ) 5 τῶ περὶ U: τῶν περὶ M, τῶ παρὰ HP 6 πίστεσι M, πίστευσιν H εἰ om. M 7 ἡ δὲ ἡ γῆ H γεννητὴ UH 8 ἀγέννητον UHP τοῦ γένους MHP: τὸ γένος U ὑφεστῶτος Cumont: ὑφεστώς UHP, ὑποστάς M 9. 10 ἀίδιος—κατασκευαστέον om. HP (Turn.) 10 καὶ ἀποδείξεως codd.: καὶ om. Cumont δέ MH: δ' HP 11 ἕνεκα] ἕνα M 12 πεφυγανεύκασιν H 13 ἀρίστου add. Wendl. κτήματα M πρὸς τὸ Mang.: πρὸς τὸν codd. 14 φράσεως Bernays: ὁράσεως codd.; ῥήσεως coni. Mang. 17 γένεσιν M 17. 18 ἀρχεγονότερον M 18 ἐστί τε M: τε om. UHP (v) 19 post ἐκφῦναι add. λέγουσι U (λέγουσιν ἐκφῦναι Mang.) 20 νῦν] αὖ U 21 ἐκ πολλῶν ῥᾴδιον M

---

18 sqq. Sext. Emp. adv. Mathem. IX 28 τῶν δὲ νεωτέρων Στωικῶν φασί τινες τοὺς πρώτους καὶ γηγενεῖς τῶν ἀνθρώπων κατὰ πολὺ τῶν νῦν συνέσει διαφέροντας γεγονέναι. 19 Σπαρτούς: cf. Schol. Pind. Isthm. VII 13. Schol. Eur. Phoen. 670. Apollod. Bibl. III 23.

γενομένῳ ἕδει καθ' ὡρισμένα μέτρα καὶ ἀριθμοὺς χρόνων αὐξήσεως· βαθμοὺς γάρ τινας ἡ φύσις τὰς ἡλικίας ἐγέννησε, δι' ὧν τρόπον τινὰ ἀναβαίνει καὶ κάτεισιν ἄνθρωπος, ἀναβαίνει μὲν αὐξόμενος, κατέρχεται δ' ἐν ταῖς μειώσεσιν· ὅρος δ' ὁ τῶν ἀνωτάτω βαθμῶν ἀκμή, πρὸς ὃν φθάσας τις οὐκέτι πρόεισιν, ἀλλ', ὥσπερ οἱ διαυλοδρομοῦντες ἀνακάμπτουσι τὴν αὐτὴν ὁδόν, ὅσα παρ' ἰσχυούσης νεότητος ἔλαβεν, ἀποδίδωσιν ἀσθενεῖ γήρᾳ. τὸ δὲ γεννηθῆναί τινας οἴεσθαι τελείους ἐξ ⟨ἀρχῆς⟩ ἠγνοηκότων 59 ἐστὶ νόμους φύσεως, θεσμοὺς ἀκινήτους. αἱ μὲν γὰρ ἡμέτεραι γνῶμαι προσαναματτόμεναι τὸ πλημμελὲς ἐκ τοῦ συνεζευγμένου θνητοῦ τροπὰς καὶ μεταβολὰς εἰκότως ἐνδέχονται, ἄτρεπτα δὲ τὰ τῆς τῶν ὅλων ἐστὶ φύσεως, ἅτε πάντων ἐπικρατούσης καὶ διὰ βεβαιότητα τῶν ἅπαξ γνωσθέντων τοὺς ἐξ ἀρχῆς παγέντας ὅρους ἀκινήτους διαφυλαττούσης. εἴπερ οὖν 60 ἁρμόττον ἐνόμιζεν ἀποτίκτεσθαι τελείους, καὶ νῦν ἂν ἐτελειογονεῖτο ἄνθρωπος, μὴ βρέφος, μὴ παῖς, μὴ μειράκιον γινόμενος, ἀλλ' ἀνὴρ εὐθὺς ὤν, ἴσως δὲ καὶ πρὸς ἅπαν ἀγήρως καὶ ἀθάνατος· ᾧ γὰρ μὴ αὔξησις, μηδὲ μείωσις πρόσεστιν· αἱ μὲν γὰρ ἄχρι τῆς ἀνδρὸς ἡλικίας μεταβολαὶ κατ' αὔξησιν, αἱ δ' ἀπὸ ταύτης ἄχρι γήρως καὶ τελευτῆς κατὰ μείωσιν συνίστανται· τῷ δὲ μὴ κοινωνοῦντι τῶν προτέρων καὶ τὰς ἑπομένας εὔλογον μὴ ἐπιγίγνεσθαι. τί δ' ἐμποδὼν ἦν ἀνθρώπους καθάπερ φασὶ 61 πρότερον καὶ νῦν βλαστάνειν; οὕτως καὶ ἡ γῆ γεγήρακεν, ὡς διὰ χρόνου μῆκος ἐστειρῶσθαι δοκεῖν; ἀλλ' ἐν ὁμοίῳ μένει νεάζουσα ἀεί, διότι τεταρτη μοῖρα τοῦ παντός ἐστι καὶ ἕνεκα τῆς τοῦ ὅλου διαμονῆς ὀφείλει μὴ φθίνειν, ἐπεὶ καὶ τὰ ἀδελφὰ στοιχεῖα αὐτῆς ὕδωρ ἀήρ τε καὶ πῦρ ἀγήρω διατελεῖ. πίστις δὲ ἐναργὴς τῆς ἀδιαστάτου καὶ ἀιδίου περὶ γῆν ἀκμῆς τὰ 62

---

1 ἕδει] εἶδει U καθωρισμένα U 2 ἐγέννησεν M; ἐπενόησε coni. Mang. 3 δὲ M 4 ταῖς] τοῖς H δὲ M ἀνωτάτω] ἄνω conicio βαθμῶν MU: βαθμὸς HP (Turn.) 6 παρισχυούσης M ἀποδίδωσιν ἀσθενεῖ Bernays: ἀποδιδοὺς ἐν ἀσθενεῖ MHP, ἀποδιδοὺς εὐασθενεῖ U; ἀποδίδωσιν coni. iam Mang. 7 ἐξ ἀρχῆς ἠγνοηκότων scripsi: ἐξηγνοηκότων UHP (ἐξ ἠγνοηκότων Turn.), ἠγνοηκότων M; in ἐξ latere fortasse ἐκ γῆς putavit Diels 10 δὲ om. U τῶν ὅλων M: τῶν om. UHP (Turn.) 13 ἁρμόττον ἐνόμιζεν MU: ἐνόμιζεν ἁρμόττον HP (v) 14 γινόμενος HP: γενόμενος MU ἀλλ' om. L (Turn.) 16 μηδὲ] οὐδὲ conicio; μηδὲ μείωσιν προσεῖναι εὔλογον coni. Wendl. post πρόσεστι spat. c. 7 litt. in M; ἔμπαλιν suppl. Cumont, εἰκότως Bernays (Diels) μὲν γὰρ M (Mang. Bernays): μὲν οὖν UHP (Turn. Cumont) μέχρι (sed με in ras.) P 17 ἄχρι γήρως MU: ἄχρι καὶ γήρως HP (v) 19 ἐπιγίνεσθαι P 20 οὕτως MU: οὕτω HP; οὔπω v (Turn.) 21 μένει] μέμεινε H 22 ἐστιν H 22. 23 φθίνειν HP: φθάνειν MU 24 δ' U

---

7 sqq. cf. Bernays, Theophrastos' Schrift über Frömmigkeit p. 43.

φυόμενα· καθαρθεῖσα γὰρ ἡ ποταμῶν ἀναχύσεσιν, ὥσπερ φασὶν Αἴγυπτον,
ἢ τοῖς ἐτησίοις ὄμβροις τὸν ἐκ τῆς φορᾶς κάματον ὑπανίεται καὶ χαλᾶται,
κἄπειτα διαναπαυσαμένη τὴν οἰκείαν δύναμιν ἀνακτᾶται μέχρι παντελοῦς
ῥώμης, εἶτ' ἄρχεται πάλιν τῆς τῶν ὁμοίων γενέσεως τροφὰς ἀφθόνους
63 ἁπάσαις ζῴων ἰδέαις ἀναδιδοῦσα. (7.) παρ' ὃ μοι δοκοῦσιν | οὐκ p.494M.
ἀπὸ σκοποῦ ποιηταὶ Πανδώραν αὐτὴν ὀνομάσαι, πάντα δωρουμένην [καὶ]
τὰ πρὸς ὠφέλειαν καὶ ἡδονῆς ἀπόλαυσιν οὐ τισὶν ἀλλὰ πᾶσιν ὅσα ψυχῆς
μεμοίραται. εἰ γοῦν τις ἔαρος ἀκμάσαντος πτερωθεὶς ἀρθείη μετάρσιος
καὶ κατίδοι τήν τε ὀρεινὴν καὶ πεδιάδα, τὴν μὲν εὔχορτον καὶ χλοηφόρον
πόας καὶ χιλὸν κριθάς τε καὶ πυροὺς καὶ μυρίας ἄλλας σπαρτῶν φύσεις
ἀναδιδοῦσαν, ἃς τε γεωργοὶ κατεβάλοντο καὶ ἃς ἀπαυτοματίζουσα ἡ τοῦ
ἔτους ὥρα παρέχεται, τὴν δὲ κλάδοις καὶ φυλλάσι κατάσκιον, οἷς ἐπι-
κοσμεῖται τὰ δένδρα, καὶ καρπῶν περιπληθεστάτην, οὐχὶ τῶν πρὸς ἐδωδὴν
μόνον ἀλλὰ καὶ οἷς πόνους ἀκεῖσθαι συμβέβηκεν — ὁ μὲν γὰρ τῆς
ἐλαίας καρπὸς σώματος κάματον ἰᾶται, ὁ δὲ τῆς ἀμπέλου ποθεὶς μετρίως
64 ἐπιχαλᾷ τὰς σφοδρὰς ὀδύνας ψυχῆς —, ἔτι δὲ τὰς ἀπὸ τῶν ἀνθέων
ἀναφερομένας εὐωδεστάτας αὔρας καὶ τὰς τῶν χρωμάτων ἀμυθήτους
ἰδιότητας τέχνῃ δαιμονίῳ πεποικιλμένας, τὴν δ' ὄψιν ἀποκλίνας ἀπὸ
τῶν ἡμέρων ἐν μέρει πάλιν αἰγείρους, κέδρους, πεύκας, ἐλάτας, δρυῶν
ὕψη περιμηκέστατα, τὰς ἄλλας τῶν ἀγρίων συνεχεῖς καὶ βαθείας ὕλας
περιαθρήσειεν, αἳ τὰ πλεῖστα καὶ μέγιστα τῶν ὀρῶν καὶ τὴν πολλὴν ὅση

---

1 καθαρθεῖσα codd.: καταρθεῖσα (*a* κατάρδω *irrigo*) Mang. (Bernays Cumont) 2 φορᾶς Mang.: φθορᾶς codd. 3 οἰκείαν] οἰκίαν M 4 εἶτα M ἀφθόνας (sed ας in ους corr. ut vid.) U 5 παρό H 6 αὐτὴν mg U, αὐτοὺς in textu U καὶ seclusit Bernays 8 μεμοίραται v (Turn.): μεμοίρανται codd. 9 τήν ante τε om. H τε ss. H, om. L (v) ὀρινὴν M 10 χιλῶν M, χυλὸν L (Turn.) πυροὺς] πυρὰς H 11 ἀναδιδοῦσαν U: ας ἀναδιδούσαν (sic) M, ἀναδιδούσας HP κατεβάλοντο MU: κατεβάλλοντο HP ἀπαυτοματίζουσα U 12 φυλλάδι P 14 ἀκεῖσθαι πόνους transp. U 16 τῆς ψυχῆς U ἔτι δὲ καὶ U ἀνθέων M: ἀνθῶν UHP (v): cf. Phryn. p. 454 Lob. 17 εὐωδεστάτας M: εὐοδεστάτας U, εὐωδεστέρας HP (v) χρωμάτων] ἀνθέων M (Bernays) 18 δαιμονία M 19 post πάλιν add. ὄψει U κέδρους U: καὶ κέδρους MHP (v) 20 τὰς ἄλλας codd. (Turn.): τὰς ἄλλων Mang. 21 περιαθρήσειας M

---

1 καθαρθεῖσα: cf. Plat. Tim. 22d ... ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν. 14 πόνους ἀκεῖσθαι: cf. Plat. Menex. 238a ἐλαίου γένεσιν πόνων ἀρωγήν.

βαθύγειος τῆς ὑπορείου συσκιάζουσι, γνώσεται τὴν ἀνένδοτον καὶ ἀκάματον τῆς γῆς ἀεὶ νεαζούσης ἀκμήν· ὥστ' οὐδὲν ἐλαττωθεῖσα τῆς παλαιᾶς 65 ἰσχύος καὶ νῦν ἄν, εἴ γε τὸ πρότερον, ἔτικτεν ἀνθρώπους, ὑπὲρ δυοῖν τοῖν ἀναγκαιοτάτοιν, ἑνὸς μὲν τοῦ μὴ λιποτακτεῖν τάξιν οἰκείαν καὶ μάλιστα ἐν σπορᾷ καὶ γενέσει τοῦ χερσαίων ἁπάντων ἀρίστου καὶ ἡγεμόνος ἀνθρώπου, δευτέρου δὲ γυναικῶν ἐπικουρίας, αἳ κύουσαι μὲν βαρυτάτοις ἄχθεσι δέκα που μῆνας πιέζονται, μέλλουσαι δ' ἀποτίκτειν πολλάκις ὠδῖσιν αὐταῖς ἐναποθνῄσκουσιν. ὅλως τοῦτ' οὐκ εὐήθεια δεινὴ μήτραν 66 ὑπολαμβάνειν γῆν ἐγκεκολπίσθαι πρὸς ἀνθρώπων σποράν; τὸ γὰρ ζῳογονοῦν χωρίον ἐστὶ μήτρα, „φύσεως", ὡς εἶπέ τις, „ἐργαστήριον", ἐν ᾧ ζῷα μόνον διαπλάττεται· τὸ δὲ οὐ γῆς μέρος ἐστίν, ἀλλὰ ζῴου θήλεος, δημιουργηθὲν εἰς γένεσιν· ἐπεὶ καὶ μαζοὺς καθάπερ γυναικὶ γῇ φατέον ἡνίκα ἠνθρωπογόνει προσγενέσθαι, τροφὴν ἵν' ἔχωσιν οἰκείαν οἱ πρῶτον ἀποκυηθέντες· ἀλλὰ γὰρ οὐ ποταμός, οὐ πηγή τις οὐδαμοῦ τῆς οἰκουμένης ἀνθ' ὕδατος μνημονεύεταί ποτε ὀμβρῆσαι γάλα. πρὸς δὲ δὴ 67 τούτοις, ὥσπερ γαλακτοτροφεῖσθαι χρὴ τὸ ἀρτίγονον, οὕτως καὶ τῇ δι' p. 495 M. ἀμπεχόνης σκέπῃ χρῆσθαι διὰ τὰς ἀπὸ κρυμοῦ | καὶ θάλπους ἐγγινομένας τοῖς σώμασι ζημίας, οὗ χάριν μαῖαι καὶ μητέρες, αἷς ἀναγκαία φροντὶς εἰσέρχεται τῶν γεννωμένων, κατασπαργανοῦσι τὰ βρέφη. τοὺς δὲ γηγενεῖς φύντας πῶς οὐκ ἄν τις εὐθὺς διέφθειρε γυμνοὺς ἐαθέντας ἢ ἀέρος κατάψυξις ἢ ἀφ' ἡλίου φλογμός; κρυμοὶ γὰρ καὶ θάλπη κρατήσαντα νόσους καὶ φθορὰς ἀπεργάζονται. ἐπειδὴ δ' ἅπαξ ἤρξαντο ἀλογεῖν ἀληθείας 68 οἱ μυθοπλάσται, τοὺς Σπαρτοὺς ἐκείνους καὶ ἐνόπλους ἐτερατεύσαντο

---

1 ὑπορείου U (coni. Mang.), ὑπορίου M: ὑπερορείου P, ὑπερορεία ut vid. H; ὑπερορίας v (Turn.) συσκιάζουσι MU: σκιάζουσι HP (Turn.) 2 ἀκμῆς M 3 εἴ γε MU: ἤ γε HP, ἦγε L (Turn.) ἔτικ(τεν) in ras. M 4 λειποτακτεῖν UHP (v), λιποτακτὴν M 6 δευτέρου MU: δεύτερον HP γυναικῶν Mang.: γυναικὸς codd. 7 πιέζονται Mang.: βιάζονται codd. δὲ M 8 ἐναποθνήσκουσιν codd.: ἀποθνήσκουσιν v ὅλως] ὅσω U τοῦτ' οὐκ εὐήθεια δεινὴ om. in lac. M τοῦτ' U: τ' HP (om. v) 11 ζῶα codd.: ζῷον Turn. 12 γῇ om. HP (Turn.) 13 ἀνθρωπογόνει (sic) H; ἀνθρωπογονεῖ Turn. ἵν'] ἣν M πρῶτον codd.: πρῶτοι v (Turn.) 15 δὲ om. U 16 χρὴ] δεῖ U ἀρτίγονον] ἀρχίγονον M οὕτως MU: οὕτω HP τῇ] τὸ U 18 σώμασι MU: θάλπουσι HP; τρεφομένοις v (Turn.) 19 εἰσέρχεται Cumont (coll. de sacrif. Ab. et Caini § 39): ἔρχεται codd. γεννωμένων M: γενομένων U, γινομένων HP (Turn.) 21 ἀφ' om. U κρυμοὶ UHP: κρυμνοὶ M 22 ἐπειδὴ codd.: ἐπεὶ v δὲ M 23 καὶ ἐνόπλους om. U

---

10 φύσεως ἐργαστήριον: cf. de spec. leg. III § 33. 109. Leg. ad Gai. II 554 M. dictum auctoris ignoti.

ἐκφῦναι. τίς γὰρ ἦν κατὰ γῆς χαλκουργὸς ἢ τοσοῦτος Ἥφαιστος, ὡς αὐτίκα παντευχίας εὐτρεπίζεσθαι; τίς δὲ τοῖς πρώτοις γενομένοις εἰς ὅπλισιν οἰκειότης; ἡμερώτατον γὰρ ζῷον ὁ ἄνθρωπος, λόγον δωρησαμένης φύσεως αὐτῷ γέρας, ᾧ καὶ τὰ ἐξηγριωμένα πάθη κατεπᾴδεται καὶ τιθασεύεται. πολὺ βέλτιον ἦν ἀνθ' ὅπλων κηρύκεια ἀναδῦναι, συμβατηρίων σπονδῶν σύμβολα, λογικῇ φύσει, ὅπως εἰρήνην πρὸ πολέμου πᾶσι τοῖς
69 πανταχοῦ καταγγέλλῃ. (8.) τὰ μὲν οὖν τῶν ἐπιτειχιζόντων ψευδολογίαν κατὰ τῆς ἀληθείας φλυαρήματα μετρίως ἐξελήλεγκται. χρὴ δ' εὖ εἰδέναι, ὅτι ἐξ ἀιδίου κατὰ διαδοχὰς ἐξ ἀνθρώπων βλαστάνουσιν ἄνθρωποι, σπείροντος μὲν εἰς μήτραν ἀνδρὸς ὡς εἰς ἄρουραν, γυναικὸς δ' ὑποδεχομένης τὰ σπέρματα σωτηρίως, τῆς δὲ φύσεως ἀοράτως ἕκαστα καὶ τῶν τοῦ σώματος καὶ τῶν τῆς ψυχῆς διαπλαττούσης μερῶν καὶ ὅπερ οὐκ ἴσχυσε λαβεῖν ἡμῶν ἕκαστος τοῦθ' ἅπαντι τῷ γένει δωρησαμένης, τὸ ἀθάνατον· μένει γὰρ εἰς ἀεί, φθειρομένων τῶν ἐν εἴδει, τεράστιον ὡς ἀληθῶς καὶ θεῖον ἔργον. εἰ δ' ἀίδιον ἄνθρωπος, βραχεῖα μοῖρα τοῦ παντός, ἀγένητος
70 ὁήπου καὶ ὁ κόσμος, ὥστε ἄφθαρτος.

(9.) Ἐπαγωνιζόμενος δ' ὁ Κριτόλαος ἐχρῆτο καὶ τοιούτῳ λόγῳ· τὸ αἴτιον αὐτῷ τοῦ ὑγιαίνειν ἄνοσόν ἐστιν· ἀλλὰ καὶ τὸ αἴτιον αὐτῷ τοῦ ἀγρυπνεῖν ἄγρυπνόν ἐστιν· εἰ δὲ τοῦτο, καὶ τὸ αἴτιον αὐτῷ τοῦ ὑπάρχειν

---

1 ὕφαιστος P 2 πρώτοις (ο ex α corr.) γενομένοις M 2. 3 εἰς ὅπλισιν Diels: ἰσόπαις ἦν codd.; ὁπλίσεως ἦν Bernays, ὅπλων ἦν Buecheler 3 ἡμερώτερον M (Bernays) ὁ ante ἄνθρωπος om. U 4. 5 τιθασεύεται scripsi: τιθασσεύεται codd. 5 κηρύκεια scripsi (cf. Leg. ad Gai. p. 560, 11 M.): κηρύκια M, κηρύκιον UH (v). oblitt. in P ἀναδῦναι MU: ἀναδοῦναι HP (v) συμβαντηρίων HP 6 σύμβολα] σύμβολον coni. Mang. 7 καταγγέλλει H 8 ἐξελήλεγκται U: ἐξελήλεκται MHP εὖ] αὖ coni. Mang. 10 ὡς εἰς MU: ὡσεὶ HP (v) 11 σωτηρίως] δαιμορίως (sic) U 12 τῶν om. HP ἴσχυσε M(U): ἴσχυε HP (v) 12. 13 ἴσχυσεν ἡμῶν λαβεῖν U 14 τεράστιον] ἄφθαρτον coni. Mang. 15 ἔργον] γένος coni. Mang. ἀγένητος M: ἀγέννητος UHP 17 δὲ M 18 αὐτῷ (bis) U: αὐτῷ MHP ἄνοσον] ἄνθ̄ (i. e. ἄνθρωπος?) M 19 αὐτῷ U: αὐτῷ MHP

---

10 Plat. Tim. 91 d ὡς εἰς ἄρουραν τὴν μήτραν ἀόρατα ὑπὸ σμικρότητος καὶ ἀδιάπλαστα ζῷα κατασπείραντες. cf. Aesch. Septem 737 ματρὸς ἀγνὰν σπείρας ἄρουραν. Eur. Orest. 553 τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα. 14. 15 Plat. Symp. 206 c ἔστι δὲ τοῦτο θεῖον τὸ πρᾶγμα, καὶ τοῦτο ἐν θνητῷ ὄντι τῷ ζῴῳ ἀθάνατον ἔνεστιν, ἡ κύησις καὶ ἡ γέννησις. 19 sqq. Ocell. Luc. I 9 οὕτως οὖν καὶ τὸ τοῖς ἄλλοις αἴτιον γινόμενον τῆς αὐτοτελείας αὐτὸ ἐξ ἑαυτοῦ αὐτοτελές ἐστι, καὶ τὸ τοῖς ἄλλοις αἴτιον γινόμενον τῆς σωτηρίας καὶ διαμονῆς αὐτὸ ἐξ ἑαυτοῦ σῳζόμενον καὶ διαμένον ἐστί ... ὁ δέ γε κόσμος αἴτιός ἐστι τοῖς ἄλλοις καὶ τοῦ εἶναι καὶ τοῦ σῴζεσθαι καὶ τοῦ αὐτοτελῆ εἶναι· αὐτὸς ἄρα ἐξ ἑαυτοῦ ἀίδιός ἐστι καὶ αὐτοτελὴς καὶ διαμένων τὸν πάντα αἰῶνα, καὶ δι' αὐτὸ τοῦτο τοῖς ἄλλοις παραίτιος γινόμενος τῆς διαμονῆς.

ἀίδιόν ἐστιν· αἴτιος δ' ὁ κόσμος αὐτῷ τοῦ ὑπάρχειν, εἴ γε καὶ τοῖς ἄλλοις ἅπασιν· ἀίδιος ἄρα ὁ κόσμος ἐστίν.

Οὐ μὴν ἀλλὰ κἀκεῖνο σκοπεῖν ἄξιον, ὅτι πᾶν τὸ γενόμενον ἐν 71
ἀρχῇ μὲν δεῖ πάντως ἀτελὲς εἶναι, χρόνου δὲ προϊόντος αὔξεσθαι μέχρι παντελοῦς τελειώσεως· ὥστε, εἰ γέγονεν ὁ κόσμος, ἦν μέν ποθ', ἵνα κἀγὼ χρήσωμαι τοῖς ἡλικιῶν ὀνόμασι, κομιδῇ νήπιος, ἐπιβαίνων δ' αὖθις ἐνιαυτῶν περιόδοις καὶ μήκεσι χρόνων ὀψὲ καὶ μόλις ἐτελειώθη· τοῦ
p.496M. γὰρ μακροβιωτάτου βραδεῖα ἐξ ἀνάγκης ἀκμή. τὸν δὲ | κόσμον εἴ τις 72
νομίζει χρήσασθαί ποτε ταῖς τοιαύταις μεταβολαῖς, ἀθεραπεύτῳ μανίᾳ κεκρατημένος μὴ ἀγνοείτω· δῆλον γὰρ ὡς οὐ μόνον αὐτοῦ τὸ σωματοειδὲς αὐξηθήσεται, λήψεται δὲ καὶ ὁ νοῦς ἐπίδοσιν, ἐπεὶ καὶ οἱ φθείροντες αὐτὸν λογικὸν εἶναι ὑπονοοῦσιν. οὐκοῦν ἀνθρώπου τρόπον ἐν ἀρχῇ μὲν 73
τῆς γενέσεως ἄλογος ἔσται, περὶ δὲ τὴν ἀκμάζουσαν ἡλικίαν λογικός· ἅπερ οὐ μόνον λέγειν ἀλλὰ καὶ ὑπονοεῖν ἀσεβές· τὸν γὰρ τελειότατον ὁρατῶν ⟨θεῶν⟩ περίβολον καὶ τοὺς ἐν μέρει περιέχοντα κληρούχους πῶς οὐκ ἄξιον ὑπολαμβάνειν ἀεὶ τέλειον κατά τε σῶμα καὶ ψυχήν, ἀμέτοχον κηρῶν, αἷς τὸ γενητὸν καὶ φθαρτὸν πᾶν συνέζευκται;

(10.) Πρὸς δὲ τούτοις φησὶ τριττὰς αἰτίας δίχα τῶν ἔξωθεν ὑποβε- 74
βλῆσθαι ζῴοις τελευτῆς, νόσον, γῆρας, ἔνδειαν, ὧν οὐδεμιᾷ τὸν κόσμον ἁλωτὸν εἶναι· πεπηγέναι τε γὰρ ἐξ ὅλων τῶν στοιχείων, ὡς ὑπὸ μηδενὸς ὑπολειφθέντος καὶ ἀπελευθεριάζοντος μέρους βιασθῆναι, κατακρατεῖν τε τῶν δυνάμεων, ἐξ ὧν αἱ ἀσθένειαι, τὰς δ' ὑπεικούσας ἄνοσον καὶ ἀγήρων αὐτὸν διαφυλάττειν, αὐταρκέστατόν τε αὐτὸν αὑτῷ καὶ ἀνεπιδεᾶ παντὸς

---

1 αἴτιος δὲ HP αὐτῷ U: αὐτῷ MHP 4 δεῖ πάντως Bernays: δὴ πάντως MU, πάντως δεῖ HP (Turn.); δὴ πάντως δεῖ Mang. 5 ὥστε om. in lac. M 6 νηπίως M 7 μήκεσι] μήκει coni. Mang. 10 ἀγνοείτω v (Turn.): ἀγνοείσθω codd. 13 περὶ δὲ MU: παρὰ (om. δὲ) HP (Turn.) 15 ὁρατῶν θεῶν Cumont: ὁρατ (sic) M, ὁρατὸν UHP (v); ὁρατῶν Bernays, τῶν ὁρατῶν Buecheler περιέχοντα HP: περιέχοντας MU κληρούχους vix sanum putavit Cumont. κλῆδούχους dubitanter coni. Diels 17 γενητὸν M: γεννητὸν UHP φθαρτὸν HP: ἄφθαρτον MU 18 τριτὰς H 20 τε MU: τὸ HP (εἶναι πεπηγέναι· τὸ γὰρ Turn.) ὡς] καὶ U; ὡς ante βιασθῆναι (21) transp. Mang. (Bernays) ex glossemate p. 80, 19 ὑπὸ Buecheler: ἅτε codd. 21 κατακρατῶν M τε codd.: τε καὶ v 22 ἀγήρων Cumont: ἀγήρω MU, ἀγείρω HP 23 prius αὐτὸν] αὐτὴν M αὐτῷ U: αὐτῶ HP, αὐτῶν M παντὸς] πάντως coni. Buecheler: at cf. e. gr. de spec. leg. I § 294 πάντων ἀνεπιδεής

---

11. 12 cf. adnot. ad p. 102, 2.

γεγονέναι, μηδενὸς τῶν εἰς διαμονὴν ὑστερίζοντα, τὰς κενώσεως καὶ πληρώσεως ἐν μέρει διαδοχὰς ἀπωσάμενον, αἷς διὰ τὴν ἄμουσον ἀπληστίαν τὰ ζῷα χρῆσθαι, θάνατον ἀντὶ ζωῆς μνώμενα ἤ, τό γε ἀσφαλέστερον εἰπεῖν, οἰκτρότερον βίον ἀπωλείας.

75 Ἔτι τοίνυν, εἰ μὲν μηδεμία φύσις ἀΐδιος ἑωρᾶτο, ἧττον ἂν ἐδόκουν οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου, μηδὲν γὰρ ἔχοντες παράδειγμα ἀιδιότητος, [ἐδόκουν οἱ φθορὰν εἰσηγούμενοι τοῦ κόσμου ἂν] εὐπροφάσιστα ἀδικεῖν. ἐπεὶ δὲ εἱμαρμένη κατὰ τοὺς ἄριστα φυσιολογοῦντας ἄναρχος καὶ ἀτελεύτητός ἐστιν, εἴρουσα τὰς ἑκάστων ἀνελλιπῶς καὶ ἀδιαστάτως αἰτίας, τί δήποτ' οὐχὶ καὶ τὴν τοῦ κόσμου φύσιν λεκτέον εἶναι μακραίωνα, τὴν τάξιν τῶν ἀτάκτων, τὴν ἁρμονίαν τῶν ἀναρμόστων, τὴν συμφωνίαν τῶν ἀσυμφώνων, τὴν ἕνωσιν τῶν διεστηκότων, τὴν ξύλων μὲν καὶ λίθων ἕξιν, σπαρτῶν δὲ καὶ δένδρων φύσιν, ψυχὴν δὲ ζῴων ἁπάντων, ἀνθρώπων δὲ νοῦν καὶ λόγον, ἀρετὴν δὲ σπουδαίων τελειοτάτην; εἰ δ' ἡ τοῦ κόσμου φύσις ἀγένητός τε καὶ ἄφθαρτος, δῆλον ὅτι καὶ ὁ κόσμος, αἰωνίῳ συνεχόμενος καὶ διακρατούμενος δεσμῷ.

76 Νικηθέντες δὲ ὑπὸ τῆς ἀληθείας καὶ τῶν ἀντιδοξούντων ἔνιοι μετεβάλοντο· προσκλητικὴν γὰρ ἔχει δύναμιν τὸ κάλλος, τὸ δ' ἀληθὲς | δαιμονίως p.497M.
ἐστὶ καλόν, ὡς τὸ ψεῦδος ἐκτόπως αἰσχρόν. Βοηθὸς γοῦν ὁ Σιδώνιος καὶ Παναίτιος, ἄνδρες ἐν τοῖς Στωικοῖς δόγμασιν ἰσχυκότες, ἅτε θεόλη-

1 ὑστερίζοντα MU: ὑστερίζοντος HP (v) 5 ἐδόκουν] ἠδίκουν Buecheler (Cumont) 6 γὰρ seclusit Turn.; sed cf. Thuc. I 25, 4. Vahlen ad Arist. Poet.[3] 131 6. 7 παράδειγμα ἀιδιότητος HP: παράδειγμα ἰδιότητος MU; παράδειγμ' ἀιδιότητος Bernays (Cumont) 7 ἐδόκουν—κόσμου seclusit Bernays (ἐδόκουν—εἰσηγούμενοι seclusit Turn., ἐδόκουν retinet Cumont) ἂν εὐπροφάσιστα MU (ἂν seclusi): ἂν εὐπροφάσητα HP; ἄνευ προφάσεως v (Turn.) 8 ἀδικεῖν] διδάσκειν Cumont, λέγειν Buecheler
9 τὰς] τοὺς P 11 ἀναρμότων HP 12 συμφώνων (sic) H 13 σπαρτῶν δὲ scripsi: σπαρτῶν τε codd. 15 ἀγένητος M: ἀγέννητος UHP τε om. U ὀηλονότι M αἰωνίῳ v (Turn.): αἰῶνι MU, αἰώνιος HP 17 δ' U 18 προσκλητικὴν] προσελκτικὴν coni. Mang. 19 ὁ σιδώνιος M: ὁ ἰδώνιος U, ἡ σιδώνιος HP; καὶ Ποσειδώνιος v (Turn.) 20 Παναίτιος v (Turn.): πάνεπος codd.

2 ἄμουσον ἀπληστίαν: cf. Plat. Tim. 73a ... ὅπως μὴ ταχὺ διεκπερῶσα ἡ τροφὴ ταχὺ πάλιν τροφῆς ἑτέρας δεῖσθαι τὸ σῶμα ἀναγκάζοι καὶ παρέχουσα ἀπληστίαν διὰ γαστριμαργίαν ἀφίλοσοφον καὶ ἄμουσον πᾶν ἀποτελοῖ τὸ γένος. 8. 9 Aet. Plac. I 28, 4 (Doxogr. p. 324[a] 1) οἱ Στωικοὶ (τὴν εἱμαρμένην) εἱρμὸν αἰτιῶν, τουτέστι τάξιν καὶ ἐπισύνδεσιν ἀπαράβατον. Diog. La. VII 149 ἔστι δ' εἱμαρμένη αἰτία τῶν ὄντων εἱρομένη ἢ λόγος καθ' ὃν ὁ κόσμος διεξάγεται. cf. Chrysippi frg. 913 sqq. (Arnim). 20 Diog. La. VII 142 ... Παναίτιος δ' ἄφθαρτον ἀπεφήνατο τὸν κόσμον. Doxogr. p. 469[b] 7 (Arius Didymus) Παναίτιος πιθανωτέραν εἶναι νομίζει καὶ μᾶλλον ἀρέσκουσαν αὐτῷ τὴν ἀιδιότητα τοῦ κόσμου ἢ τὴν τῶν ὅλων εἰς πῦρ μεταβολήν.

πτοι, τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας καταλιπόντες πρὸς ὁσιώτερον δόγμα
τὸ τῆς ἀφθαρσίας τοῦ κόσμου παντὸς ηὐτομόλησαν. λέγεται δὲ καὶ 77
p. 502, 34 M. Διογένης ἡνίκα νέος ἦν συνεπιγραψάμενος | τῷ δόγματι τῆς ἐκπυρώσεως
ὑφὲ τῆς ἡλικίας ἐνδοιάσας ἐπισχεῖν· οὐ γὰρ νεότητος ἀλλὰ γήρως τὰ
σεμνὰ καὶ περιμάχητα διιδεῖν, καὶ μᾶλισθ' ὅσα μὴ δικάζει ἡ ἄλογος
καὶ ἀπατηλὸς αἴσθησις ἀλλ' ὁ καθαρώτατος καὶ ἀκραιφνέστατος νοῦς.
(16.) ἀποδείξεσι δ' οἱ περὶ τὸν Βοηθὸν κέχρηνται πιθανωτάταις, ἃς 78
αὐτίκα λέξομεν· εἰ, φασί, γενητὸς καὶ φθαρτὸς ὁ κόσμος, ἐκ τοῦ μὴ
ὄντος τι γενήσεται, ὅπερ καὶ τοῖς Στωικοῖς ἀτοπώτατον εἶναι δοκεῖ.
p. 503 M. διὰ τί; ὅτι οὐδεμίαν φθοροποιὸν | αἰτίαν εὑρεῖν ἔστιν, οὔτ' ἐντὸς οὔτ'
ἐκτός, ἢ τὸν κόσμον ἀνελεῖ· ἐκτὸς μὲν γὰρ οὐδέν ἐστιν ὅτι μὴ τάχα
που κενόν, τῶν στοιχείων ἀποκριθέντων εἰς αὐτὸν ὁλοκλήρων, εἶσω δ'
οὐδὲν νόσημα τοιοῦτον, ὃ γένοιτ' ἂν αἴτιον θεῷ τοσούτῳ διαλύσεως.
εἰ δ' ἀναιτίως φθείρεται, δῆλον ὅτι ἐκ τοῦ μὴ ὄντος ἔσται ἡ γένεσις
τῆς φθορᾶς, ὅπερ οὐδ' ἡ διάνοια παραδέξεται.

Καὶ μήν φασιν, ὅτι γενικοὶ τρόποι φθορᾶς εἰσι τρεῖς· ὅ τε κατὰ 79
διαίρεσιν καὶ ὁ κατὰ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος καὶ ὁ κατὰ σύγ-
χυσιν. τὰ μὲν οὖν ἐκ διεστηκότων, αἰπόλια, βουκόλια, χοροί, στρατεύματα,
ἢ πάλιν ἐκ συναπτομένων σώματα παγέντα διαστάσει καὶ διαιρέσει λύεται·
κατὰ δὲ ἀναίρεσιν τῆς ἐπεχούσης ποιότητος ὁ μετασχηματιζόμενος κηρὸς
ἢ καταλειπόμενος, ἵνα μηδὲ ἑτεροειδῆ τινα παράσχῃ τύπον μορφῆς·

---

1 καὶ τὰς ἐκπυρώσεις U ὁσιώτερον Cumont: θειότερον codd. 2 το om. U παντὸς] πάντως Buecheler (Cumont); at cf. Arnim, Quellenstudien p. 18 4 ἐνδοιάσας (οι ex υ corr.) M: ἐνδυάσας UHP γὰρ νεότητος] γενναιότατος M 5 διιδεῖν M: δεῖ ἰδεῖν UP (Turn.), δεῖ εἰδεῖν H 6 ἀπατηλὸς codd.: ἀπατηλή ν (Turn.) 7 δὲ E πιθανοτάταις UHE ἃς ME: αἷς UHP 8 εἰ, φασί] φασὶ γὰρ εἰ E γενητὸς U 9 δοκεῖ εἶναι E 10 αἰτίαν εὑρεῖν MUE: εὑρεῖν αἰτίαν HP (v) 13 θεῷ Cumont: τῷ codd. 14 δῆλον ὅτι UE: δηλονότι MHP 15 τῆς φθορᾶς] καὶ φθορά coni. Mang. οὐδ' ἡ] οὐδὲ M (Bernays) 16 φθορᾶς τρόποι E 17 καὶ post διαίρεσιν om. HP (v) καὶ ὁ—ποιότητος om. E cod. b 18 στρατεύματα, χοροί E 19 συναπτομένων ν (Turn.): συναπτομένου codd. σώματα UHP: σώματος ME τῇ διαστάσει HP (Turn.) λύεται UE: λύονται MHP (v) 20. 21 κηρὸς ἢ καταλειπόμενος om. UE 21 καταλειπόμενος Diels: καὶ λειπόμενος MHP παράσχῃ] περίσχῃ M τύπον παράσχῃ E

---

2 sqq. Diog. Babyl. frg. 27 (Arnim, Stoic. vet. fragm. III p. 215). idem de Zenone Tarsensi tradit Arius Didymus (Doxographi p. 469a 3): τὸν μὲν γὰρ τούτου (Chrysippi) μαθητὴν καὶ διάδοχον τῆς σχολῆς Ζήνωνά φασιν ἐπισχεῖν περὶ τῆς ἐκπυρώσεως τῶν ὅλων. 16 cf. Doxogr. p. 462, 15 sqq. (Arius Didym.). Zeller, Philos. d. Griech. III 1³, 95. 18 τὰ ἐκ διεστηκότων: Zeller III 1³, 97.

κατὰ δὲ σύγχυσιν, ὡς ἡ παρὰ ἰατροῖς τετραφάρμακος· αἱ γὰρ δυνάμεις τῶν συνενεχθέντων ἠφανίσθησαν εἰς ἐξαιρέτου μιᾶς γένεσιν ἀποτελεσθείσης.
80 ποίῳ δὴ τούτων ἄξιον τὸν κόσμον φθείρεσθαι φάναι; τῷ κατὰ διαίρεσιν; ἀλλ' οὔτε ἐκ διεστηκότων ἐστίν, ὡς τὰ μέρη σκεδασθῆναι, οὔτε ἐκ συναπτομένων, ὡς διαλυθῆναι, οὔτε τὸν αὐτὸν τρόπον τοῖς ἡμετέροις ἥνωται σώμασι· τὰ μὲν γὰρ ἐπικήρως τε ἐξ ἑαυτῶν ἔχει καὶ δυναστεύεται πρὸς μυρίων ὑφ' ὧν βλάπτεται, τοῦ δ' ἀήττητος ἡ ῥώμη πολλῇ τινι περι-
81 ουσίᾳ πάντων κατακρατοῦσα. ἀλλ' ἀναιρέσει παντελεῖ τῆς ποιότητος; ἀλλ' ἀμήχανον τοῦτό γε· μένει γὰρ κατὰ τοὺς τἀναντία αἱρουμένους ἡ τῆς διακοσμήσεως ποιότης ἐπ' ἐλάττονος οὐσίας τῆς τοῦ Διὸς σταλεῖσα
82 κατὰ τὴν ἐκπύρωσιν. ἀλλὰ τῷ κατὰ σύγχυσιν; ἄπαγε, δεήσει γὰρ πάλιν εἰς τὸ μὴ ὂν γίνεσθαι τὴν φθορὰν παραδέχεσθαι. τοῦ χάριν; ὅτι εἰ μὲν ἕκαστον ἐν μέρει τῶν στοιχείων ἐφθείρετο, μεταβολὴν ἐδύνατο τὴν εἰς ἕτερον δέχεσθαι, πάντων δὲ συλλήβδην ἀθρόων κατὰ σύγχυσιν ἀναιρουμένων, ἀναγκαῖον ὑπονοεῖν τὸ ἀδύνατον.

83 Ἔτι πρὸς τούτοις, ἐὰν ἐκπυρωθῇ, φασί, τὰ πάντα, τί κατ' ἐκεῖνον ὁ θεὸς πράξει τὸν χρόνον; ἢ τὸ παράπαν οὐδέν; καὶ μήποτ' εἰκότως· νυνὶ μὲν γὰρ ἕκαστα ἐφορᾷ καὶ πάντων οἷα γνήσιος πατὴρ ἐπιτροπεύει καί, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἡνιόχου καὶ κυβερνήτου τρόπον ἡνιοχεῖ καὶ πηδαλιουχεῖ τὰ σύμπαντα, ἡλίῳ τε καὶ σελήνῃ καὶ τοῖς ἄλλοις πλάνησι καὶ ἀπλανέσιν ἔτι δ' ἀέρι καὶ τοῖς ⟨ἄλλοις⟩ μέρεσι τοῦ κόσμου

---

1 παρὰ ἰητροὺς U 2 ἐξαιρέτους E cod. r ἀποτελεσθεῖσαι E
3 τούτω M 4 ἀλλ' οὔτε ME, ἀλλ' οὔτ' U: ἀλλ' οὐκ HP (Turn.) alt. οὔτε MPE: οὔτ' UH (v) 6 ἐξ ἑαυτῶν MUE: ἐξ αὐτῶν HP (ἑξ αὐτῶν v)
7 ἀφ' ὧν E 8 πάντων] πάντα M (Bernays) ἀλλὰ P παντελῇ H
10 τῆς τοῦ Διὸς σταλεῖσα Bernays (in commentario): τῇ τούτου ἰδιοσταλεῖσα E, τῇ του .... (spat. c. 4 litt.) σταλεῖσα M, τὸ τοῦ δι ... (spat. c. 7 litt.) HP, ... (spat. c. 10 litt.) σταλεῖσα U 11 τῷ] τὸ H 12 εἰς] ὡς E cod. r γίγνεσθαι E
13 μεταβολὴν ⟨ἂν⟩ ἐδύνατο Gomperz ἠδύνατο E 14 δὲ om. E cod. r
ἀθρόων MU: ἀθρόον HPE (v) 15 ἀναγκαῖον Reiter: ἀνάγκη codd.; ἀνάγκη τοῦτο ὑπονοεῖν ἀδύνατον Cumont 16 ἔτι πρὸς τούτοις—99, 6 ὁ θεός om. E
φασί MU: φησί HP (Turn.) 17 πράξει ὁ θεὸς transp. M (Bernays)
ἢ] ἢ H (Turn.) 18 οἷα v (Turn.): οἷος codd. 20 πηδαλιουχεῖ M
ἡλίῳ τε M: τε om. UHP (v) 21 ἀπλανέσι M ἄλλοις add. Cumont

---

1 τετραφάρμακος: cf. de confus. lingu. § 187. Galen. in Hippocr. de nat. hom. t. XV p. 32 (Kuehn). 9 sq. Chrysippi frg. 611 (Arnim). cf. Plut. de commun. notit. 31 p. 1075b ἀλλὰ Χρύσιππος καὶ Κλεάνθης, ἐμπεπληκότες ὡς ἔπος εἰπεῖν τῷ λόγῳ θεῶν τὸν οὐρανόν, τὴν γῆν, τὸν ἀέρα, τὴν θάλατταν, οὐδένα τῶν τοσούτων ἄφθαρτον οὐδ' ἀίδιον ἀπολελοίπασι, πλὴν μόνου τοῦ Διός, εἰς ὃν πάντας καταναλίσκουσι τοὺς ἄλλους.

παριστάμενος καὶ συνδρῶν ὅσα πρὸς τὴν τοῦ ὅλου διαμονὴν καὶ τὴν κατ' ὀρθὸν λόγον ἀνυπαίτιον διοίκησιν. πάντων δ' ἀναιρεθέντων, ὑπ' ἀργίας 84
p.504 M. καὶ ἀπραξίας | δεινῆς ἀβιώτῳ βίῳ χρήσεται· οὗ τί γένοιτ' ἂν ἀτοπώτερον; ὀκνῶ λέγειν, ὃ μηδὲ θέμις ὑπονοεῖν, ὅτι ἀκολουθήσει θεῷ θάνατος, εἴ γε καὶ ἠρεμία· τὸ γὰρ ἀεικίνητον ἐὰν ἀνέλῃς ψυχῆς, καὶ αὐτὴν πάντως συνανελεῖς· ψυχὴ δὲ τοῦ κόσμου κατὰ τοὺς ἀντιδοξοῦντας ὁ θεός.

(17.) Ἐκεῖνο δ' οὐκ ἀνάξιον διαπορῆσαι, τίνα τρόπον ἔσται παλιγγε- 85
νεσία, πάντων εἰς πῦρ ἀναλυθέντων· ἐξαναλωθείσης γὰρ τῆς οὐσίας ὑπὸ πυρός, ἀνάγκη καὶ τὸ πῦρ οὐκέτ' ἔχον τροφὴν ἀποσβεσθῆναι. μένοντος μὲν οὖν, ὁ σπερματικὸς τῆς διακοσμήσεως ἐσῴζετ' ⟨ἂν⟩ λόγος, ἀναιρεθέντος δὲ συνανῄρηται. τὸ δ' ἐστὶν ἔκθεσμον καὶ ἀσέβημα ἤδη διπλοῦν, μὴ μόνον φθορὰν τοῦ κόσμου κατηγορεῖν ἀλλὰ καὶ παλιγγενεσίαν ἀναιρεῖν, ὥσπερ ἐν ἀκοσμίᾳ καὶ ἀπραξίᾳ καὶ τοῖς πλημμελέσι πᾶσι χαίροντος θεοῦ. τὸν δὲ λόγον ἀκριβέστερον ὧδε διερευνητέον· πυρὸς τριττὸν εἶδος· τὸ 86
μὲν ἄνθραξ, τὸ δὲ φλόξ, τὸ δὲ αὐγή. ἄνθραξ μὲν οὖν ἐστι πῦρ ἐν οὐσίᾳ γεώδει, ὃ τρόπον ἕξεως πνευματικῆς πεφώλευκε καὶ ἑλλοχᾷ δι' ὅλης ἄχρι περάτων τεταμένον· φλὸξ δέ ἐστιν ὅπερ ἐκ τροφῆς αἴρεται μετεωριζόμενον· αὐγὴ δὲ τὸ ἀποστελλόμενον ἐκ φλογός, συνεργὸν ὀφθαλμοῖς εἰς τὴν τῶν ὁρατῶν ἀντίληψιν. μέσην δὲ χώραν αὐγῆς τε καὶ ἄνθρακος εἴληχε φλόξ· σβεσθεῖσα μὲν γὰρ εἰς ἄνθρακα τελευτᾷ, ζωπυρουμένη δ' ἔχει φέγγος, ὃ τὴν καυστικὴν ἀφῃρημένον δύναμιν ἀστράπτει. εἰ κατὰ τὴν ἐκπύρωσιν οὖν τὸν κόσμον ἀναλύεσθαι φαῖμεν, ἄνθραξ μὲν 87
οὐκ ἂν γένοιτο, διότι παμπληθὲς ὑπολείψεται τοῦ γεώδους, ᾧ τὸ πῦρ ἐγκατειλῆφθαι συμβέβηκεν, ἀρέσκει δὲ μηδὲν τότε τῶν ἄλλων ὑφεστάναι

---

1 παριστάμενα H (Turn.) 3 βίῳ] βία M 4 μηδὲ] μὴ U ὑπονοεῖν Cumont coll. 86, 8. 95, 14: εἰπεῖν codd. 5 αὐτὴν MU: αὐτὸ HP 6 ὁ ante θεός om. U 7 οὐκ ἀνάξιον Bernays: οὐκ ἄξιον codd., ἄξιον E διαπορῆσαι M 8 ἀναλωθέντων U ἐξαναλωθείσης HPE: ἐξαναλυθείσης MU 10 τῇ διακοσμήσει Turn. ἐσῴζετ' ἂν Diels: ἐσώζετο codd. ἐσώζετο λόγος τῆς διακοσμήσεως transp. E ἀναιρεθέντος MHP: ἀναλυθέντος UE 11 τὸ δέ ἐστιν H 13 ὥσπερ ἐν M: ἐν om. UHPE; ὥσπερ ἂν coni. Buecheler 14 ὧδε] ἤδη H (Turn.) 15 ἐστιν H 16 οὐσίᾳ om. UE ὃ] ὃν E πεφόλευκε H 17 τετταμένον (sic) H 19 τῶν om. L (Turn.) τε om. U 20 σβεθεῖσα U 21 καυτικὴν P 22 φαῖμεν Buecheler: φῶμεν codd. (φαμὲν U¹) 23 ὑπολείψεται v (Turn.): ὑπολήψεται codd. τοῦ γεώδους] τὸ γεῶδες coni. Mang. ᾧ] ὡς UE 24 ἐγκατειλῆφθαι E: ἐγκατειλεῖσθαι MUH, ἐγκαταλελεῖσθαι ut vid. P συμβέβηκε M

---

5 Plat. Phaedr. 245c ψυχὴ πᾶσα ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον. 6 κατὰ τοὺς ἀντιδοξοῦντας: cf. Zeller, Philos. d. Griech. III 1³, 554 sq.

σωμάτων, ἀλλὰ γῆν καὶ ὕδωρ καὶ ἀέρα εἰς ἄκρατον πῦρ ἀναλελύσθαι.
88 καὶ μὴν οὐδὲ φλόξ· ἅμμα γὰρ τροφῆς ἐστι, μηδενὸς δὲ καταλειφθέντος, ἀτροφήσασα αὐτίκα ἀποσβεσθήσεται. τούτοις ἕπεται τὸ μηδ' αὐγὴν ἀποτελεῖσθαι· καθ' ἑαυτὴν γὰρ ὑπόστασιν οὐκ ἔχει, ῥεῖ δὲ ἀπὸ τῶν προτέρων, ἄνθρακος καὶ φλογός, ἀφ' οὗ μὲν ἐλάττων, πολλὴ δ' ἀπὸ φλογός· χεῖται γὰρ ἐπὶ μήκιστον· ἐκείνων δ', ὡς ἐδείχθη, κατὰ τὴν ἐκπύρωσιν οὐκ ὄντων, οὐδ' ἂν αὐγὴ γένοιτο· καὶ γὰρ ἡ μεθημερινὴ πολλὴ καὶ βαθεῖα αὐγή, τὸν ὑπὸ γῆς ἡλίου δρόμον ἰόντος, εὐθὺς ἀφανίζεται νυκτὶ καὶ μάλιστα ἀσελήνῳ. | οὐ τοίνυν ἐκπυροῦται ὁ κόσμος, ἀλλ' p. 505 M.
ἔστιν ἄφθαρτος· εἰ δ' ἐκπυρωθήσεται, ἕτερος οὐκ ἂν γένοιτο.
89 (18.) Διὸ καί τινες τῶν ἀπὸ τῆς Στοᾶς ὀξυδερκέστερον ἐκ μακροῦ θεασάμενοι τὸν ἐπιφερόμενον ἔλεγχον ἠξίωσαν ὥσπερ θανατῶντι κεφαλαίῳ βοηθήματα προευτρεπίζεσθαι· τὰ δ' οὐδὲν ἦν ὄφελος. ἐπειδὴ γὰρ αἴτιον κινήσεώς ἐστι τὸ πῦρ, κίνησις δὲ γενέσεως ἀρχή, γενέσθαι δ' ἄνευ κινήσεως ὁτιοῦν ἀδύνατον, ἔφασαν ὅτι μετὰ τὴν ἐκπύρωσιν, ἐπειδὰν ὁ νέος κόσμος μέλλῃ δημιουργεῖσθαι, σύμπαν μὲν τὸ πῦρ οὐ σβέννυται, ποσὴ δέ τις αὐτοῦ μοῖρα ὑπολείπεται· πάνυ γὰρ ἠλαβήθησαν, μὴ σβεσθέντος ἀθρόου μείνῃ τὰ πάντα ἡσυχάσαντα ἀδιακόσμητα, τοῦ τῆς κινήσεως
90 αἰτίου μηκέτ' ὄντος. εὑρεσιλογούντων δὲ πλάσματα ταῦτ' ἐστὶ καὶ κατὰ τῆς ἀληθείας τεχναζόντων. τί δήποτε; ὅτι τὸν κόσμον ἐκπυρωθέντα γενέσθαι μὲν ἄνθρακι παραπλήσιον ἀμήχανον, ὡς δέδεικται, γεώδους πολλῆς ἂν ὑπολειφθείσης οὐσίας, ἣ δεήσει τὸ πῦρ ἑλλοχᾶν, ἴσως δ' οὐδ ἐκπυρώσεως τότε κρατούσης, εἴ γε μένει τὸ στοιχείων βαρύτατον καὶ δυσαναλωτότατον ἔτι, γῆ μὴ διαλυθεῖσα, μεταβάλλειν δὲ ἢ εἰς φλόγα ἢ

1 ἀναλύεσθαι E 2 ἅμμα PE, ἄμμα U: ἅμα MH (v) τροφῆς codd.: τροφή Turn., τροφῇ Mang. δὲ] γὰρ M 3 ἀτροφήσασα MUE: ἀτροφήσας HP; ἀτροφήσασ' Cumont, ἀτροφήσει Turn. ἕπεται] ἔπεσται U 4 ῥεῖ δὲ MU: ῥεῖ δ' HPE 5 ἀφ' οὗ—φλογός (6) om. M ἐλάττων U^2HP: ἔλαττον U^1E πολλὴ] πολὺ E 6 χεῖται γὰρ ἐπὶ μήκιστον om. E 7 καὶ γὰρ—101, 13 καὶ αὐγὴ φλογί om. E ἡ μεθημερινὴ] ἡμερινὴ U 8 πολλὴ, καὶ] πολληκὴ M 9 μάλιστα MU: μάλιστ' HP 11 τινες] τινος M μακροῦ] πολλοῦ M (Bernays) 12 θανατῶντι] θανόντι L (v) 13 εὐτρεπίζεσθαι M (Bernays) οὐδὲν MU: οὐδ' HP (Turn.) ὄφελος ἦν transp. U 14 γενέσεως] γενήσεως M 15 μετὰ] κατὰ coni. Mang. 16 μέλλει HP πόση MH 18 μείνῃ codd.: μένῃ v (Turn.) 19 εὑρεσιλογούντων UP: εὑρησιλογούντων MH 21 ἀμήχανον] ἀδύνατον U 22 ἂν ὑπολειφθείσης Buecheler: ἀνθυπολειφθείσης codd. (ἀνθ' ὑπολειφθείσης P); ἂν ἀνθυπολειφθείσης Cumont οὐσίας] οὐσίους H οὐδ' U (coni. Buecheler): οὐκ MHP 23 στοιχείων MU: στοιχεῖον HP 24 δυσαναλωτότατον MU: δυσαναλώτατον HP (v) μεταβάλλ (sic) M

24 sqq. Cleanthis frg. 711, Chrysippi frg. 611 (Arnim).

εἰς αὐγὴν ἀναγκαῖον, εἰς μὲν φλόγα, ὡς ᾤετο Κλεάνθης, εἰς δ' αὐγήν, ὡς ὁ Χρύσιππος. ἀλλ' εἴ γε φλὸξ γίνεται, τραπομένη πρὸς σβέσιν ἅπαξ 91
οὐκ ἐκ μέρους ἀλλ' ἀθρόα σβεσθήσεται· συνυπάρχει γὰρ τῇ τροφῇ· διὸ πολλῆς μὲν οὔσης ἐπιδίδωσι καὶ χεῖται, στελλομένης δὲ μειοῦται. τεκμηριώσαιτο δ' ἄν τις ἀπὸ τῶν παρ' ἡμῖν τὸ γινόμενον· ὁ λύχνος, ἕως μέν τις ἔλαιον ἄρδει, περιφεγγεστάτην δίδωσι φλόγα, ἐπειδὰν δ' ἐπίσχῃ, δαπανήσας ὅσον τῆς τροφῆς λείψανον αὐτίκα κατεσβέσθη, μηδὲν μέρος ταμιευσάμενος τῆς φλογός. εἰ δὲ μὴ τοῦτο ἀλλ' αὐγὴ γίνεται, πάλιν 92
ἀθρόα μεταβάλλει. διὰ τί; ὅτι ὑπόστασιν ἰδίαν οὐκ ἔχει, γεννᾶται δ' ἐκ φλογός, ἧς ὅλης δι' ὅλων σβέσιν λαμβανούσης, ἀνάγκη καὶ τὴν αὐγὴν μὴ κατὰ μέρος ἀλλ' ἀθρόαν ἀναιρεῖσθαι· ὃ γὰρ πρὸς τροφὴν φλόξ, τοῦτο αὐγὴ πρὸς φλόγα· καθάπερ οὖν τροφῇ συναναιρεῖται φλόξ, καὶ αὐγὴ φλογί. ὥστ' ἀμήχανον παλιγγενεσίαν τὸν κόσμον λαβεῖν, μηδενὸς 93
ἐντυφομένου σπερματικοῦ λόγου, πάντων δὲ δαπανηθέντων, τῶν μὲν ἄλλων ὑπὸ πυρός, αὐτοῦ δ' ὑπ' ἐνδείας. ἐξ ὧν ἐστι δῆλον, ὅτι ἀγένητος καὶ ἄφθαρτος ὢν διατελεῖ.

(19.) Φέρε δ' οὖν, ὡς φησιν ὁ Χρύσιππος, τὸ ἀναστοιχειῶσαν 94
τὴν διακόσμησιν εἰς αὐτὸ πῦρ τοῦ μέλλοντος ἀποτελεῖσθαι κόσμου σπέρμα εἶναι καὶ ὧν ἐπ' αὐτῷ πεφιλοσόφηκε μηδὲν ἐψεῦσθαι, πρῶτον μὲν ὅτι

---

2 εἴ γε Mang. (et ipse conieci): εἴτε codd. ἅπαξ] ἅπερ M 3 ἀλλ' ἀθρόα v (Turn.): ἀλλὰ λάθρα codd. συνυπάρχη M τῇ τροφῇ Mang.: ἡ τροφὴ codd. 4 πολῆς (sic) U στελλομένης UH et ut vid. P: συστελλομένης M 4. 5 τεκμηριώσαντο H(P?) 5 ἕως M: ὡς UH et ut vid. P (v) 6 δίδωσι MU: ἀποδίδωσι HP (v) δ' om. HP 7 κατεσβέσθη M: κατέσβη U, ἔσβη ut vid. P, κατέσβησε H (κατέσβεσε Turn.) μηδὲ μέρος U 8 ταμιεσάμενος ut vid. U 9 ὅτι] διότι H ὑπόστησιν H ἰδίαν om. H (om. Turn.) γεννᾶ τε δ' M 11 ὃ γὰρ] ἡ γὰρ H 12 τροφῇ UP: τροφὴ M, τροφῆς H συναναιρεῖται UP: συνανηρεῖτο (η ex αι corr.) M, συνανηρεῖ τὲ H 13 αὐγῇ M ὥστε P 13. 14 μηδενὸς ⟨μὲν⟩ ἐντυφομένου fortasse scribendum putavit Cumont 14 ἐντυφωμένου H (ἐντετυφωμένου Turn.) πάντων — ἐνδείας (15) om. E 15 δηλονότι H ἀγένητος E: ἀγέννητος MUHP 17 φέρε δ' οὖν — 104, 13 ἀκολουθίαν πραγμάτων ἐκλογίζεσθαι om. E φέρε MU: φέρει HP (Turn.) φησιν ὁ χρύσιππος MU: φησι χρύσιππος HP (v) 18 αὐτὸ v (Turn.): αὐτὸ codd. 19 πεφιλοσόφηκεν M

---

17 Chrysippi frg. 618 (Arnim). 18 Doxogr. p. 468[a] 25 (Arius Didymus) ἀρέσκει γὰρ τοῖς Στωικοῖς φιλοσόφοις τὴν ὅλην οὐσίαν εἰς πῦρ μεταβάλλειν οἷον εἰς σπέρμα, καὶ πάλιν ἐκ τούτου αὐτὴν ἀποτελεῖσθαι τὴν διακόσμησιν, οἷα τὸ πρότερον ἦν. καὶ τοῦτο τὸ δόγμα τῶν ἀπὸ τῆς αἱρέσεως οἱ πρῶτοι καὶ πρεσβύτατοι προσήκαντο, Ζήνων τε καὶ Κλεάνθης καὶ Χρύσιππος. Zen. frg. 107, Cleanth. frg. 512, Chrys. frg. 596 (Arnim).

καὶ ἐκ | σπέρματος ἡ γένεσις καὶ εἰς σπέρμα ἡ ἀνάλυσις, ἔπειτα δ' ὅτι p.506M.
φυσιολογεῖται ὁ κόσμος καὶ φύσις λογική, οὐ μόνον ἔμψυχος ὢν ἀλλὰ
καὶ νοερός, πρὸς δὲ καὶ φρόνιμος, ἐκ τούτων τοὐναντίον οὗ βούλεται
95 κατασκευάζεται, τὸ μηδέποτε φθαρήσεσθαι. αἱ δὲ πίστεις προχειρόταται
τοῖς συνεξετάζειν μὴ ἀποκνοῦσιν. οὐκοῦν ὁ κόσμος ἢ φυτόν, ⟨ὡς⟩ ἔοικεν,
ἢ ζῷον· ἀλλ' εἴτε φυτόν ἐστιν εἴτε καὶ ζῷον, κατὰ τὴν ἐκπύρωσιν
φθαρεὶς οὐδέποτε αὐτὸς αὑτοῦ γενήσεται σπέρμα. μαρτυρεῖ δὲ τὰ παρ'
ἡμῖν, ὧν οὐδὲν οὐκ ἔλαττον οὐ μεῖζόν ποτε φθαρὲν εἰς σπέρματος ἀπε-
96 κρίθη γένεσιν. οὐχ ὁρᾷς ὅσαι μὲν ἡμέρων φυτῶν ὕλαι, ὅσαι δὲ ἀγρίων
κατὰ πᾶν μέρος τῆς γῆς ἀνακέχυνται; τούτων τῶν δένδρων ἕκαστον,
ἄχρι μὲν ὑγιαίνει τὸ στέλεχος, ἅμα τῷ καρπῷ καὶ τὸ ὄχευμα τίκτει,
μήκει δὲ χρόνων ἀφαυανθὲν ⟨ἢ⟩ καὶ ἄλλως αὐταῖς ῥίζαις φθαρὲν οὐδέ-
97 ποτε τὴν ἀνάλυσιν εἰς σπέρμα ἔλαβεν. τὸν αὐτὸν μέντοι τρόπον καὶ τὰ
γένη τῶν ζῴων, ἃ μηδὲ εἰπεῖν διὰ πλῆθος ῥᾴδιον, ἄχρι μὲν περίεστι
καὶ ἡβᾷ, σπέρμα προΐεται γόνιμον, τελευτήσαντα δ' οὐδαμῇ οὐδαμῶς
γίνεται σπέρμα· καὶ γὰρ εὐθὺς ἄνθρωπον ζῶντα μὲν ὀγδόῳ μέρει
ψυχῆς, ὃ καλεῖται γόνιμον, πρὸς τὴν τοῦ ὁμοίου σποράν χρῆσθαι, τελευ-
98 τήσαντα δὲ ὅλῳ ἑαυτῷ· θάνατος γὰρ οὔτι ζωῆς ἀνυσιμώτερος. ἄλλως
τε τῶν ὄντων οὐδὲν ἐκ μόνου σπέρματος δίχα τῆς οἰκείας τροφῆς ἀποτε-
λεῖται· σπέρμα γὰρ ἔοικεν ἀρχῇ, ἀρχὴ δὲ καθ' αὑτήν οὐ τελειογονεῖ.
μὴ γὰρ αὖ νομίσῃς τὸν στάχυν ἐκ μόνου τοῦ καταβληθέντος ὑπὸ γεωρ-

---

1 ἀνάλωσις M 5 φυτόν, ὡς ἔοικεν Diels: φυτῷ ἔοικεν codd. 6 ἢ ζῷον M: ἢ ζώω UP, ἢ κόσμω H καὶ post εἴτε om. U 8 σπέρματος MU: σώματος HP (Turn.) 9 γέννησιν L (Turn.) ἡμέρων HP: ἡμερῶν U, ἡμέραι M 10 τῆς ante γῆς om. Turn. 11 τὸ ὄχευμα Bernays: τὸ ὄχημα UHP, τῷ ὄχημα M; τὸ σπέρμα coni. Mang. 12 ἀφαυανθὲν Mang.: ἀφ . . ανθὲν M, ἀφαανθὲν U, ἀφανισθὲν HP ἢ add. Cumont 13 εἰς σπέρματα U ἔλαβε v 15 τελευτήσει U οὐδαμῶς οὐδαμῶς U 16 σπέρμα] σπόριμα coni. Mang. 17 τῆς ψυχῆς U 17. 18 τελευτήσαντα UP: τελευτῆσαν MH (Turn.) 18 ὅλῳ v (Turn.): ὅλον codd. (Cumont) οὔτι ζωῆς MU: ζωῆς οὔτι HP (v) ἄλλως] ὅλως coni. Diels 20 ἀρχῇ] ἡ ἀρχή U καθ' αὑτὴν MHP: καθ' ἑαυτὴν U (v) 21 αὖ] σὺ coni. Mang.

---

1 Ocell. Luc. I 13 ... οἱ δὲ καρποὶ καὶ τὰ πλεῖστα τῶν ῥιζοφύτων ἀπὸ σπερμάτων ἀνέλαβον τὴν ἀρχὴν τῆς γενέσεως, καρπωθέντα δὲ καὶ τελεσφορήσαντα πάλιν ἐπὶ τὸ σπέρμα τὴν ἀνάλυσιν ποιεῖται. 2 sq. Diog. La. VII 142 ... ὅτι δὲ καὶ ζῷον ὁ κόσμος καὶ λογικὸν καὶ ἔμψυχον καὶ νοερόν, καὶ Χρύσιππός φησιν ἐν πρώτῳ Περὶ προνοίας καὶ Ἀπολλόδωρος ἐν τῇ Φυσικῇ καὶ Ποσειδώνιος (Chrysippi frg. 633 Arnim).
16 cf. Doxogr. p. 390, 5. 410, 25. Diog. La. VII 157.

γῶν εἰς τὰς ἀρούρας βλαστάνειν πυροῦ, τὸ δὲ πλεῖστον εἰς αὔξησιν αὐτοῦ συνεργεῖν ὑγράν τε καὶ ξηρὰν διττὴν ἐκ γῆς τροφήν· καὶ τὰ ἐν μήτραις μέντοι διαπλαττόμενα πέφυκεν οὐκ ἐκ μόνου ζῳογονεῖσθαι σπέρματος ἀλλὰ καὶ τῆς ἔξωθεν ἀρδομένης τροφῆς, ἣν ἡ κύουσα προσφέρεται. πρὸς 99
δὴ τί ταῦτα λέγω; ὅτι κατὰ τὴν ἐκπύρωσιν σπέρμα μόνον ὑπολειφθήσεται, τροφῆς μὴ ὑπαρχούσης, ἁπάντων ὅσα τρέφειν ἔμελλεν εἰς πῦρ ἀναλυθέντων, ὥσθ' ὁ κατὰ τὴν παλιγγενεσίαν ἀποτελούμενος κόσμος χωλὴν καὶ ἀτελῆ γένεσιν ἕξει, τοῦ μάλιστα πρὸς τελείωσιν συνεργοῦντος, ᾧ καθάπερ βάκτρῳ τινὶ τὴν σπερματικὴν ἀρχὴν ἐφιδρύεσθαι συμβέβηκεν, ἐφθαρμένου. τοῦτο δ' ἦν ἄτοπον ἐξ αὐτῆς ἐλεγχόμενον τῆς ἐναργείας. ἔτι τοίνυν ὅσα λαμβάνει τὴν γένεσιν ἐκ σπέρματος, μείζονα τὸν ὄγκον 100
ἐστὶ τοῦ πεποιηκότος καὶ ἐν τόπῳ μείζονι θεωρεῖται· δένδρα γοῦν οὐρανομήκη πολλάκις ἀναβλαστάνει ἐκ βραχυτάτης κέγχρου καὶ ζῷα πιότατα καὶ περιμηκέστατα ἐξ ὀλίγου τοῦ προειθέντος ὑγροῦ. ἀλλὰ καὶ τὸ μικρῷ
p. 507 M. πρότερον εἰρημένον | συμβαίνει, κατὰ μὲν τὸν γειτνιῶντα τῇ γενέσει χρόνον βραχύτερα τὰ γεννηθέντα εἶναι, μεγεθύνεσθαι δ' αὖθις ἄχρι παντελοῦς τελειώσεως. ἐπὶ δὲ τοῦ παντὸς γενήσεται τοὐναντίον· τὸ μὲν γὰρ σπέρμα 101
καὶ μεῖζον ἔσται καὶ πλείονα τόπον ἐφέξει, τὸ δ' ἀποτέλεσμα βραχύτερον καὶ ἐν ἐλάττονι φανεῖται τόπῳ, καὶ ὁ κόσμος ἐκ σπέρματος συνιστάμενος οὐκ ἐκ τοῦ κατ' ὀλίγον ἐπιδώσει πρὸς αὔξησιν, ἀλλ' ἔμπαλιν ἐξ ὄγκου μείζονος εἰς ἐλάττονα συναιρεθήσεται. τὸ δὲ λεγόμενον ῥᾴδιον 102
συνιδεῖν· ἅπαν σῶμα ἀναλυόμενον εἰς πῦρ ἀναλύεταί τε καὶ χεῖται, σβεννυμένης δὲ τῆς ἐν αὐτῷ φλογός, στέλλεται καὶ συνάγεται· πίστεων δὲ τοῖς οὕτως ἐμφανέσι πρὸς μαρτυρίαν ὡς ἀδηλουμένοις οὐδεμία χρεία. καὶ

---

1 δὲ] δὴ Buecheler (Cumont) αὐτοῦ Mang.: αὐτῶν codd.; αὐτῷ Bernays (Cumont) 2 διττὴν] δεῖ τὴν Buecheler (Cumont) 4 καὶ] κἀκ Diels (Cumont) ἣν bis scripsit M 5 δὴ] δὲ coni. Mang. λέγων HP 7 ἀναλωθέντων coni. Buecheler 8 χωλὴν HP: χολὴν U, σχ. λὴν M: κωφὴν coni. Mang. ἀτελῆ καὶ transp. U 9 ᾧ HP: ὡς MU ἐφιδρύεσθαι H (et ut vid. P): ἐφυδρίεσθαι M, ἐφιδρύσθαι U 10 αὐτῆς U: ἑαυτῆς MHP ἐναργείας Mang.: ἐνεργείας codd. 11 ἔτι MP: ἔτι ex ἔστι corr. U, ἔστι H 13. 14 περιμηκέστατα καὶ πιότατα transp. U 15 τὸν ante γειτνιῶντα om. M 16 γεννηθέντα M 18 ἐφέξει P: ὑφέξει MUH 21 συναναιρεθήσεται M; συναχθήσεται coni. Mang. 22 ἀναλύεται corruptum; ἐλαύνεται conicio (cf. 104, 6 ἐλάσεως); διαλύεται Bernays, ἀναδίδοται coni. Diels τε om. H (v) 23 πίστεων H: πίστεως P, πιστέον M, πειστέον U 24 οὕτως] οὖ M

---

17 sq. Plut. de commun. notit. 35 p. 1077 a ἀλλὰ τῶν φυσικωτέρων λεγομένων ἆρ' οὐ παρὰ τὴν ἔννοιάν ἐστι σπέρμα πλέον εἶναι καὶ μεῖζον ἢ τὸ γεννώμενον ἐξ αὐτοῦ;

μὴν ὁ κόσμος ὁ πυρωθεὶς γενήσεται μείζων, ἅτε συμπάσης τῆς οὐσίας εἰς τὸν λεπτότατον ἀναλυθείσης αἰθέρα. ὅ μοι δοκοῦσι καὶ οἱ Στωικοὶ προϊδόμενοι κενὸν ἄπειρον ἐκτὸς τοῦ κόσμου τῷ λόγῳ καταλιπεῖν, ἵν', ἐπειδὴ χύσιν ἀπέραντόν τινα ἔμελλε λήψεσθαι, μὴ ἀπορῇ τοῦ δεξο-
103 μένου χωρίου τὴν ἀνάχυσιν. ὅτε μὲν οὖν εἰς τοσοῦτον ἐπιδέδωκε καὶ συνηύξηται, ὡς μονονουχὶ τῇ ἀορίστῳ τοῦ κενοῦ φύσει τῷ τῆς ἐλάσεως ἀπειρομεγέθει συνδραμεῖν, σπέρματος ἔχει καὶ τοῦτο λόγον, ὅτε δὲ κατὰ τὴν παλιγγενεσίαν ἐκ τελείων τῶν μερῶν τῆς συμπάσης οὐσίας * * *, στελλομένου μὲν κατὰ τὴν σβέσιν τοῦ πυρὸς εἰς παχὺν ἀέρα, στελλομένου δ' ἀέρος εἰς ὕδωρ καὶ συνίζοντος, παχυνομένου δ' ἔτι μᾶλλον ὕδατος κατὰ τὴν εἰς γῆν, τὸ πυκνότατον τῶν στοιχείων, μεταβολήν. ἔστι δὲ ταῦτα παρὰ τὰς κοινὰς ἐννοίας τῶν δυναμένων ἀκολουθίαν πραγμάτων ἐκλογίζεσθαι.

104 (20.) Δίχα τοίνυν τῶν εἰρημένων κἀκείνῳ χρήσαιτ' ἄν τις εἰς πίστιν, ὃ καὶ τοὺς μὴ πέρα τοῦ μετρίου φιλονεικεῖν αἱρουμένους ἐπισπάσεται. τῶν ἐν ταῖς συζυγίαις ἐναντίων ἀμήχανον τὸ μὲν εἶναι, τὸ δὲ μή· λευκοῦ γὰρ ὄντος ἀνάγκη καὶ μέλαν ὑπάρχειν καὶ μεγάλου βραχὺ καὶ περιττοῦ ἄρτιον καὶ γλυκέος πικρὸν καὶ ἡμέρας νύκτα καὶ ὅσα τούτοις ὁμοιότροπα. γενομένης δ' ἐκπυρώσεως, ἀδύνατόν τι συμβήσεται· τὸ μὲν γὰρ ἕτερον ὑπάρξει τῶν ἐν ταῖς συζυγίαις, τὸ δὲ ἕτερον οὐκ ἔσται.

---

3 προϊδόμενοι M: προειδόμενοι UHP (v) 4 ἀπορῇ UP: ἀπορρῇ H, ἀπορεῖν M 5 ὅτε H: ὅτι MUP τοσοῦτο U 6 μονονουχὶ M: μονονουχὶ καὶ UHP (v) ἐλάσεως] ἐλα . . . (spat. 3 — 4 litt.) M 7 ἀπειρομεγέθει codd.: ἀπείρῳ μεγέθει v ἔχει καὶ τοῦτο M: ἔχει καὶ τοὺς H (ἔχει κατ' αὐτοὺς v), oblitt. in P, τοὺς (om. ἔχει καὶ) U καὶ τοῦτο] κἀν τούτῳ conicio, κατὰ τοῦτο coni. Wendl. ὅτε δὲ M: ὅτε δὴ HP, ὅτι δὲ U 8 παλιγγενεσίαν MU: ἐπαγγελίαν ἐσίαν P, ἐπαγγελίαν αἰσίαν H (Turn.) ἐκ τελείων τῶν μερῶν MHP: ἐκ τελείων μερῶν U; ἐκτελῇ τῶν μερῶν Mang., ἐκτελειοῦται μείων Cumont lacunam post οὐσίας indicavit Mang. (Bernays) 10 δὲ M δ' ἔτι] δέ τι H 11. 12 ἔστι δὲ] ἔστι δή Cumont 12 δυναμένων UHP: δυνάμεων M (v, sed Mang. corr. in adnot.) πραγμάτων Diels: πράγματος codd. 13 ἐκλογίσασθαι P 14 χρήσαιτ' M: χρήσαιτο UHPE 15 τοὺς] τοῖς M πέρα] πέραν Mang. τοῦ μέτρου E φιλονικεῖν Cumont 18 πικρὸν] πικνὸν P 20 τὸ δ' ἕτερον E

---

3 Aet. Plac. I 18, 5 (Doxogr. p. 316b 11) Ζήνων καὶ οἱ ἀπ' αὐτοῦ ἐντὸς μὲν τοῦ κόσμου μηδὲν εἶναι κενόν, ἔξω δ' αὐτοῦ ἄπειρον (Zen. frg. 95 Arnim). Diog. La. VII 140 . . . ἔξωθεν δ' αὐτοῦ (τοῦ κόσμου) περικεχυμένον εἶναι τὸ κενὸν ἄπειρον, ὅπερ ἀσώματον εἶναι. Aet. Plac. II 9, 2 (Doxogr. p. 338, 16) οἱ Στωικοὶ (ἐκτὸς τοῦ κόσμου) εἶναι κενόν, εἰς ὃ κατὰ τὴν ἐκπύρωσιν ἀναλύεται ὁ κόσμος ἄπειρος ὤν. Chrysippi frg. 535. 538. 543 (Arnim).

φέρε δ' οὕτωσὶ θεασώμεθα· πάντων εἰς πῦρ ἀναλυθέντων, κοῦφον μὲν 105
ἔσται τι καὶ μανὸν καὶ θερμόν — ἴδια γὰρ πυρὸς ταῦτα —. βαρὺ δ'
οὐδὲν ἢ πυκνὸν ἢ ψυχρόν, τὰ τοῖς λεχθεῖσιν ἐναντία. πῶς οὖν ἄν τις
ἐπιδείξαι μᾶλλον τὴν πεπλεγμένην ἐκ τῆς ἐκπυρώσεως ἀκοσμίαν ἢ τὰ
φύσει συνυπάρχοντα δεικνὺς ἀπαρτώμενα τῆς συζυγίας; ἡ δ' ἀλλοτρίωσις
p.508 M. ἐπὶ τοσοῦτον κεχώρηκεν, ὡς τοῖς μὲν ἀιδιότητα | προσομολογεῖν, τοῖς
δὲ τὸ ἀνύπαρκτον.

Ἔτι τοίνυν κἀκεῖνό μοι δοκεῖ μὴ ἀπὸ σκοποῦ τοῖς ἰχνηλατοῦσι 106
τἀληθὲς εἰρῆσθαι· φθειρόμενος ὁ κόσμος ἤτοι ὑπό τινος ἑτέρας φθαρή-
σεται αἰτίας ἢ ὑπὸ θεοῦ. ὑπ' ἄλλου μὲν οὐδενὸς τὸ παράπαν δέξεται
διάλυσιν· οὐδὲν γάρ ἐστιν ὃ μὴ περιέχει· τὸ δὲ περιεχόμενον καὶ κατα-
κρατούμενον ἀσθενέστερον δήπου τοῦ περιέχοντος, ὑφ' οὗ καὶ κατακρα-
τεῖται. ὑπὸ δὲ θεοῦ φθείρεσθαι λέγειν αὐτὸν πάντων ἀνοσιώτατον· ὁ
γὰρ θεὸς οὐκ ἀταξίας καὶ ἀκοσμίας καὶ φθορᾶς ἀλλὰ τάξεως καὶ
εὐκοσμίας καὶ ζωῆς καὶ παντὸς αἴτιος ἀνωμολόγηται τοῦ ἀρίστου παρὰ
τοῖς τἀληθῆ δοξάζουσι.

(21.) Θαυμάσαι δ' ἄν τις τοὺς τὰς ἐκπυρώσεις καὶ παλιγγενεσίας 107
θρυλοῦντας οὐ μόνον ἕνεκα τῶν εἰρημένων, οἷς ἀπελέγχονται ψευδοδοξοῦντες,
ἀλλὰ καὶ δι' ἐκεῖνο μάλιστα. τεττάρων γὰρ ὄντων στοιχείων, ἐξ ὧν ὁ
κόσμος συνέστηκε, γῆς, ὕδατος, ἀέρος, πυρός, τίνος ἕνεκα πάντων ἀποκλη-
ρωσάμενοι τὸ πῦρ τὰ ἄλλα φασὶν εἰς τοῦτο μόνον ἀναλυθήσεσθαι; δέον
γάρ, εἴποι τις ἄν, — πῶς οὐκ: — εἰς ἀέρα ἢ ὕδωρ ἢ γῆν· ὑπερβάλλουσαι
γὰρ καὶ ἐν τούτοις εἰσὶ δυνάμεις. ἀλλ' οὐδεὶς ἐξαεροῦσθαι ἢ ἐξυδατοῦσθαι
ἢ ἀπογεοῦσθαι τὸν κόσμον εἶπεν, ὥστ' εἰκὸς ἦν μηδὲ ἐκπυροῦσθαι φάναι.

---

1 φέρε δὲ M πάντων γὰρ E 2 ἔσται E: ἐστι MUHP (v) τι om. UE ἴδια γὰρ E: γὰρ om. MUHP 3 πικνὸν (e πικρὸν corr.) M ψυχρὸν ἢ πυκνόν transp. HP 4 ἐπιδείξαι Diels: ἐπιχῆται MUHP, ἐπισχῆται LE (ἐπισχῆται δήπου E cod. a); ἐπίσχοι v; ἐπιφήναι conieceram, ἐπισημήναι coni. Wendl. ἐκπυρώσεως E (Cumont): πυρώσεως MUHP (v) 5 ἀλλωτρίωσις M 6 ὡς τοῖς] αὐτοῖς L (Turn.) 9 ἑτέρας om. E 10 μὲν] δὲ E; μὲν (οὖν) coni. Wendl. 11. 12 κατακρατούμενον Mang. (Diels): κρατούμενον codd. 12 ἀστενέστερον P καὶ post ὑφ' οὗ seclusit Cumont 14 εὐταξίας H καὶ ante φθορᾶς om. U 15 ἀνωμολόγηται τοῦ ἀρίστου] ἀγαθοῦ ἀνωμολόγηται E παρὰ] περὶ M 16 τοῖς om. HP (v) τἀληθῆ H(P?)E: ἀληθῆ MU 17 θαυμάσαι δ' ἄν τις — 107, 5 συνηρτημένην ἀκολουθίαν om. E 18 θρυλλοῦντας U (v) 20 συνέστηκεν MU ἕνεκα codd.: ἕνεκεν v 21 τὰ ἄλλα UHP: τἄλλα M ἀναλυθήσεσθαι ex ἀναλυστήσεσθαι corr. M, ἀναλυθήσεσθαι U 21. 22 δέον γάρ] δεόντως coni. Cumont: γάρ post πῶς transponendum censuit Mang. 22 εἴποι τις ἄν MU: εἰπόντες ἄν HP: εἰπέ τις ἄν Turn. ὑπερβάλλουσαι — εἶπεν (24) repet. U post θάνατον (106, 2) 24 μηδὲ HP: μηδ' U, μὴν δὲ M

108 Χρὴ μέντοι καὶ τὴν ἐνυπάρχουσαν ἰσονομίαν τῷ κόσμῳ κατανοήσαντας ἢ δεῖσαι ἢ αἰδεσθῆναι τοσούτου θεοῦ κατηγορεῖν θάνατον· ὑπερβάλλουσα γάρ τις τῶν τεττάρων ἀντέκτισις δυνάμεων ἰσότητος κανόσι
109 καὶ δικαιοσύνης ὅροις σταθμωμένων τὰς ἀμοιβάς. καθάπερ γὰρ αἱ ἐτήσιοι ὧραι κύκλον ἀμείβουσιν ἀλλήλας ἀντιπαραδεχόμεναι πρὸς τὰς ἐνιαυτῶν οὐδέποτε ληγόντων περιόδους, [εἰς] τὸν αὐτὸν τρόπον [τίθησι] καὶ τὰ στοιχεῖα τοῦ κόσμου ταῖς εἰς ἄλληλα μεταβολαῖς, τὸ παραδοξότατον. θνήσκειν δοκοῦντα ἀθανατίζεται δολιχεύοντα ἀεὶ καὶ τὴν αὐτὴν ὁδὸν ἄνω
110 καὶ κάτω συνεχῶς ἀμείβοντα. ἡ μὲν οὖν προσάντης ὁδὸς ἀπὸ γῆς ἄρχεται· τηκομένη γὰρ εἰς ὕδωρ [μετα]λαμβάνει τὴν μεταβολήν, τὸ δ' ὕδωρ ἐξατμιζόμενον εἰς ἀέρα, ὁ δ' ἀὴρ λεπτυνόμενος εἰς πῦρ· ἡ δὲ κατάντης ἀπὸ κεφαλῆς, συνίζοντος μὲν πυρὸς κατὰ τὴν σβέσιν εἰς ἀέρα, συνίζοντος δ' ὁπότε συνθλίβοιτο εἰς ὕδωρ ἀέρος, ὕδατος δὲ [τὴν πολλὴν | p.509 M.
111 ἀνάχυσιν] κατὰ τὴν εἰς γῆν πυκνουμένου μεταβολήν. εὖ καὶ ὁ Ἡράκλειτος ἐν οἷς φησι· „ψυχῇσι θάνατος ὕδωρ γενέσθαι, ὕδατι θάνατος γῆν γενέσθαι“· ψυχὴν γὰρ οἰόμενος εἶναι τὸ πνεῦμα τὴν μὲν ἀέρος τελευτὴν γένεσιν ὕδατος, τὴν δὲ ὕδατος γῆς πάλιν γένεσιν αἰνίττεται, θάνατον οὐ τὴν εἰς ἅπαν ἀναίρεσιν ὀνομάζων, ἀλλὰ τὴν εἰς ἕτερον στοιχεῖον μεταβολήν.
112 ἀπαραβάτου δὴ καὶ συνεχοῦς τῆς αὐτοκρατοῦς ἰσονομίας ταύτης ἀεὶ

---

2 ἢ δεῖσαι PL: ἢ δῆσαι H, εἰδῆσαι M, αἰδεῖσθαι U θεοῦ Mang.: θείου codd. 4 αἱ] καὶ U 5 ἀλλήλας ἀντιπαραδεχόμεναι Mang.: ἀλλήλαις ἀντιπαραδέχεσθαι codd. τὰς] τοὺς M 6 εἰς seclusi; ἀεί Diels (Cumont) τίθησι seclusi; τίθεσο coni. Mang., φησί Bernays, τιθεῖσαι Buecheler, περιθέουσι Diels, περιθέει Cumont 7 post μεταβολαῖς add. καὶ Cumont 8 ἀπαθανατίζεται L (Turn.) 9 ἀμοίβοντα M προσάντις H 10 λαμβάνει scripsi: μεταλαμβάνει codd.: μεταλαμβάνει τῆς μεταβολῆς coni. Mang. τὸ δὲ U 11 ὁ δὲ U 13 συνίζοντος δὲ U συνθλίβοιτο U: συνθλίβοιντο HP, θλίβοιτο M (Bernays) 13. 14 τὴν πολλὴν ἀνάχυσιν seclusi; τῇ πολλῇ ἀναχύσει Bernays, ⟨κατὰ⟩ τὴν πολλὴν ἀνάχυσιν (deleto μεταβολήν) Buecheler 14 πυκνουμένου ν (Turn.): πυκνουμένην MHP, πηγνυμένου U 15 ψυχῆσι UHP: ψυχῆς M (Mang. Bernays) ὕδατι — γενέσθαι om. U ὕδατι HP: ὕδατος M (Mang. Bernays) 17 τὴν δὲ MP: τὴν δ' UH πάλιν γένεσιν] παλιγγενεσίαν U 17. 18 verba εἰς ἅπαν ἀναίρεσιν ὀνομάζων ἀλλὰ τὴν bis scripsit H εἰς ἅπασαν H priore loco 19 ἀπαραβάτου Mang.: ἀπαραβλήτου UP, ἀπαραβλήτους H, ἀπεριβλήτου M

---

4 sqq. Ocell. Luc. I 12 ... τὰ μὲν γὰρ πρῶτα κινούμενα κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως κύκλον ἀμείβοντα, διέξοδον οὐκ ἐπιδεχόμενα τῆς οὐσίας· τὰ δὲ δεύτερα, πῦρ καὶ ὕδωρ καὶ γῆ καὶ ἀήρ, ὄρον ἀμείβουσιν ἐφεξῆς καὶ συνεχῶς, οὐ μὴν τὸν κατὰ τόπον, ἀλλὰ τὸν κατὰ μεταβολήν. (13) πῦρ μὲν γὰρ εἰς ἓν συνερχόμενον ἀέρα ἀπογεννᾷ, ἀὴρ δὲ ὕδωρ, ὕδωρ δὲ γῆν· ἀπὸ γῆς δὲ ἡ αὐτὴ περίοδος τῆς μεταβολῆς μέχρι πυρός, ὅθεν ἤρξατο μεταβάλλειν.
14 Heracl. frg. 36 (Diels).

φυλαττομένης, ὥσπερ οὐκ εἰκὸς μόνον ἀλλὰ καὶ ἀναγκαῖον, ἐπεὶ τὸ μὲν ἄνισον ἄδικον, τὸ δ' ἄδικον κακίας ἔγγονον, κακία δ' ἐξ οἴκου τῆς ἀθανασίας πεφυγάδευται, θεῖον δέ τι ⟨διὰ τὸ⟩ μέγεθος ὁ κόσμος καὶ οἶκος θεῶν αἰσθητῶν ἀποδέδεικται, τὸ δὴ φάσκειν ὅτι φθείρεται μὴ συνορώντων ἐστὶ φύσεως εἰρμὸν καὶ πραγμάτων συνηρτημένην ἀκολουθίαν.

(22.) Προσφιλοτεχνοῦντες δέ τινες τῶν ἀΐδιον ὑπολαμβανόντων τὸν 113
κόσμον εἶναι καὶ τοιούτῳ πρὸς κατασκευὴν λόγῳ χρῶνται· φθορᾶς τέτταρας εἶναι τρόπους τοὺς ἀνωτάτω συμβέβηκε, πρόσθεσιν ἀφαίρεσιν μετάθεσιν ἀλλοίωσιν. δυὰς μὲν οὖν προσθέσει μονάδος εἰς τριάδα φθείρεται μηκέτι μένουσα δυάς, τετρὰς δ' ἀφαιρέσει μονάδος εἰς τριάδα, μεταθέσει δὲ τὸ Ξ στοιχεῖον εἰς Η, ὅταν αἱ μὲν ἐγκάρσιοι παράλληλοι πρὸς ὀρθὰς διαναστῶσιν, ἡ δὲ πρὸς ὀρθὰς ἐπεζευγμένη πλαγιασθεῖσα συνάψῃ τὰς παρ' ἑκάτερα, κατ' ἀλλοίωσιν δὲ μεταβάλλων οἶνος εἰς ὄξος. τῶν δὲ κατει- 114
λεγμένων τρόπων οὐδεὶς ἐφάπτεται τοῦ κόσμου τὸ παράπαν. ἐπεὶ καὶ τί φῶμεν; προστίθεσθαί τι τῷ κόσμῳ πρὸς ἀναίρεσιν; ἀλλ' οὐδέν ἐστιν ἐκτός, ὃ μὴ μέρος γέγονεν αὐτοῦ ⟨τοῦ⟩ ὅλου· περιέχεται γὰρ καὶ κατακρατεῖται. ἀλλ' ἀφαιρεῖσθαι; πρῶτον μὲν τὸ ἀφαιρεθὲν πάλιν κόσμος ἔσται, τοῦ νῦν βραχύτερος· ἔπειτα ⟨δ'⟩ ἀμήχανον ἔξω τι σῶμα τοῦ ὅλου διαρτηθὲν τῆς συμφυίας σκεδασθῆναι. ἀλλὰ τὰ μέρη μετατίθεσθαι: 115
μενεῖ μὲν οὖν ἐν ὁμοίῳ τοὺς τόπους οὐκ ἐναλλάττοντα· οὐ γὰρ ἐποχήσεταί ποτε οὔτε ὕδατι πᾶσα γῆ οὔθ' ὕδωρ ἀέρι οὔτε ἀὴρ πυρί, ἀλλὰ

---

2 τὸ δὲ HP 3 θεῖον δέ τι διὰ τὸ μέγεθος scripsi: θεῖον δέ τι μέγεθος codd.; θεῖον δέ τι τέμενος Bernays, θεῖον δέ τι μέγαρον Buecheler, θεῖος δὲ τὸ μέγεθος coni. Cumont, θεῖον δέ τι, ⟨μᾶλλον δὲ⟩ μέγας θεὸς coni. Wendl. 4 θεῶν Mang.: θεοῦ codd. τὸ δὴ Bernays: τὸ δὲ codd. φθείρ... (spat. 2—3 litt.) M 8 τρόπους] τόπους M συμβέβηκεν M πρόθεσιν U 9 ἀλοίωσιν H, καὶ ἀλλοίωσιν E προθέσει U 11 τὸ Ξ Cumont: τὸ ζ HPE, τὸ ζῆτα U, τοῦ ζῆτα M εἰς Η Cumont: εἰς η̄ HPE, εἰς ἦτα MU, καὶ τὸ η̄ L (Turn. in textu); οὕτω τὸ ξ στοιχεῖον παρὰ τοῖς ἀρχαίοις ἐτυπώθη mg H αἱ om. H παράλληλοι HPE: παραλλήλαις M, παραλλήλους U 12. 13 παρ' ἑκάτερον M 13 μεταβάλλον U 15 προστίθεσθαι v (Turn.): προστίθεται MUHP, προστιθέναι E 16 αὐτοῦ τοῦ ὅλου scripsi: αὐτοῦ ὅλου codd. (v); αὖ τοῦ ὅλου coni. Mang., αὐτοῦ ὅλον Bernays, αὐτοῦ· ὅλον Cumont; fortasse ὅλου tamquam glossema secludendum καὶ κρατεῖται HP (Turn.) 17 κόσμος πάλιν E cod. a 18 δ' post ἔπειτα addidi 20 μενεῖ Bernays: μένει codd. ἐναλλάττοντα UE: ἐναλάττοντα MHP 20. 21 ἐποχηθήσεται E 21 οὔτε ὕδατι Buecheler: ἔτι ὕδατι codd. πᾶσα ἡ γῆ E οὔτ' ἀὴρ U, καὶ οὔτος E

---

3. 4 Doxogr. p. 464, 19 (Arius Didymus) λέγεσθαι δὲ κόσμον καὶ τὸ οἰκητήριον θεῶν καὶ ἀνθρώπων.

τὰ μὲν φύσει βαρέα, γῆ καὶ ὕδωρ, τὸν μέσον ἐφέξει τόπον, γῆς μὲν θεμελίου τρόπον ὑπερειδούσης, ὕδατος δ' ἐπιπολάζοντος, ἀὴρ δὲ καὶ πῦρ, τὰ φύσει κοῦφα, | τὸν ἄνω, πλὴν οὐχ ὁμοίως· ἀὴρ γὰρ πυρὸς ὄχημα p. 510 M.
116 γέγονε, τὸ δ' ἐποχούμενον ἐξ ἀνάγκης ὑπερφέρεται. καὶ μὴν οὐδὲ κατ' ἀλλοίωσιν φθείρεσθαι νομιστέον· ἰσοκρατὴς γὰρ ἡ τῶν στοιχείων μεταβολή, τὸ δ' ἰσοκρατὲς ἀκλινοῦς βεβαιότητος καὶ ἀσαλεύτου μονῆς αἴτιον. ἅτε μήτε πλεονεκτοῦν μήτε πλεονεκτούμενον· ὥσθ' ἡ ἀντίδοσις καὶ ἡ ἀντέκτισις τῶν δυνάμεων ἀναλογίας ἐξισουμένη κανόσιν ὑγιείας καὶ ἀτελευτήτου σωτηρίας δημιουργός. ἐξ ὧν ἀίδιος ὁ κόσμος ἀποδείκνυται.

117 (23.) Θεόφραστος μέντοι φησὶ τοὺς γένεσιν καὶ φθορὰν τοῦ κόσμου κατηγοροῦντας ὑπὸ τεττάρων ἀπατηθῆναι τῶν μεγίστων, γῆς ἀνωμαλίας, θαλάττης ἀναχωρήσεως, ἑκάστου τῶν τοῦ ὅλου μερῶν διαλύσεως, χερ-
118 σαίων φθορᾶς κατὰ γένη ζῴων. κατασκευάζειν δὲ τὸ μὲν πρῶτον οὕτως· εἰ μὴ γενέσεως ἀρχὴν ἔλαβεν ἡ γῆ, μέρος ὑπανεστὸς οὐδὲν ἂν ἔτι αὐτῆς ἑωρᾶτο, χθαμαλὰ δ' ἤδη τὰ ὄρη πάντα ἐγεγένητο καὶ οἱ γεώλοφοι πάντες ἰσόπεδοι τῇ πεδιάδι· τοσούτων γὰρ καθ' ἕκαστον ἐνιαυτὸν ὄμβρων ἐξ ἀιδίου φερομένων, εἰκὸς ἦν τῶν διηρμένων πρὸς ὕψος τὰ μὲν χειμάρροις ἀπερρῆχθαι, τὰ δ' ὑπονοστήσαντα κεχαλάσθαι, πάντα δὲ διὰ πάντων
119 ἤδη λελειάνθαι. νυνὶ δὲ συνεχεῖς ἀνωμαλίαι καὶ παμπόλλων ὀρῶν αἱ πρὸς αἰθέριον ὕψος ὑπερβολαὶ μηνύματ' ἐστὶ τοῦ τὴν γῆν μὴ ἀίδιον εἶναι. πάλαι γάρ, ὡς ἔφην, ἐν ἀπείρῳ χρόνῳ ταῖς ἐπομβρίαις ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσ' ἂν λεωφόρος ἐγεγένητο· πέφυκε γὰρ ἡ ὕδατος φύσις καὶ μάλιστα ἀπὸ ὑψηλοτάτων καταράττουσα τὰ μὲν ἐξωθεῖν

---

1 γῆ Mang.: ἐν γῇ codd. ἐφέξει M: ὑφέξει UE, ἀφέξει HP 2 ἐπιπολάζοντος M 3 τὸν ἄνω E: τὸ ἄνω MUHP 4 καὶ μὴν δ' οὐδὲ U 4. 5 κατ' ἀλοίωσιν H, κατὰ ἀλλοίωσιν E 7 ἅτε μήτε Wendl.: ἅτε μὴ codd. πλεονεκτοῦν μήτε om. UE ὥστε E 8 ἀντέκτησις MH τῶν δυναμένων E ἀναλογίας v (Turn.): ἀναλογίαι codd. ὑγείας PE 9 ἀποδείκνυται E: . . . δείκνυται (ἀπο om. in lac.) M, ἐπιδείκνυται UHP 11 γῆς UE: τῆς MHP (Turn.) 12 ἑκάστων E cod. r 13 κατὰ ⟨πάντα⟩ γένη Cumont coll. 86, 18 κατασκευάζειν Usener (Cumont): κατασκευάζει codd.: κατασκευάζουσι coni. Mang. 14 ὑπανεστὸς UHP: ὑπανεστὼς E, ὑπανεστῆ M (ὑπανεστηκὸς Bernays) οὐδ' ἓν U αὐτῆς UE: αὖ M, αὐτῇ H (P?) 15 πάντα τὰ ὄρη transp. P 16 τοσοῦτον U ἐνιαυτῶν M 17 διηρημένων M πρὸς ὕψος] εἰς ὕψος UE 19 παμπόλων UE 20 αἰθέριον om. E 22 πᾶσ' ἂν Buecheler: πᾶσα codd. ἐγεγένητο] ἐγένετο M 23 καταρράττουσα MP

---

10 sqq. Doxogr. p. 486, 3 sqq. Zeno frg. 106 (Arnim).

τῇ βίᾳ, τὰ δὲ τῷ συνεχεῖ τῶν ψεκάδων κολάπτουσα κοιλαίνειν ὑπεργάζεσθαί τε τὴν σκληρόγεω καὶ λιθωδεστάτην ὀρυκτήρων οὐκ ἔλαττον.

Καὶ μὴν ἥ γε θάλασσα, φασίν, ἤδη μεμείωται. μάρτυρες δ' αἱ 120 νήσων εὐδοκιμώταται Ῥόδος τε καὶ Δῆλος· αὗται γὰρ τὸ μὲν παλαιὸν ἠφανισμέναι κατὰ τῆς θαλάττης ἐδεδύκεσαν ἐπικλυζόμεναι, χρόνῳ δ' ὕστερον ἐλαττουμένης ἠρέμα, κατ' ὀλίγον ἀνίσχουσαι διεφάνησαν, ὡς αἱ περὶ αὐτῶν ἀναγραφεῖσαι μηνύουσιν ἱστορίαι. τὴν δὲ Δῆλον καὶ Ἀνάφην 121 ὠνόμασαν δι' ἀμφοτέρων ὀνομάτων πιστούμενοι τὸ λεγόμενον, ἐπειδὴ γὰρ ἀναφανεῖσα δήλη ἐγένετο, ἀδηλουμένη καὶ ἀφανὴς οὖσα τὸ πάλαι. διὸ καὶ Πίνδαρος ἐπὶ τῆς Δήλου φησί·

„Χαῖρ', ὦ θεοδμάτα, λιπαροπλοκάμου
παίδεσσι Λατοῦς ἱμεροέστατον ἔρνος,
πόντου θύγατερ, χθονὸς εὐρείας ἀκίνητον τέρας, ἄν τε βροτοὶ
Δᾶλον κικλήσκουσιν, μάκαρες δ' ἐν Ὀλύμπῳ τηλέφαντον κυανέας χθονὸς
ἄστρον."

---

1 τῇ συνεχεῖ M; τῇ συνεχείᾳ coni. Buecheler κολάπτουσα] κλάπτουσα E cod. r, βλάπτουσα E cod. a, καλύπτουσα U 2 σκληρόγεω scripsi: σκληρόγεων codd. λιθοδεστάτην H 3 ἥ γε] εἴ γε HP θάλαττα Cumont δὲ E 5 θαλάττης ME: θαλάσσης UHP 6 διεφάνισαν M 7 γραφεῖσαι E τὴν δὲ Δῆλον — 110, 1 αἰνιττόμενος om. E Ἀνάφην v (Turn.): ἀναγραφὴν UHP, ἀναγράφειν M 8 ἐπειδὴ γὰρ M: ἐπειδὴ UH(P?); cf. Vahlen ad Arist. Poet. p. 131[3] 9 δήλη codd.: δῆλος Diels coll. Eur. Med. 1197 (Cumont) 9. 10 verba διὸ καὶ Πίνδαρος — 110, 1 αἰνιττόμενος post εἰῶθεν ἀποβράττεσθαι (110, 6) exhibent codd., huc transponenda esse vidit Buecheler 11 χαῖρ' ὦ] χαίρω U θεοδμάτα Boeckh: θεοδμήτα M (Mang.), θεότμητα U, θεοτίμητε HP (Turn.) 12 παίδεσσι Boeckh: παῖδ' οἱ M, παῖδες οἱ UHP (παίδες ἦ Turn., παιδὸς Mang.) 13 ἀκίνητον] ἄκμητον U ἄν] ἀν H 14 Δᾶλον] δ' ἄλλον H κικλήσκοισιν Bergk μάκαρες] μάκαρ M τηλέφαντον Bergk: τηλέφατον codd. κυανέας v (Turn.): κυαναίας UH(P?), κυανοίας M; κρανάας coni. Mang.

---

4 sqq. *Plin. N. H. II 202* nascuntur et alio modo terrae ac repente in aliquo mari emergunt, velut paria secum faciente natura quaeque hauserit hiatus alio loco reddente. clarae iam pridem insulae Delos et Rhodos memoriae produntur; et natae postea minores ultra Melon Anaphe . . . *Amm. Marcell. XVII 7, 13* fiunt autem terrarum motus modis quattuor: aut enim brasmatiae sunt, qui humum intus suscitantes sursum propellunt immanissimas moles, ut in Asia Delos emersit et Hiera et Anaphe et Rhodos. 7 sqq. Apoll. Rhod. IV 1709 sqq. Apollod. Bibl. I 139 (Argonautae) πλέοντες δὲ νυκτὸς σφοδρῷ περιπίπτουσι χειμῶνι. Ἀπόλλων δὲ στὰς ἐπὶ τὰς Μελαντίους δειρὰς τοξεύσας τῷ βέλει εἰς τὴν θάλασσαν κατήστραψεν. οἱ δὲ πλησίον ἐθεάσαντο νῆσον, τῷ δὲ παρὰ προσδοκίαν ἀναφανῆναι προσορμισθέντες Ἀνάφην ἐκάλεσαν. errat Philo, cum Delum et Anaphen eandem esse insulam dicit. 9 Callim. Hymn. IV 53. Orac. Sibyll. III 363 ἐσεῖται Δῆλος ἄδηλος. 10 Pind. frg. 87 (Bergk).

122 θυγατέρα γὰρ πόντου τὴν Δῆλον εἴρηκε τὸ λεχθὲν αἰνιττόμενος. πρὸς
δὲ τούτοις μεγάλων | πελαγῶν μεγάλους κόλπους καὶ βαθεῖς ἀναξηραν- p. 511 M.
θέντας ἠπειρῶσθαι καὶ γεγενῆσθαι τῆς παρακειμένης χώρας μοῖραν οὐ
λυπρὰν σπειρομένους καὶ φυτευομένους, οἷς σημεῖ' ἄττα τῆς παλαιᾶς ἐνα-
πολελεῖφθαι θαλαττώσεως ψηφῖδάς τε καὶ κόγχας καὶ ὅσα ὁμοιότροπα
123 πρὸς αἰγιαλοὺς εἴωθεν ἀποβράττεσθαι. εἰ δὴ μειοῦται ἡ θάλαττα, μειω-
θήσεται μὲν καὶ ἡ γῆ, μακραῖς δ' ἐνιαυτῶν περιόδοις καὶ εἰς ἅπαν
ἑκάτερον στοιχεῖον ἀναλωθήσεται, δαπανηθήσεται δὲ καὶ ὁ σύμπας ἀὴρ
ἐκ τοῦ κατ' ὀλίγον ἐλαττούμενος, ἀποκριθήσεται δὲ τὰ πάντα εἰς μίαν
οὐσίαν τὴν πυρός.

124 (24.) Πρὸς δὲ τὴν τοῦ τρίτου κεφαλαίου κατασκευὴν χρῶνται λόγῳ
τοιῷδε· φθείρεται πάντως ἐκεῖνο, οὗ πάντα τὰ μέρη φθαρτά ἐστι, τοῦ
δὲ κόσμου πάντα τὰ μέρη φθαρτά ἐστι, φθαρτὸς ἄρα ὁ κόσμος ἐστίν.
125 ὃ δ' ὑπερεθέμεθα, νῦν ἐπισκεπτέον. ποῖον μέρος τῆς γῆς, ἵνα ἀπὸ ταύτης
ἀρξώμεθα, μεῖζον ἢ ἔλαττον, οὐ χρόνῳ διαλύεται; λίθων οἱ κραταιότατοι
ἆρ' οὐ μυδῶσι καὶ σήπονται ⟨καὶ⟩ κατὰ τὴν ἕξεως ἀσθένειαν — ἡ δ'
ἐστὶ πνευματικὸς τόνος, δεσμὸς οὐκ ἄρρηκτος ἀλλὰ μόνον δυσδιάλυτος —
θρυπτόμενοι καὶ ῥέοντες εἰς λεπτὴν τὸ πρῶτον ἀναλύονται κόνιν, εἶθ'
ὕστερον δαπανηθέντες ἐξαναλοῦνται; τί δ', εἰ μὴ πρὸς ἀνέμων ῥιπίζοιτο

---

1 τὴν Δῆλον] τὴν δ' H 2 μεγάλων] μεγάλην M; μεταλλαγῇ coni. Diels
4 σημεῖ' ἄττα Bernays: σημεῖα τὰ codd. 6 εἴωθεν MUE: εἰώθασιν HP (Turn.)
εἰ δὴ M: εἰ δὲ UHPE (v) 6. 7 μειωθήσεται μὲν καὶ scripsi: μειωθήσεται μὲν
MUE, μειωθήσεται καὶ HP (Turn.) 7 περιοδικοῖς ut vid. P καὶ ante εἰς
ἅπαν seclusit Cumont 8 ἀναλυθήσεται UE δαπανηθήσεται etiam P
δὲ καὶ HP: δὲ om. MUE 9 τὰ ante πάντα om. M 10 τὴν πυρός] τοῦ
πυρός Bernays, errore ut vid. 11 δὲ om. H (Turn.) κεφαλαίου κατασκευὴν
M: κατασκευὴν κεφαλαίου E, κατασκευὴν τοῦ κεφαλαίου UHP (Turn.) χρῶνται
UE: χρᾶται M (χρῆται Bernays), χρήσεται HP (Turn.; χρήσονται Mang.) 12 πάντα
τὰ μέρη E: τὰ om. MUHP (v) 13 ἄρα καὶ E ἐστίν om. E
14 δὲ E ταύτης] ταὐτοῦ E 15 μεῖζον ἢ ἔλαττον MUE: μεῖον δὲ ἢ ἔλαττον
HP (μειοῦται, εἰ ἔλαττον Turn.) οὐ] ὃν Turn. διαλύεται Mang.: διαλύσεται
MUHP (Turn.), διαλυθήσεται E (Bernays) οἱ κράτιστοι M 16 μυδῶσι καὶ
σήπονται MUE: μυδῶσιν ὡς σήπονται P, μὴ δῶσιν ὡς σήπονται HL (μυδῶσιν; οὐ σήπον-
ται Turn.) καὶ add. Wendl. 16. 17 ἡ δ' ἐστὶ] ἥδ' ἔστι codd. (ἥδ' ἐστὶ
Turn., ἥδ' ἐστι Mang., ἣ δ' ἐστὶ Bernays, ἣ δ' ἔστι Cumont) 17 ἄρηκτος H
18 θρυπτόμενος HP 18. 19 εἶθ' ὕστερον δαπανηθέντες ἐξαναλοῦνται om. M
19 ἐξαναλοῦνται Bernays: ἐξαναλύονται UHPE; ἐξανήλωνται coni. Mang. τί δ'
codd.: ἔτι δ' v (Turn.) ἀνέμων MHP: ἀνέμῳ U, ἀνέμου E ῥιπίζοντα H

---

12 sq. Diog. La. VII 141 ... ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον, ἅτε γενητὸν
τῷ λόγῳ τῶν δι' αἰσθήσεως νοουμένων, οὗ τά τε μέρη φθαρτά ἐστι καὶ τὸ ὅλον. τὰ δὲ
μέρη τοῦ κόσμου φθαρτά, εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα ὁ κόσμος.

τὸ ὕδωρ, ἀκίνητον ἑαυτὸν οὐχ ὑφ' ἡσυχίας νεκροῦται; μεταβάλλει γοῦν καὶ δυσωδέστατον γίνεται, οἷα ψυχὴν ἀφῃρημένον ζῷον. ἥ γε μὴν ἀέρος 126
φθορὰ παντί τῳ δῆλον· νοσεῖν γὰρ καὶ φθίνειν καὶ τρόπον τινὰ ἀποθνῄσκειν πέφυκεν. ἐπεὶ τί ἄν τις μὴ στοχασάμενος ὀνομάτων εὐπρεπείας ἀλλὰ
5 τἀληθοῦς εἴποι λοιμὸν εἶναι πλὴν ἀέρος θάνατον τὸ οἰκεῖον πάθος ἀναχέοντος ἐπὶ φθορᾷ πάντων ὅσα ψυχῆς μεμοίραται; τί χρὴ μακρηγορεῖν 127
p.512M. περὶ πυρός; ἀτροφῆσαν γὰρ αὐτίκα σβέννυται, χωλόν, | ᾗ φασιν οἱ ποιηταί, γεγονὸς ἐξ ἑαυτοῦ· διὸ σκηριπτόμενον ὀρθοῦται κατὰ τὴν τῆς ἀναφθείσης ὕλης μονήν, ἐξαναλωθείσης δ' ἀφανίζεται. τὸ παραπλήσιον μέντοι καὶ 128
10 τοὺς κατὰ τὴν Ἰνδικὴν δράκοντάς φασι πάσχειν· ἀνέρποντας γὰρ ἐπὶ τὰ

---

1 οὐκ ἀκίνητον E οὐχ om. UHE νεκροῦται] νεκροῖτ' ἄν Cumont
2 δυσωδέστατον MUE: τὸ δυσωδέστατον HP (v) γίγνεται E 2. 3 ἥ γε μὴν ἀέρος φθορὰ scripsi: αἵ γε μὴν ἀέρος φθοραὶ codd. 3 δῆλον codd.: δῆλαι Bernays; δῆλοι coni. Cumont ἀποθνήσκων M 4 στοχασάμενος M: στοχαζόμενος UHPE (v) εὐπρεπείαις U(E cod. b) 5 τἀληθοῦς E: τοῦ ἀληθοῦς MUHP εἴποι MUE: εἴποιμι HP (Turn.) 6 πάντων MUPE: ἁπάντων H (v) μεμοίρανται H(P?) 7 χωλόν — 112, 16 πνιγῇ τελευτῶσιν om. E χωλόν] χωλὸς ⟨Ἥφαιστος⟩ Cumont οἱ om. U 8 γεγονὸς ἐξ ἑαυτοῦ· διὸ σκηριπτόμενον] γεγονὼς ἐξ αὐτοῦ Διὸς σκηριπτόμενος Cumont; post Διός add. ὅτι Gomperz κατὰ τὴν] κατὰ τὸν M
9 ὕλης μονὴν ἐξαναλωθείσης om. U ὕλην H μονήν] νομήν Usener (Cumont)

---

7 sqq. Heraclit. Alleg. Hom. c. 26 (= schol. B ad Hom. Il. *A* 591) ... ἐπεὶ ἡ πυρὸς οὐσία διπλῆ, καὶ τὸ μὲν αἰθέριον ... οὐδὲν ὑστεροῦν ἔχει πρὸς τελειότητα, τοῦ δὲ παρ' ἡμῖν πυρὸς ἡ ὕλη (οὐσία?), πρόσγειος οὖσα, φθαρτὴ καὶ διὰ τῆς ὑποτρεφούσης ⟨ὕλης⟩ παρ' ἕκαστα ζωπυρουμένη, διὰ τοῦτο τὴν μὲν ὀξυτάτην φλόγα συνεχῶς Ἡλιόν τε καὶ Δία προσαγορεύει, τὸ δ' ἐπὶ γῆς πῦρ Ἥφαιστον, ἑτοίμως ἁπτόμενόν τε καὶ σβεννύμενον· ὅθεν εἰκότως κατὰ σύγκρισιν ἐκείνου τοῦ ὁλοκλήρου τοῦτο νενόμισται χωλὸν εἶναι τὸ πῦρ. ἄλλως τε καὶ πᾶσα ποδῶν πήρωσις ἀεὶ τοῦ διαστηρίζοντος ἐπιδεῖται βάκτρου· τὸ δὴ παρ' ἡμῖν πῦρ, ἄνευ τῆς τῶν ξύλων ἐπιθέσεως οὐ δυνηθὲν ἂν ἐπὶ πλέον παραμεῖναι, συμβολικῶς χωλὸν εἴρηται. Plut. de facie in orbe lunae 5 p. 922a ὅτι μέντοι πῦρ ἀνθρακῶδες ... οὐκ ἔχει διαμονὴν οὐδὲ σύστασιν ὅλως, ἐὰν μὴ στερεᾶς ὕλης καὶ στεγούσης ἅμα καὶ τρεφούσης ἐπιλάβηται, βέλτιον οἶμαι συνορᾶν ἐνίων φιλοσόφων τοὺς ἐν παιδιᾷ λέγοντας τὸν Ἥφαιστον εἰρῆσθαι χωλόν, ὅτι τὸ πῦρ ξύλων χωρὶς ὥσπερ οἱ χωλοὶ βακτηρίας οὐ πρόεισιν. Cornut. Theol. c. 19 p. 33, 14 (Lang) τὸ δ' ἐν χρήσει καὶ ἀερομιγὲς (πῦρ) Ἥφαιστος ... χωλὸς δὲ παραδέδοται ... τάχα δὲ ἀπὸ τοῦ μὴ δύνασθαι προβαίνειν δίχα ξυλώδους τινὸς ὡσὰν βάκτρου. 10 sqq. *Plin. N. H. VIII 32* elephantos fert Africa ... sed maximos India bellantesque cum iis perpetua discordia dracones tantae magnitudinis et ipsos, ut circumplexu facili ambiant nexuque nodi praestringant. commoritur ea dimicatio, victusque conruens conplexum elidit pondere. *Ambros. Hexam. III 9, 40* ... draco elephantum ligat, cuius ruina mors victoris est. et ideo summa vi utrimque certatur, ille ut pedem alliget, in quo casus vincti sibi nocere non possit, iste ne posteriore extremus pede aut calle capiatur angusto, ubi vel ipse se non queat retorquere et draconem gravi proterere vestigio vel sequentis elephanti auxilium non habere. cf. Aelian. Nat. anim. VI 21.

μέγιστα τῶν ζῴων, ἐλέφαντας, περὶ νῶτα καὶ νηδὺν ἅπασαν εἱλεῖσθαι, φλέβα δ' ἣν ἂν τύχῃ διελόντας ἐμπίνειν τοῦ αἵματος, ἀπλήστως ἐπισπωμένους βιαίῳ πνεύματι καὶ συντόνῳ ῥοίζῳ· μέχρι μὲν οὖν τινος ἐξαναλουμένους ἐκείνους ἀντέχειν ὑπ' ἀμηχανίας ἀνασκιρτῶντας καὶ τῇ προνομαίᾳ τὴν πλευρὰν τύπτοντας ὡς καθιξομένους τῶν δρακόντων, εἶτα ἀεὶ κενουμένου τοῦ ζωτικοῦ, πηδᾶν μὲν μηκέτι δύνασθαι, κραδαινομένους δ' ἑστάναι, μικρὸν δ' ὕστερον καὶ τῶν σκελῶν ἐξασθενησάντων, κατασεισθέντας ὑπὸ λιφαιμίας ἀποψύχειν, πεσόντας δὲ τοὺς αἰτίους τοῦ θανάτου
129 συναπολλύναι τρόπῳ τοιῷδε· μηκέτ' ἔχοντες τροφὴν οἱ δράκοντες ὧν περιέθεσαν δεσμὸν ἐπιχειροῦσιν ἐκλύειν ἀπαλλαγὴν ἤδη ποθοῦντες, ὑπὸ δὲ τοῦ βάρους τῶν ἐλεφάντων θλιβόμενοι πιέζονται, καὶ πολὺ μᾶλλον ἐπειδὰν τύχῃ στέριφον καὶ λιθῶδες τὸ ἔδαφος· ἰλυσπώμενοι γὰρ καὶ πάντα ποιοῦντες εἰς διάλυσιν, ὑπὸ τῆς τοῦ πιέσαντος βίας πεδηθέντες, ἑαυτοὺς πολυτρόπως ἐν ἀμηχάνοις καὶ ἀπόροις γυμνάσαντες ἐξασθενοῦσι ⟨καὶ⟩ καθάπερ οἱ καταλευσθέντες ἢ τείχους αἰφνίδιον ἐπενεχθέντος προκαταληφθέντες, οὐδ' ὅσον ἀνακύψαι δυνάμενοι, πνιγῇ τελευτῶσιν. εἰ δὴ τῶν μερῶν ἕκαστον τοῦ κόσμου φθορὰν ὑπομένει, δῆλον ὅτι καὶ ὁ ἐξ αὐτῶν παγεὶς κόσμος ἄφθαρτος οὐκ ἔσται.

130 Τὸν δὲ τέταρτον καὶ λοιπὸν λόγον ἀκριβωτέον ὧδε, φασίν· εἰ ὁ κόσμος ἀίδιος ἦν, ἦν ἂν καὶ τὰ ζῷα ἀίδια καὶ πολύ γε μᾶλλον τὸ τῶν ἀνθρώπων γένος, ὅσῳ καὶ τῶν ἄλλων ἄμεινον. ἀλλὰ καὶ ὀψίγονον φανῆναι τοῖς βουλομένοις ἐρευνᾶν τὰ φύσεως· εἰκὸς γὰρ μᾶλλον δ' ἀναγκαῖον ἀνθρώποις συνυπάρξαι τὰς τέχνας ὡς ἂν ἰσήλικας, οὐ μόνον

---

1 τῶν ζώων codd.: τῶν om. v περὶ νῶτα MU: περὶ δὲ νῶτα HP (περὶ τὰ νῶτα Turn.) εἱλεῖσθαι codd. 3. 4 ἐξαναλουμένους MP: ἐξαναλωμένους U, ἐξαναλουμένης H (Turn.) 4. 5 προνομαῖα H, προνομιαία U 5 καθιξομένους U: καθεξομένους M, καθιζομένους HP 6 κενουμένου M: κινουμένου UHP 7 ἑστάναι] εὐτάναι H 8 ὑπὸ λιφαιμίας om. in lac. HP (Turn.) λειφαιμίας MU ἀποψύχειν MHP: ἀποθνήσκειν U (Mang.) 9 συναπολύναι HP 10 δεσμῶν P 11 πιέζονται U: πιεζοῦνται MHP (Bernays) 12 τύχοι P τὸ ἔδαφος M: τὸ om. UHP (Turn.) 13 ὑπὸ in ὑπὲρ corr. U² 14 γυμνάσαντες v (Turn.): γυμνώσαντες codd. 15 καὶ ante καθάπερ add. Bernays, om. codd. ἢ] οἳ L (Turn.) ἐπενεχθέντος MU: ὑπενεχθέντος HP (v) 16 πνιγῇ] τῇ γῇ M 17 ὑπομένει MHP: ἐπιμένει UE δῆλον ὅτι] δηλονότι codd. 19 ἀκριβωτέον MH(P?): ἀκριβώτερον U, ἀκριβέστερον E ἀκριβωτέον ὧδε, φασίν· distinxi: ἀκριβωτέον. ὧδέ φασιν Turn., ἀκριβωτέον ὧδέ φασιν· Mang. (Diels Cumont), ἀκριβωτέον ὧδε· φασὶν Bernays 19. 20 εἰ ὁ κόσμος E: εἰ om. M, ὁ om. UH(P?) 20 τὸ τῶν E: τὸ om. M, τῶν om. UHP (v) 22 φανῆναι] φανήσεται coni. Usener τὰ φύσεως] τὰς φύσεις E; τὰ φύσεως ⟨φυσικῶς⟩ Bernays 23 ἀνθρώπους E συνυπάρξας M

ὅτι λογικῇ φύσει τὸ ἐμμέθοδον οἰκεῖον, ἀλλὰ καὶ ὅτι ζῆν ἄνευ τούτων
οὐκ ἔστιν. ἴδωμεν οὖν τοὺς ἑκάστων χρόνους ἀλογήσαντες τῶν ἐπιτραγῳ- 131
δουμένων θεοῖς μύθων * * * εἰ ⟨δὲ⟩ μὴ ἀίδιος ἄνθρωπος, οὐδ' ἄλλο
τι ζῷον, ὥστ' οὐδ' αἱ δεδεγμέναι ταῦτα χῶραι, γῆ καὶ ὕδωρ καὶ ἀήρ·
ἐξ ὧν τὸ φθαρτὸν εἶναι τὸν κόσμον δῆλόν ἐστιν.

(25.) Ἀναγκαῖον δὲ πρὸς τὴν τοσαύτην εὑρεσιλογίαν ἁπαντῆσαι, μή 132
τις τῶν ἀπειροτέρων ἐνδοὺς ὑπαχθῇ· καὶ ἀρκτέον γε τῆς ἀντιρρήσεως
p. 513 M. ἀφ' οὗ καὶ τῆς ἀπάτης | οἱ σοφισταί. τὰς ἀνωμαλίας οὐκέτ' ἐχρῆν εἶναι
τῆς γῆς, εἴπερ ἀίδιος ἦν ὁ κόσμος; διὰ τί, ὦ γενναῖοι; φήσουσι γὰρ
ἕτεροι παρελθόντες, ὅτι δένδρων οὐδὲν αἱ φύσεις τῶν ὀρῶν διαφέρουσιν,
ἀλλὰ καθάπερ ἐκεῖνα καιροῖς μέν τισι φυλλορροεῖ καιροῖς δὲ πάλιν ἀνηβᾷ
— διὸ καὶ τὸ ποιητικὸν εὖ εἴρηται

„φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ἔαρος δ' ἐπιγίγνεται ὥρη" —,

τὸν αὐτὸν τρόπον καὶ τῶν ὀρῶν τὰ μὲν ἀποθραύεται μέρη, τὰ δὲ
προσφύεται. μακροῖς δὲ χρόνοις ἡ πρόσφυσις καθίσταται γνώριμος, διότι 133
τὰ μὲν δένδρα ὠκυτέρᾳ χρώμενα τῇ φύσει θᾶττον καταλαμβανομένην
ἔχει τὴν ἐπίδοσιν, τὰ δ' ὄρη βραδυτέρᾳ, διὸ καὶ τὰς ἐκφύσεις αὐτῶν
αἰσθητὰς ὅτι μὴ χρόνῳ μακρῷ μόλις εἶναι συμβέβηκεν. ἐοίκασί γε τὸν 134
τρόπον τῆς γενέσεως αὐτῶν ἀγνοεῖν, ἐπεὶ κἂν ἴσως αἰδεσθέντες ἡσύ-
χασαν. φθόνος δ' οὐδεὶς ἀναδιδάσκειν· ἔστι δ' οὔτε νέον τὸ λεγόμενον

---

1 τὸ ἐμμέθοδον UHP: τε ἐμμέθοδον M, ἐμμέθοδον τὸ E 2 οὐκ ἔστιν ME: οὐκ ἔνεστιν UHP (ν) ἀλογήσαντες HP: ἀναλογίσαντες UE, ἀμελήσαντες M 3 post μύθων aliquid deesse videri monuit Mang. εἰ δὲ μὴ Zeller: εἰ μὴ MUE, μὴ HP (Turn.) 4 ὥστε οὐδὲ E ὥστ'] ὅτ' L (Turn.) οὐδ'] οὐ M αἱ om. M δεδεγμέναι MEH²: δεγμέναι H¹P, δεδειγμέναι U 5 τὸ φθαρτὸν HPE: τὸν φθαρτὸν MU τὸν κόσμον E: τὸν om. MUHP 6 εὑρεσιλογίαν PE: εὑρησιλογίαν MUH 7 ἐνδοὺς om. E ὑπαχθῇ] ἀπαχθῇ coni. Mang. 8 τὰς ante ἀνωμαλίας om. M (Bernays) 9 ἀίδιος ἦν] ἀίδιον εἶναι HP ὦ γενναῖε E 11 φυλλοροεῖ U 12 διὸ—14 ὥρη om. E 13 χαμαδεσχέει H 14 ἔαρος] ἀέρος H (ἦρος Turn.) ἐπιγίγνεται U: ἐπιγίνεται MHP 15 ἀποθραύεται] ἐπιθράβεται M 16 γνώριμος] γνωρίμη coni. Jessen 17 φύσει] προσφύσει coni. Mang. καταλαμβάνειν E (καταλαμβάνει cod. r) 18 βραδυτέρᾳ ν (Turn.): βραχύτερα codd., βραδύτερα Bernays 19 μόγις M (Bernays) γε] τε E (sed γε cod. a) 20 κἂν MUPE: καὶ H (ν) 21 οὔτε νέον codd.: οὔτε τι νέον Turn. τὸ λεγόμενον E (coni. Mang.): τῶν λεγομένων MUHP

---

2 cf. Bernays, Theophrastos Schrift über Frömmigkeit p. 47. 13 sq. Hom. Il. Z 147. 148. 21 sq. cf. Eur. frg. 484 κοὐκ ἐμὸς ὁ μῦθος.

οὔτε ῥήμαθ' ἡμῶν, ἀλλὰ παλαιὰ σοφῶν ἀνδρῶν, οἷς οὐδὲν ἀδιερεύνητον τῶν
135 εἰς ἐπιστήμην ἀναγκαίων ἀπολέλειπται. ὅταν τὸ κατακεκλεισμένον ἐν τῇ γῇ πυρῶδες ἄνω τῇ τοῦ πυρὸς ἐλαύνηται φυσικῇ δυνάμει, πρὸς τὸν οἰκεῖον τόπον στείχει, κἂν τινος λάβηται βραχείας ἀναπνοῆς, ἄνω μὲν συνανασπᾷ πολλὴν τῆς γεώδους οὐσίας, ὅσην ἂν οἷόν τε ᾖ, ἔξω δ' ἐπι- 5
γενόμενον φέρεται βραδύτερον, [ἢ] καὶ μέχρι πολλοῦ συμπαρελθεῖν βιασθεῖσα, πρὸς μήκιστον ἀρθεῖσα ὕψος, στέλλεται κορυφουμένη καὶ πρὸς
136 ὀξεῖαν ἀποτελευτᾷ κορυφὴν τὸ πυρὸς σχῆμα μιμουμένη. γίνεται γὰρ τοῦ κουφοτάτου καὶ βαρυτάτου τότε, τῶν φύσει ἀντιπάλων, ἀναγκαία συρραξάντων διαμάχη, πρὸς τὴν οἰκείαν ἑκατέρου χώραν ἐπειγομένου 10
καὶ ⟨πρὸς⟩ τὸ βιαζόμενον ἀντιτείνοντος· τὸ μὲν δὴ πῦρ συνανέλκον γῆν ὑπὸ τοῦ περὶ αὐτὴν νευστικοῦ βρίθειν ἀναγκάζεται, ἡ δὲ γῆ κατωτάτω ταλαντεύουσα τῷ τοῦ πυρὸς ἀνωφοίτῳ συνεπελαφρισθεῖσα μετέωρος ἐξαίρεται καὶ κρατηθεῖσα μόλις ὑπὸ δυνατωτέρας τῆς ἐπικουφιζούσης
137 ἰσχύος ἄνω πρὸς τὴν τοῦ πυρὸς ἕδραν ὠθεῖται κἀνίσταται. τί οὖν θαυ- 15
μαστόν, εἰ μὴ τὰ ὄρη ταῖς τῶν ὑετῶν φοραῖς ἐξανήλωται, τῆς συνεχούσης αὐτὰ δυνάμεως, ὑφ' ἧς καὶ διανίσταται, μάλα παγίως καὶ κραταιῶς ἐνειλημμένης; λυθέντος γὰρ δεσμοῦ τοῦ συνέχοντος, εἰκὸς ἦν διαλυθῆναι καὶ πρὸς ὕδατος σκεδασθῆναι, δυνάμει δὲ σφιγγόμενα τῇ τοῦ πυρὸς 19
στεγανώτερον πρὸς τὰς τῶν ὑετῶν φορὰς ἀντέχει. (26.) | ταῦτα μὲν οὖν p.514 M.

---

1 οὔτε ῥήμαθ' ἡμῶν H(P?): οὐ ῥήμαθ' ἡμῶν MU, οὔθ' ἡμέτερον ῥῆμα E (fortasse recte) παλαιὰ σοφῶν] παλαιῶν καὶ σοφῶν E (fortasse recte) 3 ἐλαύνηται ME: ἐλαυνεται UHP 4 στείχει] ἔχει U, στείχη H ἄνω E: ἄνωθεν MUHP 5 πολλὴν codd.: πολὺ ν (Turn.) ὅσην M: ὅσον UHPE (ν) οἷόν τε HPE: οἷόν τ' U, εἰ οἷόν τε M; ἀεὶ οἷόν τε Bernays ἢ] ἦν M 5. 6 ἔξω δ' ἐπιγενόμενον (ἐπιγινόμενον E) corruptum; ἡ δ' ἔξωθεν ἐπιγενομένη Bernays, ἔξω δ' ἐπιγενομένου Buecheler, ἔξω δ' ἐπειγόμενον coni. Wendl. 6 φέρεται βραδύτερον Mang. (Bernays): φέρεσθαι βραχυτέραν codd. (φέρεσθαι βραδύτερον Cumont) καὶ Bernays: ἢ καὶ MUHP, ἡ καὶ E; ἡ δὲ Diels (Cumont) 7 στέλλεται] συστέλλεται E κορυφουμένη] ἀποκορυφουμένη ν (Turn.) 8 τὸ ante πυρὸς om. UE 10 συρραξάντων codd.: συρρηξάντων ν (Turn.) τὴν οἰκίαν P 11 πρὸς add. Turn. in append., om. codd. ἀντιτείνοντος MUE: ἐπιτείνοντος HP (Turn.) πῦρ] πυρῶν E (sed πῦρ cod. a) γῆν om. Cumont, errore ut vid.; ⟨τὴν⟩ γῆν Diels 13 τ τοῦ πυρὸς (sic) M ἀνωφοίτῳ ME: ἄνω φοιτῶσα U, οὐρανοφοίτῳ HP (Turn.) ἐπελαφρισθεῖσα E 13. 14 verba μετέωρος ἐξαίρεται καὶ κρατηθεῖσα om. UE 14 post δυνατωτέρας add. βίας Cumont 15 κἀνίσταται Diels: καὶ ἵσταται codd.; καὶ διανίσταται coni. Mang. 16 ταῖς om. M συνεχούσης] ἐχούσης PL (Turn.) 18 γρ. ἐνειλημένης Turn. in append. λυθέντος UE: λυθέντα MHP (Turn.) 19 ὕδατα E 20 στεγανώτερον E: στεγανώτερα MUHP (ν)

ἡμῖν λελέχθω περὶ τοῦ τὴν ἀνωμαλίαν τῆς γῆς πίστιν οὐκ εἶναι γενέσεως καὶ φθορᾶς κόσμου.

Πρὸς δὲ τὸ ἀπὸ τῆς μειώσεως τῆς θαλάττης ἐπιχειρηθὲν ἐκεῖνο 138
δεόντως ἂν λέγοιτο· μὴ τὰς ἀνασχούσας νήσους αὐτὸ μόνον ἀεὶ μηδ' εἴ
τινες ἀποτομαὶ κατακλυζόμεναι τὸ πάλαι χρόνοις αὖθις ἠπειρώθησαν
σκοπεῖτε — φυσιολογίας γὰρ ἀντίπαλον φιλονεικία τριπόθητον ἡγουμένης
ἀλήθειαν ἰχνηλατεῖν —, ἀλλὰ πολυπραγμονεῖτε καὶ τοὐναντίον, ὅσαι μὲν
ἐν ἠπείροις οὐ παράλιοι μόνον ἀλλὰ καὶ μεσόγειοι μοῖραι κατεπόθησαν,
ὅση δὲ χέρσος θαλαττωθεῖσα μυριοφόροις ναυσὶν ἐμπλεῖται. ⟨ἢ⟩ τὴν 139
περὶ τὸν ἱερώτατον Σικελικὸν πορθμὸν ᾀδομένην ἱστορίαν ἀγνοεῖτε;
⟨ἦν μὲν γὰρ⟩ τὸ παλαιὸν ἠπείρῳ Ἰταλίᾳ Σικελία συνάπτουσα, μεγάλων
δὲ τῶν παρ' ἑκάτερα πελαγῶν βιαίοις πνεύμασιν ἐξ ἐναντίας ἐπιδραμόν-
των, ἡ μεθόριος ἐπεκλύσθη καὶ ἀνερράγη, παρ' ἣν καὶ πόλις ἐπώνυμος

---

1 πίστιν ME: πιστὴν UHP (E cod. b) 3 θαλάσσης E 4 δεόντως] δὲ ὄντως H ἂν om. H (Turn.) ἀνισχούσας E ἀεὶ Bernays: εἰ MUHP (om. ν), ἀλλὰ καὶ εἰ E 5 τὸ πάλαι] τοῖς πάλαι E (Diels) 6 σκοπεῖτε M: σκοπεῖται UH(P?), σκοπεῖν χρή E φιλονεικίας M; φιλονικία Cumont 7 ἀλήθεια H ἰχνηλατήσειν UE πολυπραγμονεῖτε Mang.: πολυπραγμονεῖται UHPE, πολυπραγμονεῖν ἔστι M (Bernays) 8 ἐν ante ἠπείροις om. E μοῖρας M 9 ὅση] ὅτι E θανατωθεῖσα U ἢ add. Diels (ἢ scripsi) 9. 10 τὴν — ἀγνοεῖτε] ἡ περὶ τὸν Σικελικὸν πορθμὸν ᾀδομένη ἱστορία ἀγνοεῖται παρ' οὐδενὸς τῶν ἑλλογίμων E 10 ἱερώτατον] εὐρύτατον coni. Diels ἀγνοεῖτε MP: ἀγνοεῖται UH(E) 11 ἦν γὰρ addidi τὸ ⟨μὲν⟩ παλαιὸν Diels (Cumont) ἠπείρῳ] ⟨ἦν⟩ ἤπειρος Buecheler (Cumont) ἰταλίας U (ν), ἰταλίαν H Σικελία Buecheler (Cumont): σικελίαν codd. συνάπτουσα MH(P?): προσάπτουσα UE; συνάπτουσαν ν 13 ἐπεκλύθη E (ἐπεκλύσθη cod. b) ἀνερράγη MUPE: ἐνερράγη H (ν) παρ' ἣν] παρῆν M καὶ πόλις] καὶ om. Turn., ἡ πόλις Mang. in textu

---

10 sqq. Diodor. Sic. IV 85, 3 φασὶ γὰρ οἱ παλαιοὶ μυθογράφοι τὴν Σικελίαν τὸ πρὸ τοῦ χερρόνησον οὖσαν ὕστερον γενέσθαι νῆσον διὰ τοιαύτης αἰτίας. τὸν ἰσθμὸν κατὰ τὸ στενώτατον ὑπὸ δυοῖν πλευρῶν θαλάττῃ προσκλυζόμενον ἀναρραγῆναι καὶ τὸν τόπον ἀπὸ τούτου Ῥήγιον ὀνομασθῆναι καὶ τὴν ὕστερον πολλοῖς ἔτεσι κτισθεῖσαν πόλιν τυχεῖν τῆς ὁμωνύμου προσηγορίας. ἔνιοι δὲ λέγουσι σεισμῶν μεγάλων γενομένων διαρραγῆναι τὸν αὐχένα τῆς ἠπείρου καὶ γενέσθαι τὸν πορθμὸν διειργούσης τῆς θαλάττης τὴν ἤπειρον ἀπὸ τῆς νήσου. Strab. VI 6 p. 258 ὠνομάσθη δὲ Ῥήγιον εἴθ', ὥς φησιν Αἰσχύλος, διὰ τὸ συμβὰν πάθος τῇ χώρᾳ ταύτῃ· ἀπορραγῆναι γὰρ ἀπὸ τῆς ἠπείρου τὴν Σικελίαν ὑπὸ σεισμῶν ἄλλοι τε κἀκεῖνος εἴρηκεν „ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται“ (Aesch. frg. 402 N.). *Sen. Nat. Quaest. VI 30, 3* ... sic per hanc inundationem, quam poetarum maximi celebrant, ab Italia Sicilia resecta est. *Plin. N. H. III 86* Sicilia ... quondam Bruttio agro cohaerens, mox interfuso mari avulsa ...; ab hoc dehiscendi argumento Rhegium Graeci nomen dedere oppido in margine Italiae sito.

τοῦ πάθους Ῥήγιον κτισθεῖσα ὠνομάσθη. καὶ τοὐναντίον οὗ προσεδόκησεν ἄν τις ἀπέβη· συνεζεύχθη μὲν γὰρ τὰ τέως διεστῶτα πελάγη κατὰ τὴν σύρρυσιν ἑνωθέντα, ἡ δὲ ἡνωμένη γῆ τῷ μεθορίῳ πορθμῷ διεζεύχθη,
140 παρ' ὃν ἤπειρος οὖσα Σικελία νῆσος ἐβιάσθη γενέσθαι. πολλὰς δὲ καὶ ἄλλας λόγος τῆς θαλάττης ὑπερσχούσης ἠφανίσθαι πόλεις καταποθείσας, ἐπεὶ καὶ κατὰ Πελοπόννησόν φασι τρεῖς

„Αἴγειραν Βοῦράν τε καὶ ὑψηλὴν Ἑλίκειαν,
τείχεσιν ἣ τάχ' ἔμελλε περὶ βρύα μυρία φύσειν",

εὐδαίμονας τὸ πάλαι γενομένας πολλῇ τοῦ πελάγους ἐπικλυσθῆναι φορᾷ.
141 ἡ δὲ Ἀτλαντὶς νῆσος, „ἅμα Λιβύης καὶ Ἀσίας μείζων", ἧ φησιν ἐν Τιμαίῳ Πλάτων, ἡμέρᾳ μιᾷ καὶ νυκτὶ „σεισμῶν ἐξαισίων καὶ κατακλυσμῶν γενομένων δῦσα κατὰ τῆς θαλάττης ἐξαίφνης ἠφανίσθη", γενομένη
142 πέλαγος, οὐ πλωτόν, ἀλλὰ βαραθρῶδες. οὐδὲν οὖν εἰς τὸ φθείρεσθαι τὸν κόσμον ἡ πλασθεῖσα τῷ λόγῳ μείωσις τῆς θαλάττης συνεργεῖ· φαίνεται γὰρ ὧν μὲν ἐξαναχωροῦσα, τὰ δ' ἐπικλύζουσα. ἐχρῆν δὲ μὴ θάτερον τῶν γινομένων ἀλλὰ συνάμφω θεωροῦντας ἐπικρίνειν, ἐπεὶ κἀν τοῖς περὶ βίον ἀμφισβητήμασιν | ὁ νόμιμος δικαστής, πρὶν [παρὰ] τῶν ἀντιδίκων p. 515 M.
ἀκοῦσαι, γνώμην οὐκ ἀποφανεῖται.
143 (27.) Καὶ μὴν ὁ τρίτος λόγος ἐξ ἑαυτοῦ διελέγχεται, μὴ ὑγιῶς ἐρωτηθεὶς ἀπὸ τῆς εὐθὺς ἐν ἀρχῇ φάσεως. οὐ γὰρ δήπουθεν οὗ πάντα τὰ μέρη φθείρεται φθαρτόν ἐστιν ἐκεῖνο, ἀλλ' οὗ πάντα τὰ μέρη ἅμα

---

1 οὗ] ἧ L, ἣ Turn. προσεδόκησαν H 2 ἐπέβη M συνεζεύγχθη M
3 σύρρυσιν MU: σύρρησιν HP, σύρρευσιν E ἡ δ' ἡνωμένη E (Cumont)
διεζεύγχθη M 5 ὑπερσχούσης MU: ὑπερεχούσης HPE (v); ὑπερχεούσης coni. Scaliger ἠφανίσθη U πόλεις πόθησας P, πολ .... πόθησας (spat. 4—5 litt.) H
7 βούρράν M ἑλίκειαν MU: ἔλκειαν H, ἑλύνειαν P, ἑλίκην E 8 τείχεσιν—γενομένας (9) om. E ἣ HP: ἣ MU ἔμελλεν M περίβρυα ML (Turn.) μυρία om. Turn. φύσειν M: φύσιν HP (Turn.), φησίν U
9 πολλῇ] πολὺ M 10 Ἀτλαντὶς] ἄντλα τις H ἀσίης M 12 τῆς om. Turn. θαλάσσης H (v) 13 πλωτῶν P, πλωτῶ H 14 τῆς θαλάττης E: τῇ θαλάττῃ MUHP (v) 15 ὧν μὲν] τῶν μὲν coni. Diels (Cumont)
17 βίων ἀμφισαντήμασιν (sic) M νόμιμος] νόμος E πρὶν παρὰ codd. (etiam M); παρὰ seclusit Buecheler; πρὶν καὶ Diels, πρὶν ἑκατέρου coni. Usener
20 οὗ] οὐ H 20. 21 πάντα τὰ μέρη E: πάντα μέρη MUHP (v) 21 οὗ] οὐ H τὰ μέρη πάντα conicio; καὶ ἅμα pro ἅμα καὶ coni. Cumont

---

7. 8 Versus ignoti poetae: Meineke, Anal. Alex. p. 46. non tres urbes demersas esse, ut dicit Philo, sed duas Buram et Helicen constat: cf. Polyb. II 41, 7. Amm. Marcell. XVII 7, 13. Sen. Nat. Quaest. VI 23, 4. VII 5, 3. 4. 10—12 Plat. Tim. 24 e. 25 c d.

καὶ ἐν ταὐτῷ ⟨καὶ⟩ ἀθρόα κατὰ τὸν αὐτὸν χρόνον, ἐπεὶ καὶ ἄκρον ἀποκοπείς τις δάκτυλον ζῆν οὐ κεκώλυται, εἰ δὲ τὴν κοινωνίαν τῶν μερῶν καὶ μελῶν πᾶσαν, αὐτίκα τελευτήσει. τὸν αὐτὸν οὖν τρόπον, εἰ μὲν **144** συλλήβδην ἁπαξάπαντα τὰ στοιχεῖα ὑφ' ἕνα καιρὸν ἠφανίζετο, φάσκειν ἐνδέχεσθαι τὸν κόσμον φθορὰν ἣν ἀναγκαῖον· εἰ δ' ἕκαστον ἰδίᾳ πρὸς τὴν τοῦ γείτονος μεταβάλλει φύσιν, ἀθανατίζεται μᾶλλον ἢ φθείρεται κατὰ τὸ φιλοσοφηθὲν ὑπὸ τοῦ τραγικοῦ

„θνήσκει δ' οὐδὲν τῶν γιγνομένων,
διακρινόμενον δ' ἄλλο πρὸς ἄλλο
μορφὴν ἑτέραν ἀπέδειξεν."

Παντελής γε μὴν εὐήθεια τὸ γένος τῶν ἀνθρώπων ἀπὸ τῶν τεχνῶν **145** ἐξετάζεσθαι· τῇ γὰρ περὶ τὸν λόγον ἀτοπίᾳ τις ἀκολουθήσας νέον τὸν κόσμον ἀποφανεῖ κομιδῇ μόλις πρὸ χιλίων παγέντα ἐνιαυτῶν, ἐπεὶ καὶ οὓς παρειλήφαμεν τῶν ἐπιστημῶν εὑρετὰς τὸν λεχθέντα τῶν ἐνιαυτῶν ἀριθμὸν οὐχ ὑπερβάλλουσιν. εἰ δὲ δὴ καὶ λεκτέον τὰς τέχνας ἰσήλικας **146** ἀνθρώπων γένει, μεθ' ἱστορίας φυσικῆς ἀλλ' οὐκ ἀπερισκέπτως καὶ ῥᾳθύμως λεκτέον. ἡ δ' ἱστορία τίς; φθοραὶ τῶν κατὰ γῆν, οὐκ ἀθρόων ἁπάντων ἀλλὰ τῶν πλείστων, δυσὶ ταῖς μεγίσταις αἰτίαις ἀνατίθενται, πυρὸς καὶ ὕδατος ἀλέκτοις φοραῖς· κατασκήπτειν δ' ἑκατέραν ἐν μέρει φασὶν ἐν πάνυ μακραῖς ἐνιαυτῶν περιόδοις. ὅταν μὲν οὖν ἔμπρησις **147**

1 καὶ ἀθρόα scripsi (coni. Cumont); πάντ' ἀθρόα coni. Reiter (Zeitschr. f. öst. Gymn. 1892 p. 19) 2 οὐκ ἐκώλυται M 4 ὑφ' ἕνα καιρῶν E cod. a 5 ἐνδέχεσθαι] δέχεσθαι Usener, μὲν δέχεσθαι Gomperz 6 γείτονος] γειτονοῦντος P μᾶλλον ἢ] μᾶλλον μᾶλλον M 7 verba κατὰ τὸ φιλοσοφηθὲν — 10 ἀπέδειξεν om. E καταφιλοσοφηθὲν HP 8 γινομένων codd. 9 πρὸς ἄλλο codd.: πρὸς ἄλλου Nauck (Cumont), πρὸς ἄλλῳ Bernays 10 ἀπέδειξε HP 12 τίς UH ἀκολοθήσας M 14 εὑρεταὶ U τῶν ante ἐνιαυτῶν om. E 16 ἀλλ' om. HP (Turn.) 17 τις H (τί ν) ἀθρόων UPE: ἀθρόον MH 19 ἀλήκτοις P (coni. Turn. in append.) 19. 20 φασὶν ἐν μέρει transp. UE 20 μακραῖς UE: μικραῖς MH(P?) ὅταν] ὁτὲ E ἔμπρησις] ἐμπρησμοῖς E; ἐμπρησμὸς Diels

8—10 Eur. frg. 839. 13 sqq. Plat. Legg. III 677 d ... χίλια ἀφ' οὗ γέγονεν ἡ δὶς τοσαῦτα ἔτη, τὰ μὲν Δαιδάλῳ καταφανῆ γέγονε, τὰ δὲ Ὀρφεῖ, τὰ δὲ Παλαμήδει ... 17 sqq. Plat. Tim. 22 c πολλαὶ καὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. ... τὸ δ' ἀληθές ἐστι τῶν περὶ γῆν καὶ κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε μὲν οὖν ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσι μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων. ... ὅταν δ' αὖ οἱ θεοὶ τὴν γῆν ὕδασι καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσι διασῳζονται βουκόλοι νομεῖς τε, οἱ δ' ἐν ταῖς παρ' ἡμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται.

καταλαμβάνῃ, ῥεῦμα αἰθερίου πυρὸς ἄνωθεν ἐκχεόμενον πολλαχῇ σκεδάννυσθαι, μεγάλα κλίματα τῆς οἰκουμένης ἐπιτρέχον· ὅταν δὲ κατακλυσμός, ἅπασαν τὴν ὕδατος [κατομβρίαν] κατασύρειν φύσιν, αὐθιγενῶν καὶ χειμάρρων ποταμῶν οὐ πλημμυρούντων μόνον ἀλλὰ καὶ τὸ καθεστὸς προσυπερβαλλόντων τῆς ἐπιβάσεως καὶ τὰς ὄχθας ἢ τῇ βίᾳ παραρρηγνύντων ἢ ὑπερπηδώντων ἀναβάσει τῇ πρὸς μήκιστον ὕψος· ὅθεν ὑπερβλύσαντας εἰς τὴν παρακειμένην ἀναχεῖσθαι πεδιάδα, τὴν δὲ τὸ μὲν πρῶτον εἰς μεγάλας λίμνας διανέμεσθαι, πρὸς τὰ κοιλότερα ἀεὶ τοῦ ὕδατος συνίζοντος, αὖθις δ' ἐπιρρέοντος καὶ τοὺς μεθορίους ἰσθμοὺς | κατα- p.516M.
κλύζοντος, οἷς διεκρίνοντο αἱ λίμναι, εἰς μέγεθος ἀχανοῦς πελάγους κατὰ
148 τὴν πολλῶν ἕνωσιν ἀποκρίνεσθαι. πρὸς δὲ μαχομένων δυνάμεων ἐν μέρει τοὺς ἐν τοῖς ἐναντίοις οἰκοῦντας τόποις ἀπόλλυσθαι, πυρὶ μὲν τοὺς ἐν ὄρεσι καὶ γεωλόφοις καὶ δυσύδροις χωρίοις, ἅτ' οὐκ ἔχοντας φύσει πυρὸς ἀμυντήριον ἄφθονον ὕδωρ, ἔμπαλιν δ' ὕδατι τοὺς παρὰ ποταμοῖς ἢ λίμναις ἢ θαλάττῃ· γειτόνων γὰρ ἅπτεσθαι φιλεῖ τὰ κακὰ πρώτων
149 ἢ καὶ μόνων. κατὰ δὴ τοὺς λεχθέντας τρόπους δίχα μυρίων ἄλλων βραχυτέρων φθειρομένου τοῦ πλείστου μέρους ἀνθρώπων, ἐπιλείπειν ἐξ ἀνάγκης καὶ τὰς τέχνας· δίχα γὰρ τοῦ μεθοδεύοντος οὐκ εἶναι καθ' αὑτὴν ἰδεῖν ἐπιστήμην. ἐπειδὰν δὲ αἱ μὲν κοιναὶ νόσοι χαλάσωσιν, ἄρξηται δὲ ἀνηβᾶν καὶ βλαστάνειν τὸ γένος ἐκ τῶν μὴ προκαταληφθέντων τοῖς ἐπιβρίσασι δεινοῖς, ἄρχεσθαι καὶ τὰς τέχνας πάλιν

---

1 καταλαμβάνη (η ex ει corr.) M, καταλαμβάνει E αἰθερίου MUE: αἰθρίου HP
1. 2 σκεδάννυται E 2 ὅταν] ὁτὲ E 3 κατομβρίαν om. E, seclusit Diels; ὕδατος ὀμβρίου κατασύρειν conicio κατασύρειν Buecheler: κατασύρει E, κατασύρῃ MUHP 3. 4 αὐθιγενῶν ποταμῶν καὶ χειμάρρων E 4 μόνων H καθεστὸς Mang.: καθεστὼς codd.; cf. 108, 14 5 προσεπιβαλλόντων M τῆς om. HP (v) καὶ τὰς ὄχθας—16 ἢ καὶ μόνων om. E 5. 6 παραρηγνύντων U 6 ὑπερποδώντων M 6. 7 ὑπερβλύσαντες U, ὑπερβλήσαντες M 10 πελάγῃ M; εἰς μεγέθους ἀχανοῦς πελάγη coni. Buecheler 11 πολλῶν MU: τῶν πολλῶν HP (v) 12 ἐν τοῖς om. M (ἐν ἐναντίοις Bernays) οἰκοῦντα M ἀπόλυσθαι M πυρὶ] περὶ H 13 οὐκ ἔχοντας] οὐ κατέχοντας U φύσει v (Turn): φησί codd. (Bernays); φυσικὸν coni. Buecheler 14 ἔμπαλι M ὕδατι] ὕδωρ H παρὰ etiam M (non περὶ) 15 φιλεῖ MU: φιλεῖν HP (v) πρώτων M: πρὸ τῶν UHP 16 ἢ καὶ μόνων Diels: ἡγεμόνων UHP, ἡγουμένων M; ἢ γε μόνων v (Turn.) 17 ἐπιλείπειν Buecheler: ἐπιλιπεῖν codd. 19 ἐπιστήμην MUE: τὴν ἐπιστήμην HP et E cod. r (v) κοινοὶ H 20. 21 προκαταληφθέντων HP: προκαταλειφθέντων M, προσκαταλειφθέντων UE 21 τὰς ante τέχνας om. H (Turn.)

---

11 sqq. cf. Plat. Legg. III 677a.

συνίστασθαι, οὐ τότε πρῶτον γενομένας, ἀλλὰ τῇ μειώσει τῶν ἐχόντων ὑποσπανισθείσας.

[a]Ἃ μὲν οὖν περὶ ἀφθαρσίας τοῦ κόσμου παρειλήφαμεν, εἴρηται κατὰ δύναμιν. τὰς δὲ πρὸς ἕκαστον ἐναντιώσεις ἐν τοῖς ἔπειτα δηλωτέον.

---

1 συνίστασθαι] ἀνίστασθαι E οὐ τότε Buecheler: οὔτε codd.; οὐ τὸ v (Turn.) γινομένας E 3 ἃ μὲν οὖν περὶ κόσμου παρειλήφαμεν, εἴρηται κατὰ δύναμιν (cet. om.) E Subscr. φίλωνος ἰουδαίου περὶ ἀφθαρσίας κόσμου U

ΦΙΛΩΝΟΣ
ΕΙΣ ΦΛΑΚΚΟΝ.

* * *

1 (1.) Δεύτερος μετὰ Σηιανὸν Φλάκκος Ἀουίλλιος διαδέχεται τὴν II p. 517 M.
κατὰ τῶν Ἰουδαίων ἐπιβουλήν, σύμπαν μὲν ἀδικῆσαι τὸ ἔθνος ὥσπερ
ἐκεῖνος ἄντικρυς οὐ δυνηθείς — ἐλάττους γὰρ εἶχε τὰς εἰς τοῦτ' ἀφορμάς
—, ἐφ' ὅσους δ' ἔφθανεν, ἀθρόους ἀνηκέστοις περιέπειρε κακοῖς. οὐ μὴν
ἀλλὰ καὶ μέρει δόξας ἐπιτίθεσθαι τὴν ἐπιβουλὴν ἐξέτεινεν ἐπιὼν τοὺς
πανταχοῦ πάντας διὰ τέχνης τὸ πλέον ἢ δυνάμεως· οἷς γὰρ ἰσχὺς οὐ
πρόσεστι τῶν τὰς φύσεις τυραννικῶν, πανουργίαις τὰς ἐπιβουλὰς κατορ-
2 θοῦσιν. ὁ Φλάκκος οὖν οὗτος ἐν τοῖς ἑταίροις κριθεὶς παρὰ Τιβερίῳ
Καίσαρι μετὰ τὴν Ἰβήρου τελευτήν, ὃς ἐπετέτραπτο Αἴγυπτον, καθίσταται
τῆς Ἀλεξανδρείας καὶ τῆς χώρας ἐπίτροπος, ἄνθρωπος ἐν ἀρχῇ μυρία κα-
λοκαγαθίας ὅσα τῷ δοκεῖν ἐξενεγκὼν δείγματα· πυκνός τε γὰρ ἦν καὶ
συνεχὴς καὶ ὀξὺς νοῆσαι καὶ τὰ βουλευθέντα πρᾶξαι καὶ προχειρότατος
3 εἰπεῖν καὶ πρὸ τοῦ λεγομένου τὸ ἡσυχαζόμενον αἰσθέσθαι. παντάπασιν
οὖν ὀλίγῳ χρόνῳ τῶν κατὰ τὴν Αἴγυπτον πραγματειῶν ἐθὰς γίνεται·
πολύτροποι δ' εἰσὶ καὶ ποικίλαι, μόλις τοῖς ἐκ πρώτης ἡλικίας τὸ ἔργον
ἐπιτήδευμα πεποιημένοις γνωριζόμεναι. περιττὸς ὄχλος ἦσαν οἱ γραμματεῖς,

---

1. 2 Φίλωνος εἰς φλάκκον M, εἰς φλάκκον H: φλάκκος ψεγόμενος G (= Phot. Bibl. cod. 105), Φίλωνος ἱστορία πάνυ ὠφέλιμος καὶ τῷ βίῳ χρήσιμος τὰ κατὰ τὸν φλάκκον ἤτοι περὶ προνοίας A Libelli partem, qua exponebatur Seiani acerbitas adversus Iudaeos eiusque exitium (cf. p. 154, 7 καί), deperisse recte animadvertit Massebieau 4 ἀούλλιος G, ἰούλιος A 6 ἄντικρυς om. Turn. 8 ἐπιὼν G: ἐπὶ ceteri (v) τοὺς om. G 9 ἁπανταχοῦ M πάντας G: om. ceteri (v) 9. 10 ἰσχὺς οὐ πρόσεστι CMGA (Anton. Mel.): ἰ. ἐστιν οὐδαμῶς H (Turn.); οὐ πρόσεστιν ἰσχὺς Mang. 10 ἐπιβολὰς coni. Mang. 11 οὖν A: om. ceteri (v) ἐν]ἐπὶ G 12 Ἰβήρου scripsi (cf. Dio C. LVIII 19, 6 et Dessau, *Prosopogr. imp. Rom.* II 143): βήρου G, σεβήρου ceteri (v) ⟨τὴν⟩ Αἴγυπτον coni. Cohn 15 προχειρότατα L (Turn.) 16. 17 παντάπασι γοῦν G 18 δὲ M τοῖς] τῆς M

9—11 C fol. 123v ⟨ἐκ⟩ τοῦ περὶ Φλάκ⟨κ⟩ου λόγου D^R fol. 247v τοῦ αὐτοῦ Anton. Mel. II 86 Col. 1208 Φίλωνος: οἷς *ἰσχὺς* — κατορθοῦσιν.

ἤδη πρὸς πάντα μικρὰ καὶ μεγάλα φθάνοντος αὐτοῦ ταῖς ἐμπειρίαις, ὡς μὴ μόνον ὑπερβαλεῖν ἀλλὰ χάριν ἀκριβείας ἀντὶ γνωρίμου διδάσκαλον γεγενῆσθαι τῶν τέως ὑφηγητῶν. καὶ ὅσα μὲν περὶ λογισμοὺς καὶ τὴν τῶν 4
προσοδευομένων κατώρθου διοίκησιν, εἰ καὶ μεγάλα καὶ ἀναγκαῖα ἦν,
p. 518 M. ἀλλ' οὐδέν γε δεῖγμα | ψυχῆς ὑπέφαινεν ἡγεμονικῆς, ἃ δὲ λαμπροτέραν
6 καὶ βασιλικὴν ἐδήλου φύσιν, μετὰ πλείονος παρρησίας ἐπεδείκνυτο· οἷον σεμνότερον ἦγεν αὑτόν — ἄρχοντι δὲ λυσιτελέστατον ὁ τῦφος —, ἐδίκαζε τὰ μεγάλα μετὰ τῶν ἐν τέλει, τοὺς ὑπεραύχους καθῄρει, μιγάδων καὶ συγκλύδων ἀνθρώπων ὄχλον ἐκώλυεν ἐπισυνίστασθαι· τάς τε ἑταιρείας
10 καὶ συνόδους, αἳ ἀεὶ ἐπὶ προφάσει θυσιῶν εἱστιῶντο τοῖς πράγμασιν ἐμπαροινοῦσαι, διέλυε τοῖς ἀφηνίαζουσιν ἐμβριθῶς καὶ εὐτόνως προσφερόμενος. εἶτ' ἐπειδὴ τὴν πόλιν καὶ τὴν χώραν ἀνέπλησεν εὐνομίας, ἐν 5
μέρει πάλιν ταῖς στρατιωτικαῖς δυνάμεσιν ἐφῄδρευεν ἐκτάττων, συγκροτῶν,
γυμνάζων πεζούς, ἱππεῖς, τοὺς τῆς κούφης ὁπλίσεως, τοὺς ἡγεμόνας, ἵνα
15 μὴ τὰς μισθοφορὰς τῶν στρατιωτῶν ἀφαιρούμενοι πρὸς λῃστείας καὶ ἁρπαγὰς αὐτοὺς ἀλείφωσι, πάλιν τῶν στρατιωτῶν ἕκαστον, ἵνα μηδὲν ἔξω τῶν κατὰ τὴν στρατείαν περιεργάζηται μεμνημένος, ὅτι τέτακται καὶ τὴν εἰρήνην διαφυλάττειν.

(2.) Ἴσως δ' ἄν τις εἴποι· „σὺ δ', ὦ οὗτος, ἐγνωκὼς ἀνθρώπου 6
20 κατηγορεῖν ἔγκλημα μὲν οὐδὲν διεξῆλθες, μακροὺς δ' ἐπαίνους συνείρεις· μὴ ἄρα παραπαίεις καὶ μέμηνας;" — οὐ μέμηνα, ὦ οὗτος, οὐδ' ἠλίθιός τίς εἰμι, ὡς μὴ δύνασθαι πράγματος ἀκολουθίαν ἰδεῖν. ἐπαινῶ τὸν 7
Φλάκκον, οὐκ ἐπειδὴ προσῆκεν ἐχθρὸν ἐγκωμιάζειν, ἀλλ' ἵν' αὐτοῦ τὴν μοχθηρίαν ἀριδηλοτέραν παραστήσω· τῷ μὲν γὰρ ἀγνοίᾳ τοῦ κρείττονος
25 διαμαρτάνοντι συγγνώμη δίδοται, ὁ δ' ἐξ ἐπιστήμης ἀδικῶν ἀπολογίαν οὐκ ἔχει προεαλωκὼς ἐν τῷ τοῦ συνειδότος δικαστηρίῳ. (3.) ἐξαετίαν 8

---

1 μ ἐπηρείαις G 2 χάρις H^1, corr. H^2 διδάσκαλος MG 4 κατόρθου A, κατόρθουν G 5 οὐδέ H μεγάλα καὶ ἀναγκαῖα ἦν καὶ post ἃ δὲ add. A 7 αὐτόν AH^2: αὐτόν MGH^1 8 μετὰ om. G 9 ἐκώλυσεν G τε]θ' A 14 πεζούς om. A ἵππους A 15 μισθοφορὰς MAH^1 (Mang.): μισθοφορίας GH^2L (Turn.) 16 ἀλείφωσιν M 18 διαφυλάττοι A, φυλάττειν G 21 ἄρα om. G; ἆρα v μέμηνας (sic) M μέμηνα (sic) M 23 ἵν' AL: ἵνα MGH 25 διαμαρτάνειν A δίδοται] παρεισέρχεται D^R Flor. Par. 26 προεαλωκὼς] προεωρακὼς A δικα ἐργαστηρίῳ M

16—18 D^P fol. 327v Φίλωνος D^V p. 688 (Harris p. 99): τῷ στρατιώτῃ οὐδὲν δεῖ ἔξω τῶν κατὰ τὴν στρατείαν περιεργάζεσθαι, ἀλλὰ μεμνῆσθαι ἀεί, ὅτι τέτακται τὴν εἰρήνην φυλάττειν. 24—26 C fol. 123v D^R fol. 196v et in quaternionis post fol. 161 interpositi fol. 6v D^K fol. 162r D^P fol. 157 D^V p. 520 Flor. Paris. nr. 9 τῷ μὲν ἀγνοίᾳ — δικαστηρίῳ. Mel. Barocc. fol. 102r Anton. Mel. II 88 Col. 1213 Max. Ecl. cap. 26 Φίλωνος: τῷ μὲν ἀγνοίᾳ τοῦ κρείττονος διαμαρτάνοντι συγγνώμη παρεισέρχεται (παρέχεται coni. Mang.), ὁ δὲ ἐξεπίτηδες ἀδικῶν ἀπολογίαν οὐκ ἔχει.

γὰρ τὴν ἐπικράτειαν λαβὼν πέντε μὲν ἔτη τὰ πρῶτα, ζῶντος Τιβερίου Καίσαρος, τήν τε εἰρήνην διεφύλαξε καὶ οὕτως εὐτόνως καὶ ἐρρωμένως
9 ἀφηγήσατο, ὡς τοὺς πρὸ αὐτοῦ πάντας ὑπερβαλεῖν. τῷ δ' ὑστάτῳ, Τιβερίου μὲν τελευτήσαντος, Γαΐου δ' ἀποδειχθέντος αὐτοκράτορος, ὑφιέναι καὶ χαλᾶν ἤρξατο τὰ πάντα εἴτε διὰ τὸ ἐπὶ Τιβερίῳ βαρύτατον πένθος — δῆλος γὰρ ἦν ὡς ἐπ' οἰκειοτάτῳ περιπαθῶν ἔκ τε τῆς συνεχοῦς κατηφείας καὶ τῆς τῶν δακρύων φορᾶς, ἃ καθάπερ ἀπὸ πηγῆς ἀπαύστως ἐξεχεῖτο — εἴτε καὶ κακόνους ὢν τῷ διαδόχῳ διὰ τὸ τὴν τῶν γνησίων πρὸ τῆς τῶν θετῶν τεθεραπευκέναι μερίδα εἴτε καὶ τῶν συνεπιθεμένων τῇ Γαΐου μητρί, καθ' ὃν χρόνον εἶχε τὰς αἰτίας ἐφ' αἷς ἀνῃρέθη, γεγονὼς
10 καὶ διὰ φόβον ἀλώσεως ἐπιλελησμένος. καὶ μέχρι μέν τινος ἔτ' ἀντεῖχε μὴ κατὰ τὸ παντελὲς μεθιέμενος τὴν τῶν πραγμάτων ἀντίληψιν. ὡς δ' ἤκουσε τὸν Τιβερίου μὲν υἱωνὸν κοινωνὸν δὲ τῆς ἀρχῆς ἀναιρεθέντα | Γαΐου κελεύσαντος, ἀλέκτῳ πληγεὶς συμφορᾷ καταβαλὼν ἑαυτὸν ἀχανὴς p. 519 M. ἔκειτο, τῆς διανοίας πολὺ πρότερον ἀπειρηκυίας καὶ παρειμένης αὐτῷ.
11 ζῶντος μὲν γὰρ τοῦ μειρακίου τὰ ζώπυρα τῆς ἰδίας σωτηρίας οὐκ ἀπεγίνωσκεν, ἀποθανόντος δὲ συντεθνάναι καὶ τὰς οἰκείας ἐλπίδας ἔδοξεν, εἰ καὶ μικρά τις ἀπελείπετο αὔρα βοηθείας, ἡ πρὸς Μάκρωνα φιλία τὰ σύμπαντα παρὰ Γαΐῳ κάτ' ἀρχὰς δυνηθέντα καὶ πλείστην μοῖραν ὡς λόγος εἰσενεγκάμενον αὐτῷ πρὸς τὸ τυχεῖν τῆς ἡγεμονίας καὶ ἔτι μᾶλλον
12 πρὸς τὸ σωθῆναι, πολλάκις μὲν ἐκποδὼν ποιήσασθαι τὸν Γάιον διανοηθέντος Τιβερίου ὡς κακοήθη καὶ οὐ πεφυκότα πρὸς ἀρχήν, καὶ ἅμα διὰ τὸν ἐπὶ τῷ υἱωνῷ φόβον — ἐδεδίει γάρ, μὴ παρανάλωμα γένηται τελευτήσαντος αὐτοῦ —, πολλάκις δὲ τοῦ Μάκρωνος τὰς ὑπονοίας ὑπεξαιρουμένου καὶ τὸν Γάιον ἐπαινοῦντος ὡς ἁπλοῦν καὶ ἀπόνηρον καὶ κοινωνικὸν καὶ τοῦ ἀνεψιοῦ μάλιστα ἡττημένον, ὡς ἢ μόνῳ ἂν ἐθελῆσαι παραχωρῆσαι
13 τὴν ἡγεμονίαν ἢ πάντως τὰ πρωτεῖα. ὑφ' ὧν ἀπατηθεὶς ἔλαθεν ἄσπονδον ἐχθρὸν ἑαυτῷ καὶ υἱωνῷ καὶ γένει καὶ παρακλήτῳ Μάκρωνι καὶ πᾶσιν
14 ἀνθρώποις καταλιπών. ἐπειδὴ γὰρ ὁ Μάκρων ὁρῶν αὐτὸν ἐκδιαιτώμενον καὶ ἀχαλίνοις ταῖς ὁρμαῖς, ἐφ' ἃ ἂν τύχῃ καὶ ὡς ἂν τύχῃ, χρώμενον

---

2. 3 τήν τε εἰρήνην — ἀφηγήσατο] οὕτω χρηστὸς ἦν A 2 τ' G 5 διὰ τὸ ἐπὶ τιβερίῳ codd. (Mang.): ἐπὶ Τιβερίου Turn. πεπονθὼς ante πένθος add. H (Turn.) 6 ἐπὶ A 7 τῆς MA (Mang.): ἐκ τῆς GH (Turn.) ἀπαύστως] ἀφράστως A 8 καὶ om. M τὸ om. M τὴν om. A 9 καὶ G: καὶ διὰ MA, διὰ H: om. v 10 p̄ri codd.: μητέρι v 11 ἁλώσεως] ἀλλοτριώσεως coni. Mang. ἐπιλελησμένος corruptum ἔτ' om. A ἀντεῖχεν L (v) 13 τοῦ ante Τιβερίου add. M (Mang.) 14 καταβαλὸν M αὐτὸν AH² (v), αὐτὸν H¹ 18 ἀπελίπετο G; ὑπελείπετο (sic Ven. 41) Mang. 19 καὶ] τὴν G 20 εἰσενηνεγκάμενον (sic) H 23 υἱῷ H, (γράφεται καὶ υἱωνῷ in marg.) M 26 ἡττημένον] ἡττᾶται M θελῆσαι M, ἐθελήσοι A 28 ἑαυτῷ M: αὐτῷ AH² (v), αὐτῷ GH¹ 29 ὁρῶν om. H (Turn.). 30 ἃ] ὃ A καὶ ὡς ἂν τύχῃ om. Turn.

ἐνουθέτει καὶ παρηγόρει νομίζων ἐκεῖνον εἶναι Γάιον τόν, ἡνίκ' ἔτ' ἔζη Τιβέριος, ἐπιεικῆ καὶ πειθαρχικόν, ὁ κακοδαίμων εὐνοίας περιττῆς ἔδωκε τὰς ἀνωτάτω δίκας πανοίκιος αὐτῇ γυναικὶ καὶ τέκνοις συναναιρεθεὶς ὡς περιττὸν ἄχθος καὶ παρενόχλημα. καὶ γὰρ ὁπότε πόρρωθεν αὐτὸν ἀφ- 15
ικνούμενον ἴδοι, τοιαῦτα πρὸς τοὺς συνόντας διεξῄει· „μὴ μειδιῶμεν, κατηφῶμεν· ὁ νουθετητὴς παραγίνεται, ὁ αὐθέκαστος, ὁ ἀνδρὸς τελείου καὶ αὐτοκράτορος ἀρξάμενος νῦν εἶναι παιδαγωγός, ὅτε καὶ τοὺς ἐκ πρώτης ἡλικίας ὁ καιρὸς ἀπήλασε καὶ διέζευξεν."

(4.) Ἐπεὶ δ' οὖν καὶ τοῦτον ἔγνω προσανῃρημένον ὁ Φλάκκος, 16
τὴν λοιπὴν ἐλπίδα κατὰ τὸ παντελὲς ἀπεγνώκει καὶ οὐκέθ' ὁμοίως ἀντιλαμβάνεσθαι τῶν πραγμάτων οἷός τε ἦν ἐξασθενῶν καὶ διαρρέων τὴν γνώμην. ὅταν δ' ὁ ἄρχων ἀπογνῷ τὸ δύνασθαι κρατεῖν, ἀνάγκη 17
τοὺς ὑπηκόους εὐθὺς ἀφηνιάζειν καὶ μάλιστα τοὺς ἐκ μικρῶν καὶ τῶν τυχόντων πεφυκότας ἀνερεθίζεσθαι· ἐν οἷς τὸ Αἰγυπτιακὸν τὰ πρωτεῖα φέρεται διὰ βραχυτάτου σπινθῆρος εἰωθὸς ἐκφυσᾶν στάσεις μεγάλας. ἐν ἀμηχάνοις δὲ καὶ ἀπόροις γεγονὼς ἐσφάδαζε καὶ τὰ πρὸ μικροῦ πάντα 18
p. 520 M. ἤλλαξεν ἅμα τῇ τοῦ λογισμοῦ | πρὸς τὸ χεῖρον μεταβολῇ ποιησάμενος τὴν ἀρχὴν ἀπὸ τῶν συνηθεστάτων· τοὺς μὲν γὰρ εὔνους καὶ μάλιστα φίλους ὑφωρᾶτο καὶ διωθεῖτο, τοῖς δ' ἐξ ἀρχῆς ἀνομολογηθεῖσιν ἐχθροῖς ἐσπένδετο καὶ συμβούλοις περὶ πάντων ἐχρῆτο. οἱ δ' — ἐγκότως γὰρ εἶχον — 19
τὸ κατηλλάχθαι δοκεῖν λόγῳ μόνον ἐπιμορφάσαντες, ἔργοις δὲ κατὰ διάνοιαν ἀσύμβατα μνησικακοῦντες καὶ ὥσπερ ἐν θεάτρῳ καθυποκρινόμενοι γνησίαν φιλίαν ὅλον αὐτὸν συναρπάζουσι· καὶ γίνεται ὁ μὲν ἄρχων

---

1 ἐνουθετεῖτο A ἐκεῖνον om. A ἡνίκ' ἔτ' GH: ἡνίκ' MA; ἡνίκα ἔτι v
2 δὲ ante περιττῆς add. MA, eras. H, om. G 3 πανοικεὶ (sic) G 4. 5 καὶ — συνόντας om. H^1, in marg. add. H^2 5 τοιαῦτα] αὐτὰ G 6 κατηφῶμεν Cohn: κατηφειῶμεν M, κατηφιῶμεν ceteri (v) 7 ὅτε A τοὺς] τὸν A
8 ὁ καιρὸς] ὄντα A ἀπήλαξε H, ἀπήλλαξεν L (Turn.); ἀπήλασεν Mang.
9 ὡς ante ἔγνω add. G προσανῃρημένον G (coni. Mang.): προανηρημένον ceteri (v)
10 ἀπεγνώκει A (Mang.): ἀναπεπτώκει ceteri (Turn.) 11 τ' A 12 δ' ὁ MA: δ' GH (v) 14 ἀναιρεθίζεσθαι MD 15 εἰωθὼς M, om. A ἀναφυσᾶν M 16 ἐσφάδαξεν H^2, ἐσφάδα H^1 post πάντα verbum quoddam (an δόξαντα?) excidisse vid.; ⟨κατωρθωμένα⟩ πάντα coni. Cohn 17 ἤλλαξε M 19 ὑφωρᾶτο codd. (cf. Crönert, Mem. Graec. Herc. 273): ὑφεωρᾶτο v 20 συμβόλοις L (Turn.) 20 οἱ] εἰ M 21 τῶ A ἐπιμορφώσαντες AH (v) ἔργοις A δὲ] καὶ A ⟨καὶ⟩ κατὰ coni. Mang. 23 γνήσιον G γνησίαν φιλίαν om. A

12—14 D^R fol. 29v τοῦ αὐτοῦ Anton. Mel. II 6 Col. 1033 Φίλωνος: ὅταν ἄρχων — ἀνερεθίζεσθαι.

ὑπήκοος, οἱ δ' ὑπήκοοι ἡγεμόνες, εἰσηγούμενοι μὲν ἀλυσιτελεστάτας γνώ-
20 μας, εὐθὺς δὲ ταύτας ἐπισφραγιζόμενοι. βεβαιωταὶ γὰρ ὧν ἐβουλεύσαντο
πάντων ἐγίνοντο κωφὸν ὡς ἐπὶ σκηνῆς προσωπεῖον ἕνεκα προσχήματος
αὐτὸ μόνον παραλαμβάνοντες ἐπιγεγραμμένον ὄνομα ἀρχῆς, Διονύσιοι δημο-
κόποι, Λάμπωνες γραμματοκύφωνες, Ἰσίδωροι στασιάρχαι, φιλοπράγμονες, 5
21 κακῶν εὑρεταί, ταραξιπόλιδες· τοῦτο γὰρ κεχράτηκέ πως τοὔνομα. συν-
ταξάμενοι πάντες οὗτοι βούλευμα βουλεύουσι κατὰ τῶν Ἰουδαίων ἀργα-
22 λεώτατον καὶ τῷ Φλάκκῳ προσελθόντες ἰδίᾳ φασίν· „ἔρρει μέν σοι τὰ
ἀπὸ Τιβερίου Νέρωνος τοῦ παιδός, ἔρρει δὲ καὶ ἡ μετ' ἐκεῖνον ἐλπίς,
ὁ ἑταῖρός σου Μάκρων, αἴσια δ' οὐκ ἔστι σοι τὰ ἀπὸ τοῦ κρατοῦντος· 10
δεῖ δὴ παράκλητον ἡμᾶς εὑρεῖν δυνατώτατον, ὑφ' οὗ Γάιος ἐξευμενισθή-
23 σεται. ὁ δὲ παράκλητος ἡ πόλις Ἀλεξανδρέων ἐστίν, ἣν τετίμηκε μὲν
ἐξ ἀρχῆς ἅπας ὁ Σεβαστὸς οἶκος, διαφερόντως δ' ὁ νῦν ἡμῶν δεσπότης.
παρακλητεύσει δὲ τυχοῦσά τινος παρὰ σοῦ δωρεᾶς· μεῖζον δ' ἀγαθὸν
24 οὐδὲν αὐτῇ παρέξεις ἢ τοὺς Ἰουδαίους ἐκδοὺς καὶ προέμενος." ἐπὶ 15
τούτοις ὀφείλων ἀπώσασθαι καὶ δυσχεραῖναι τοὺς λέγοντας ὡς νεωτεροποιοὺς καὶ κοινοὺς πολεμίους συνεπιγράφεται τοῖς λεχθεῖσι. καὶ τὸ μὲν πρῶτον ἀδηλοτέρας ἐποιεῖτο τὰς ἐπιβουλὰς μήτ' ἴσον παρέχων καὶ κοινὸν ἀκροατὴν ἑαυτὸν τοῖς τὰς ἀμφισβητήσεις ἔχουσιν, ἀλλὰ πρὸς θάτερον ἀποκλίνων μέρος, μήτ' ἐν τοῖς ἄλλοις ἰσηγορίαν διδούς, ἀλλὰ καὶ ὁπότε 20
προσίοι τις τῶν Ἰουδαίων, ἀποστρεφόμενος καὶ τὸ δυσέντευκτον ἐπιτηδεύων
ἐπὶ μόνων τούτων· αὖθις δὲ καὶ ἐκ τοῦ φανεροῦ τὴν δυσμένειαν ἐπεδείξατο.
25 (5.) Προσεπέρρωσε δ' αὐτοῦ τὴν ἐκ μαθήσεως τὸ πλέον ἢ φύσεως
ἐπιτετηδευμένην ἀπόνοιαν καὶ συντυχία τις τοιαύτη. Γάιος Καῖσαρ
Ἀγρίππᾳ τῷ Ἡρῴδου βασιλέως υἱωνῷ δίδωσι βασιλείαν | τῆς παππῴας p. 521 M.
λήξεως τρίτην μοῖραν, ἣν Φίλιππος τετράρχης θεῖος ὢν αὐτῷ πρὸς 26
26 πατρὸς ἐκαρποῦτο. μέλλοντι δ' ἀπαίρειν συνεβούλευσεν ὁ Γάιος τὸν μὲν
ἀπὸ Βρεντεσίου μέχρι Συρίας πλοῦν μακρὸν ὄντα καὶ καματηρὸν παραι-

1 δὲ Mang. 4 αὐτῶ G παραλίμποντες (sic; ι in ras.) G ⟨τὸν⟩ ἐπιγεγραμμένον coni. Cohn Διονύσιοι] Διονυσιοκόλακες coni. Mang.; sed cf. Pap. Oxyr. VIII 1089 5 Λάμπωνες om. A ἡσίδωροι H, om. A πολυπράγμονες A 7 τῶν om. M 7. 8 ἀργαλαιότατον G 9 ἀπὸ] ὑπὸ A καὶ ante ἔρρει add. L (Turn.) ἡ] ὁ L (Turn.) 10 ὁ om. H (Turn.) σου M: σοι ceteri (v) ἀπὸ] ὑπὸ A 11 δὴ GA (Mang.): δὲ MH (Turn.) δυνατώτερον H (Turn.) 12 τετίμηκεν L (v) 13 δὲ M 17 κοινωνοὺς A πολεμίους] λυμεῶνας coni. Mang. 18 ἀριδηλοτέρας coni. Mang. ἐπιεῖτο (sic) M ἐπιβολὰς coni. Mang. 19 ἑαυτὸν om. A 20 ἐν] ὡς coni. Mang. τοῖς om. Richt. (Tauchn.) 22 καὶ om. M 23 προσεπέρρωσεν L (v) πλεῖον A ἐκ ante φύσεως add. M 24 ἐπιτηδευμένην M, ἐπιτηδευομένην A 25 βασιλείαν] τὰ A 27 δὲ G συνεβούλευεν M 28 βρεντεσίου (alt. ε ex corr.) M: βρεντησίου GA (v), η corr. ex ε H καὶ ante μέχρι add. H (v)

5 γραμματοκύφωνες: Dem. XVIII 209.

τήσασθαι, χρῆσθαι δ' ἐπιτόμῳ τοὺς ἐτησίας ἀναμείναντι τῷ διὰ τῆς
Ἀλεξανδρείας· τάς τε γὰρ ἐκεῖθεν ὁλκάδας ταχυναυτεῖν ἔφασκε καὶ
ἐμπειροτάτους εἶναι κυβερνήτας, οἳ καθάπερ ἀθλητὰς ἵππους ἡνιοχοῦσιν
ἁπλανῆ παρέχοντες τὸν ἐπ' εὐθείας δρόμον. ὁ δὲ πειθαρχεῖ ὡς δεσπότῃ
τε ἅμα καὶ τὰ δοκοῦντα συμφέρειν παραγγέλλοντι. καταβὰς δ' εἰς 27
Δικαιάρχειαν καὶ ναῦς ὑφόρμους Ἀλεξανδρίδας ἰδὼν εὐτρεπεῖς πρὸς ἀνα-
γωγήν, ἐπιβὰς μετὰ τῶν ἰδίων, εὐπλοίᾳ χρησάμενος, ὀλίγαις ὕστερον
ἡμέραις ἀνεπιφάτως καὶ ἀφωράτως κατάγεται, κελεύσας τοῖς κυβερνήταις
— περὶ γὰρ δείλην ὥραν ὁ Φάρος ἀναφαίνεται — τὰ μὲν ἱστία συνάγειν,
ἔξω δὲ περὶ αὐτὸν μὴ μακρὰν ἀφισταμένους θαλαττεύειν ἄχρι τοῦ βα-
θείαν ἑσπέραν ἐπιγενέσθαι καὶ νυκτὸς τοῖς λιμέσι προσσχεῖν, ἵν' ἀποβὰς
ἤδη τετραμμένων ⟨ἁπάντων⟩ πρὸς ὕπνον, μηδενὸς ὁρῶντος, ἀφίκηται πρὸς
τὸν ξενοδόχον. ὁ μὲν δὴ μετὰ τοσαύτης αἰδοῦς ἐπεδήμησε βουλόμενος, 28
εἴ πως οἷόν τε ἦν, ἅπαντας τοὺς ἐν τῇ πόλει λαθὼν ὑπεξελθεῖν· οὐ
γὰρ κατὰ θέαν ἀφῖκτο τῆς Ἀλεξανδρείας ἐπιδεδημηκὼς αὐτῇ πρότερον,
ἡνίκα τὸν ἐπὶ Ῥώμης πλοῦν ἐστέλλετο πρὸς Τιβέριον, ἀλλ' ὁδῷ χρη-
σόμενος ἐπιτόμῳ τῆς οἴκαδε ἀφίξεως. οἱ δ' ὑπὸ φθόνου ῥηγνύμενοι 29
— βάσκανον γὰρ φύσει τὸ Αἰγυπτιακόν — καὶ τὰς ἑτέρων εὐτυχίας
ἰδίας ὑπελάμβανον εἶναι κακοπραγίας καὶ ἅμα διὰ τὴν παλαιὰν καὶ τρόπον
τινὰ ⟨φύσει⟩ γεγενημένην πρὸς Ἰουδαίους ἀπέχθειαν ἧσχαλλον ἐπὶ τῷ
γεγενῆσθαί τινα βασιλέα Ἰουδαῖον οὐχ ἧττον, ἢ εἰ αὐτός τις ἕκαστος
βασιλείαν προγονικὴν ἀφῄρητο. καὶ τὸν ἄθλιον Φλάκκον πάλιν οἱ συν- 30
όντες ἀνηρέθιζον εἰς τὸν αὐτὸν ἐνάγοντες καὶ προκαλούμενοι
φθόνον, „σὴ κατάλυσίς ἐστι" φάσκοντες „ἡ ἐπιδημία τούτου· μείζονα
τιμῆς καὶ εὐδοξίας ὄγκον ἢ σὺ περιβέβληται· πάντας εἰς ἑαυτὸν ἐπιστρέ-
φει τὴν δορυφόρον τῶν σωματοφυλάκων στρατιὰν ὁρῶντας ἐπαργύροις

---

1 χρήσασθαι H (v) τοὺς] τὰς A ἐτησίους H (v) 2 ὁλκόδας (sic) M
4 ὡς L, ss. H^2 (v): om. ceteri 5 παραγγέλοντι M 6 δικαιαρχίαν MGH (v), δικαίαρχον A ἀλεξανδρείας A εὐτρεπεῖς M (mavult Mang.): εὐπρεπεῖς ceteri (v) 6. 7 ἀγωγὴν A 7 εὐπλοίᾳ ss. H^2 8 ἀφωράτως AH: ἀφόρτως MG 9 δειλινὴν G ἀναφέρεται H (Turn.) 10 περὶ αὐτὸν om. M (redundare vid. Mang.) ἀφισταμένους L 11 προσσχεῖν Richt. (Tauchn.): προσχεῖν codd. (v) 12 τετραμμένων ⟨ἁπάντων⟩ scripsi: τετραμμένων GH (v), τετραμμένον M, προστετραμμένων A 13 ἐπεδήμησεν H (v) 14 τ' A
15 κατὰ] μετὰ Richt. (Tauchn.) 16 ῥώμης]σ delevisse vid. H 16. 17 χρησάμενος GH (Turn.) 17 ἐπιτομωτάτη G, om. A οἴκαδ' A 18 φύσει] φῇ (= φησί) M εὐτυχίας codd. (om. L): εὐπραγίας v 19 ὑπολαμβάνον A
20 ⟨φύσει⟩ γεγενημένην scripsi: συγγεγενημένην coni. Mang., συγγενῆ (pro γεγενημένην) coni. Cohn, ἐγγεγενημένην Wendl. ἧσχαλον GL 21 ἰουδαῖον MH: ἰουδαίων G (v), τῇ ἰουδαίᾳ A 23 προκαλούμενοι Mang.: προσκαλούμενοι codd. (v)
25 ἑαυτὸν M: αὐτὸν GA, ὐ corr. in ὑ H; αὑτὸν v 26 δορυφόρων M στρατείαν G ὁρῶντες MH ἐπαργύροις] ἐπάρστροις (sic) M

31 καὶ ἐπιχρύσοις ὅπλοις διακεκοσμημένην. ἔδει γὰρ ἥκειν εἰς ἐπικράτειαν
ἑτέρου δυνάμενον πλῷ χρησάμενον εἰς τὴν οἰκείαν ἀσφαλῶς παραπεμ-
φθῆναι; καὶ γὰρ εἰ Γάιος ἐπέτρεπε, μᾶλλον δ' ἠνάγκαζεν, ἐχρῆν ἐκλιπαρή-
σαντα παραιτήσασθαι τὴν ἐνθάδε ἄφιξιν, ἵνα μὴ παρευημερηθεὶς ὁ τῆς
32 χώρας ἡγεμὼν ἀδοξῇ." ταῦτα ἀκούων ἔτι μᾶλλον ἢ πρότερον ᾠδει καὶ 5
ἐν μὲν τῷ φανερῷ τὸν ἑταῖρον καὶ φίλον καθυπεκρίνετο διὰ τὸν ἐκ τοῦ
πέμψαντος φόβον, ἰδίᾳ δὲ ἐζηλοτύπει καὶ ἐξελάλει τὸ μῖσος καὶ πλαγίως
33 | αὐτὸν ὕβριζεν, ἐπειδήπερ ἄντικρυς οὐκ ἐθάρρει. τῷ γὰρ ἀργοῦντι καὶ p. 522 M.
σχολάζοντι τῆς πόλεως ὄχλῳ — πλῆθος δ' ἐστὶν ἐπιτετηδευκὸς γλωσ-
σαλγίαν καὶ ἐνευκαιροῦν διαβολαῖς καὶ βλασφημίαις — ἐπιτρέπει κακη- 10
γορεῖν τὸν βασιλέα εἴτε ἀρξάμενος δι' ἑαυτοῦ τῶν λοιδοριῶν εἴτε προτρε-
ψάμενος καὶ ἐναγαγὼν αὐτὸς διὰ τῶν ὑπηρετεῖν τὰ τοιαῦτα εἰωθότων.
34 οἱ δ' ἀφορμῆς λαβόμενοι διημέρευον ἐν τῷ γυμνασίῳ χλευάζοντες τὸν
βασιλέα καὶ σκώμματα συνείροντες· πῇ δὲ καὶ ποιηταῖς μίμων καὶ γελοίων
διδασκάλοις χρώμενοι τὴν ἐν τοῖς αἰσχροῖς εὐφυΐαν ἐπεδείκνυντο, βραδεῖς 15
μὲν ὄντες τὰ καλὰ παιδεύεσθαι, τὰ δ' ἐναντία μανθάνειν ὀξύτατοι καὶ
35 προχειρότατοι. διὰ τί γὰρ οὐκ ἠγανάκτησεν, οὐκ ἀπήγαγεν, οὐκ ἐπέπληξε
τῆς αὐθάδους βλασφημίας; εἰ δὲ μὴ βασιλεὺς ἦν, ἀλλά τις τῶν ἐκ τῆς
Καίσαρος οἰκίας, οὐκ ὤφειλε προνομίαν τινὰ καὶ τιμὴν ἔχειν; ἀλλὰ
ταῦτ' εἰσὶ πίστεις ἐναργεῖς τοῦ συναίτιον γεγενῆσθαι τῶν βλασφημιῶν 20
Φλάκκον· ὁ γὰρ ἐπιπλήττειν ἢ τὸ πανύστατον ἐπέχειν ἂν δυνηθεὶς εἰ
μὴ κεκώλυκε, δῆλος ἦν ἐφειὶς καὶ ἐπιτρέπων αὐτός. πρὸς ὅ τι δ' ἂν
ὄχλος ἀσύνταχτος ἀφορμὴν λάβῃ τῶν ἁμαρτημάτων, οὐχ ἵσταται, μέτεισι
δ' ἀφ' ἑτέρων εἰς ἕτερα προσεπεξεργαζόμενος ἀεί τι νεώτερον.

---

2 οἰκίαν G 4 τὴν om. A ἐνθάδ' A ἄφιξιν] ἀφῖχθαι A
5 ταῦτ' A μᾶλλον ἔτι transp. A 6 καθυπεκρίνετο G: καθυπεκρίνατο MA, καθυποκρίνατο corr. in καθυπεκρίνετο H 7 δ' A ἐζυλοτύπει A ἐξεκάλει A 10. 11 κακογονεῖν corr. in κακηγορεῖν H 11 pr. εἴτε] εἴτ' A αὐτοῦ G καὶ ante προτρεψάμενος add. A 12 ἐναγὼν L; ἐνάγων Turn. τὰ τοιαῦτα MGA (Mang.): ταῦτα H (Turn.) εἰοθότων G 13 ἀφορμαῖς H 14 σκώματα M πῇ]οἱ G alt. καὶ om. A 15 εὐφορίαν A 16 τὰ κ. παιδευθῆναι $D^{P}D^{R}$, πρὸς τὸ καταθρῆσαι τὰ ἄριστα D^{K} 17 ἐπήγαγεν A; ἐπεῖχεν coni. Mang. 19 προνομίαν] παροινίαν A καὶ] ἢ A 20 ταῦτ' εἰσὶ MA: ταῦτα GH (v) πίστεις ἐναργεῖς M, corr. in πίστις ἐναργὴς H: πίστις ἐναργὴς GA (v) 23 λάβοι M ἵσταται] ἥκιστα A μέτεισιν A 24 δ' om. A ἀφ'] ἀμφ' M εἰς MAD: ἐφ' GH (v) προσεπεξεργαζόμενος G: προσεξεργαζόμενος M, προσεπεργαζόμενος AH (v)

15—17 D^{K} fol. 109r D^{M} fol. 38v D^{P} fol. 23r (Harris p. 10) D^{L} fol. 163v Φίλωνος ἐκ τῶν κατὰ Φλάκκον D^{R} fol. 45r D^{V} p. 379 Φίλωνος: αἰσχροὶ καὶ εἰκαῖοι οἱ ἐν τοῖς ματαίοις εὐφυΐαν ἐπιδεικνύμενοι (vel ἐπιδεικνύντες vel ἀνεπιδεικνύντες), βραδεῖς — ὀξύτατοι (καὶ προχειρότατοι partim om.). 22—24 D^{K} fol. 227v Φίλωνος ἐκ τῶν πρὸς Φλάκκον: πρὸς ὅ τι — ὁρμὴν — προσαπεργαζόμενος ἀεὶ τιμιώτερον.

(6.) Ην τις μεμηνὼς ὄνομα Καραβᾶς οὐ τὴν ἀγρίαν καὶ θηριώδη 36
μανίαν — ἄσκηπτος γὰρ αὕτη γε καὶ τοῖς ἔχουσι καὶ τοῖς πλησιάζουσιν —,
ἀλλὰ τὴν ἀνειμένην καὶ μαλακωτέραν. οὗτος διημέρευε καὶ διενυκτέρευε
γυμνὸς ἐν ταῖς ὁδοῖς οὔτε θάλπος οὔτε κρυμὸν ἐκτρεπόμενος, ἄθυρμα
νηπίων καὶ μειρακίων σχολαζόντων. συνελάσαντες τὸν ἄθλιον ἄχρι τοῦ 37
γυμνασίου καὶ στήσαντες μετέωρον, ἵνα καθορᾷτο πρὸς πάντων, βύβλον
μὲν εὐρύναντες ἀντὶ διαδήματος ἐπιτιθέασιν αὐτοῦ τῇ κεφαλῇ, χαμαι-
στρώτῳ δὲ τὸ ἄλλο σῶμα περιβάλλουσιν ἀντὶ χλαμύδος, ἀντὶ δὲ σκήπ-
τρου βραχύ τι παπύρου τμῆμα τῆς ἐγχωρίου καθ' ὁδὸν ἐρριμμένον ἰδών
τις ἀναδίδωσιν. ἐπεὶ δὲ ὡς ἐν θεατρικοῖς μίμοις τὰ παράσημα τῆς βα- 38
σιλείας ἀνειλήφει καὶ διεκεκόσμητο εἰς βασιλέα, νεανίαι ῥάβδους ἐπὶ τῶν
ὤμων φέροντες ἀντὶ λογχοφόρων ἑκατέρωθεν εἱστήκεσαν μιμούμενοι δο-
ρυφόρους. εἶθ' ἕτεροι προσῄεσαν, οἱ μὲν ὡς ἀσπασόμενοι, οἱ δὲ ὡς
δικασόμενοι, οἱ δ' ὡς ἐντευξόμενοι περὶ κοινῶν πραγμάτων. εἶτ' ἐκ τοῦ 39
περιεστῶτος ἐν κύκλῳ πλήθους ἐξήχει βοή τις ἄτοπος Μάριν ἀποκαλούντων
— οὕτως δέ φασι τὸν κύριον ὀνομάζεσθαι παρὰ Σύροις —· ἦδεσαν γὰρ
p. 523 M. Ἀγρίππαν καὶ γένει Σύρον καὶ Συρίας μεγάλην | ἀποτομὴν ἔχοντα, ἧς ἐβα-
σίλευε. ταῦτα δὲ ἀκούων, μᾶλλον δὲ ὁρῶν ὁ Φλάκκος, δεόντως ἂν καὶ τὸν με- 40
μηνότα συλλαβὼν καὶ καθείρξας, ἵνα μὴ παρέχῃ τοῖς κατακερτομοῦσιν
ἀφορμὴν εἰς ὕβριν τῶν βελτιόνων, καὶ τοὺς ἐνσκευάσαντας τιμωρησάμενος,
ὅτι γε βασιλέα καὶ φίλον Καίσαρος καὶ ὑπὸ τῆς Ῥωμαίων βουλῆς τετι-
μημένον στρατηγικαῖς τιμαῖς ἐτόλμησαν καὶ ἔργοις καὶ λόγοις καὶ φανερῶς
καὶ πλαγίως ὑβρίζειν, οὐ μόνον οὐκ ἐπέπληξεν, ἀλλ' οὐδ' ἐπισχεῖν
ἠξίωσεν ἄδειαν καὶ ἐκχειρίαν διδοὺς τοῖς ἐθελοκακοῦσι καὶ ἐθελέχθρως
ἔχουσι, προσποιούμενος ἅ τε ἑώρα μὴ ὁρᾶν καὶ ὧν ἤκουε μὴ ἀκούειν.
ὅπερ συναισθόμενος ὁ ὄχλος — οὐχ ὁ καθεστὼς καὶ δημοτικός, ἀλλ' 41

---

1 Καραβᾶς] Βαραβᾶς (vel Βαραββᾶς) coni. Cohn 2 ἄσκεπτος coni. Cotelier, ἀσκεπὴς Matthaei ἄσκηπτος — πλησιάζουσιν om. A 4 κρυμὸν AH: υ ex η corr. M, κρημὸν G, κρυμνὸν L; κρυμνὸν Richt. (Tauchn.) 5 μειρακίων om. A συνελάσαντες ⟨οὖν⟩ coni. Mang., σ. ⟨δὴ⟩ Matthaei 6 πρὸς] ὑπὸ M βύβλον H, βύβλον M: βίβλον GA 7. 8 χαμαιστρώτῃ G 8 ἄλλον G μεταβάλλουσιν A 9. 10 ἰδών τις MGH (Turn.): ἰδόντες A (Mang.) 10 ἀναδίδωσιν MGH (Turn.): παραδιδόασιν A; ἀναδιδόασιν Mang. ἐπεὶ] ἐπειδὴ M δ' A 12 ἑκατέρωθι A εἱστήκεισαν MA 13. 14 οἱ δὲ ὡς δικασόμενοι om. A 14 τευξόμενοι A πραγμάτων] προσταγμάτων M τοῦ om. H (v) 15 μάριν A ἀποκαλοῦντες A 16 φασιν L (Turn.) ἦδεισαν Mang. 17 καὶ Συρίας] καισαρείας A μεγάλης A 17. 18 ἐβασίλευσε AH (v) 18 δ' A δ' A ἔπραξε post ἂν add. A (Mang.), om. ceteri (Turn.) 19 κακοτερμοῦσιν (sic) A 21 τῶν ante Ῥωμαίων add. A 22 στρατηγικαῖς] τραγικαῖς A ἐτόλμησαν om. A καὶ ἔργοις om. L (Turn.) λόγοις καὶ ἔργοις transp. GH 23 ὑβρίζουσιν A ὁ δὲ ante οὐ add. A (Mang.), om. ceteri (Turn.) 24 ἐκκεχειρίαν AH

ὁ πάντα θορύβου καὶ ταραχῆς εἰωθὼς ἀναπιμπλάναι διὰ φιλοπραγμοσύνην καὶ ζῆλον ἀβιώτου βίου καὶ τὴν ἐξ ἔθους ἀργίαν καὶ σχολήν, πρᾶγμα ἐπίβουλον — συρρυέντες εἰς τὸ θέατρον ἐξ ἐωθινοῦ Φλάκκον ἤδη τιμῶν ἀθλίων ἐωνημένοι, ἃς ὁ δοξομανὴς καὶ παλίμπρατος ἐλάμβανεν οὐ καθ' αὑτοῦ μόνον ἀλλὰ καὶ τῆς κοινῆς ἀσφαλείας, ἀνεβόησαν ἀφ' ἑνὸς συν- 5
θήματος εἰκόνας ἐν ταῖς προσευχαῖς ἀνατιθέναι, καινότατον καὶ μη-
42 δέπω πραχθὲν εἰσηγούμενοι παρανόμημα. καὶ τοῦτ' εἰδότες — ὀξύτατοι γὰρ τὴν μοχθηρίαν εἰσί — κατασοφίζονται τὸ Καίσαρος ὄνομα προκά-
43 λυμμα ποιησάμενοι, ᾧ προσάπτειν τι τῶν ἐπαιτίων οὐ θεμιτόν. τί οὖν ὁ τῆς χώρας ἐπίτροπος; ἐπιστάμενος, ὅτι καὶ ἡ πόλις οἰκήτορας ἔχει 10
διττούς, ἡμᾶς τε καὶ τούτους, καὶ πᾶσα Αἴγυπτος, καὶ ὅτι οὐκ ἀποδέουσι μυριάδων ἑκατὸν οἱ τὴν Ἀλεξάνδρειαν καὶ τὴν χώραν Ἰουδαῖοι κατοικοῦντες ἀπὸ τοῦ πρὸς Λιβύην καταβαθμοῦ μέχρι τῶν ὁρίων Αἰθιοπίας, καὶ ὡς ἡ πεῖρα κατὰ πάντων ἐστὶ καὶ ὡς οὐ λυσιτελὲς ἔθη πάτρια κινεῖν, ἀμελήσας ἁπάντων ἐπιτρέπει ποιήσασθαι τὴν ἀνάθεσιν, μυρία καὶ πάντα 15
προνοητικὰ δυνάμενος ἢ ὡς ἄρχων κελεύειν ἢ συμβουλεύειν ὡς φίλος.
44 (7.) ὁ δὲ — συνεχειρούργει γὰρ ἕκαστα τῶν ἁμαρτανομένων — καὶ ἀπὸ μείζονος ἐξουσίας ἀναρριπίζειν καινοτέραις ἀεὶ κακῶν προσθήκαις τὴν στάσιν ἠξίου καὶ τό γ' ἐφ' αὑτὸν ἦκον μέρος ἅπασαν ὀλίγου δεῖν
45 φάναι τὴν οἰκουμένην ἐμφυλίων πολέμων ἐπλήρωσεν. οὐ γὰρ ἦν ἄδηλον, 20
ὅτι ἡ περὶ τὴν κατάλυσιν τῶν προσευχῶν φήμη λαβοῦσα τὴν ἀρχὴν ἀπὸ τῆς Ἀλεξανδρείας διαδοθήσεται μὲν εὐθὺς εἰς τοὺς ἐν Αἰγύπτῳ νομούς, δραμεῖται | δ' ἀπὸ μὲν Αἰγύπτου πρὸς ἀνατολὰς καὶ ἔθνη τὰ ἑῷα, p. 524M.
ἀπὸ δὲ τῆς ὑποταινίου καὶ Μαρείας, αἳ Λιβύης εἰσὶν ἀρχαί, πρὸς δυσμὰς]
καὶ ἔθνη τὰ ἑσπέρια· Ἰουδαίους γὰρ χώρα μία διὰ πολυανθρωπίαν οὐ 25
46 χωρεῖ. ἧς αἰτίας ἕνεκα τὰς πλείστας καὶ εὐδαιμονεστάτας τῶν ἐν Εὐρώπῃ καὶ Ἀσίᾳ κατά τε νήσους καὶ ἠπείρους ἐκνέμονται μητρόπολιν μὲν τὴν ἱερόπολιν ἡγούμενοι, καθ' ἣν ἵδρυται ὁ τοῦ ὑψίστου θεοῦ νεὼς ἅγιος, ἃς δ' ἔλαχον ἐκ πατέρων καὶ πάππων καὶ προπάππων καὶ τῶν ἔτι ἄνω

---

2 πρᾶγμ' A 3 τὸ om. A φλάκκων M 4 ἀθλίων om. A; ἄθλιον coni. Mang. παλίμπρωτος H 4. 5 καθ' ἑαυτὸν G; κατ' αὐτοῦ v, καθ' ἑαυτοῦ coni. Mang. 5 μόνου H (v) ἐφ' M 6 ἀνατεθῆναι coni. Mang. 7 ποτὲ post μηδέπω add. G (μηδεπώποτε Cohn) 8 εἰσίν L (Turn.) 8. 9 προκάλυμα M 9 ὃ G pr. τι MGH (Turn.): τὰ A (Mang.) ὑπαιτίων A (Mang.) 11 ἡ ante Αἴγυπτος add. A 12 ἑκατὸν] ἑπτὰ coni. Mang. οἱ om. H (Turn.) 17 γὰρ MGH (redundare vid. Mang., om. Dahl): καὶ A 18 καινοτέρων coni. Mang. αἰεὶ G 19 γ'] τ' G δεῖν] δέω coni. Mang. 21 ἡ] οἱ M κατάλυψιν L; κατάληψιν Turn. 23 νόμους M, corr. in νομοὺς H δὲ M ἀπ' A μὲν om. A 24 δὲ om. A ὑποταινίου Turn. (v): ὑποτενίου MGH, ὑποτενίης A; cf. III 242, 13 μαρίας G 26 καὶ] τὰς A ἐν ss. H 28 ἱερόπολιν] ἱερὰν πόλιν A νεὼς G: ναὸς ceteri 29 καὶ προπάππων om. A

προγόνων οἰκεῖν ἕκαστοι· πατρίδας νομίζοντες, ἐν αἷς ἐγεννήθησαν καὶ ἐτράφησαν· εἰς ἐνίας δὲ καὶ κτιζομένας εὐθὺς ἦλθον ἀποικίαν στειλάμενοι, τοῖς κτίσταις χαριζόμενοι. καὶ δέος ἦν, μὴ οἱ πανταχοῦ τὴν ἀφορμὴν 47
ἐκεῖθεν λαβόντες ἐπηρεάζωσι τοῖς πολίταις αὐτῶν Ἰουδαίοις εἰς τὰς προσευχὰς καὶ τὰ πάτρια νεωτερίζοντες. οἱ δέ — οὐ γὰρ ἔμελλον ἄχρι 48
παντὸς ἡσυχάζειν καίτοι πεφυκότες εὖ πρὸς εἰρήνην, οὐ μόνον ὅτι παρὰ πᾶσιν ἀνθρώποις οἱ περὶ τῶν ἐθῶν ἀγῶνες καὶ τοὺς περὶ ψυχῆς κινδύνους ὑπερβάλλουσιν, ἀλλ' ὅτι καὶ μόνοι τῶν ὑφ' ἥλιον ἅμα ταῖς προσευχαῖς ἀπεστεροῦντο τὴν εἰς τοὺς εὐεργέτας εὐσέβειαν, ὃ μυρίων θανάτων ἐτετίμηντο ἄν — οὐκ ἔχοντες ἱεροὺς περιβόλους, οἷς ἐνδιαθήσονται τὸ εὐχάριστον, καὶ τοῖς ἐναντιουμένοις εἶπον ἄν· „λελήθατε ἑαυτοὺς οὐ 49
προστιθέντες τοῖς κυρίοις τιμήν, ἀλλ' ἀφαιρούμενοι, οὐκ εἰδότες ὡς τοῖς πανταχόθι τῆς οἰκουμένης Ἰουδαίοις ὁρμητήρια τῆς εἰς τὸν Σεβαστὸν οἶκον ὁσιότητός εἰσιν αἱ προσευχαὶ ἐπιδήλως, ὧν ἡμῖν ἀναιρεθεισῶν τίς ἕτερος ἀπολείπεται τόπος ἢ τρόπος τιμῆς; εἰ μὲν γὰρ ἐφιέντων τῶν 50
ἐθῶν ὀλιγωροῦμεν, τῆς ἀνωτάτω τιμωρίας δίκαιοι τυγχάνειν ἐσμὲν μὴ παρέχοντες ἀρτίους καὶ πλήρεις τὰς ἀμοιβάς. εἰ δ' οὐκ ἐξὸν τοῖς ἰδίοις ὑποστέλλομεν νομίμοις, ἃ καὶ τῷ Σεβαστῷ φίλον βεβαιοῦν, τί μικρὸν ἢ μέγα πλημμελοῦμεν οὐκ οἶδα· πλὴν εἰ μὴ ψέγειν τις ἐθελήσειε τὸ μὴ γνώμῃ ἑκουσίῳ παρανομεῖν τὰς ἐκδιαιτήσεις τῶν ἐθῶν οὐ φυλαξαμένους, αἳ, κἂν ἀφ' ἑτέρων ἄρξωνται, τελευτῶσι πολλάκις εἰς τοὺς αἰτίους." ἀλλ' ὁ μὲν Φλάκκος τά τε λεκτέα ἡσυχάζων καὶ τὰ ἡσυχαστέα λέγων 51
οὕτως εἰς ἡμᾶς ἐξημάρτανεν. ἐκεῖνοι δ', οἷς ἐχαρίζετο, τίνα γνώμην εἶχον; ἆρά γε τὴν τῶν τιμᾶν ἐθελόντων; εἶτα σπάνις ἦν ἱερῶν κατὰ τὴν πόλιν, ἧς τὰ πλεῖστα καὶ ἀναγκαιότατα μέρη τετεμένισται, πρὸς ἀνάθεσιν ὧν ἐβούλοντο; τὴν μὲν οὖν τῶν φιλαπεχθημόνων καὶ μετὰ τέχνης 52
p. 525 M. ἐπιβουλευόντων ὁρμὴν ἔφαμεν, δι' ἣν οἱ μὲν ἐπηρεάζοντες | οὐ δόξουσιν ἀδικεῖν, τοῖς δ' ἐπηρεαζομένοις οὐκ ἀσφαλὲς ἐναντιοῦσθαι. οὐ γάρ ἐστιν,

---

1 ⟨οὐ⟩ πατρίδας coni. Mang. (probat Ernesti) 2 καὶ om. MA ἀποικίας A 4 ἐπηρεάσωσι G 5 οἵδ' G 6 ἡσυχάσειν G παρὰ] περὶ M 7 ἐθνῶν G 9 τὸν εὐεργέτην A (mavult Mang.) 10 ἄν om. A προβόλους G 11 καὶ om. A εἶπον] εἶποιμ' coni. Mang. ἂν om. A 12 προτιθέντες A οὐκ εἰδότες ὡς M: om. ceteri (v) τοῖς] τοὺς A 13 πανταχόθεν AH (v) τῆς οἰκουμένης om. A Ἰουδαίους A 15 τρόπος] τόπος (sic) G ἐφιέντων Wendl.: ἀφιέντων MGH (v), ἀφεθέντων A (mavult Mang.); ἀφιέντες coni. Cohn 17 ἀμειβὰς M οὐκ] ὅτε vel ὡς coni. Mang. ἑξὸν seclusit Dahl ἰδίοις] Ἰουδαίοις M 18 ὑποστελλόμενοι A 19 πλημμελοῦμεν] πληροῦμεν M τὸ] τῷ H 20. 21 φυλαξάμενος G 21 ἄρξωνται] αὔξωνται coni. Mang. 25 μέρη om. A 26 τὴν μὲν οὖν codd.: τιμὴν Turn. φιλαπεχθημένων M καὶ om. L (Turn.) 27 ὁρμὴν ἔφημεν (sic) A (ante καὶ transp. Mang.): om. ceteri (Turn.) οὐ δόξουσιν] οἵδε δόξουσι μὴ A: οὐ δόξουσι μὴ coni. Cohn

ὦ γενναῖοι, τιμὴ καταλύειν νόμους, ἔθη πάτρια κινεῖν, ἐπηρεάζειν τοῖς συνοικοῦσι, διδάσκειν καὶ τοὺς ἐν ταῖς ἄλλαις πόλεσιν ὁμοφροσύνης ἀλογεῖν.
53 (8.) Ἐπειδὴ τοίνυν ἡ κατὰ τῶν νόμων πεῖρα εὐοδεῖν ἔδοξεν αὐτῷ τὰς προσευχὰς ἁρπάσαντι καὶ μηδὲ τοὔνομα ὑπολιπομένῳ, πάλιν ἐφ' ἕτερον ἐτρέπετο, τὴν τῆς ἡμετέρας πολιτείας ἀναίρεσιν, ἵν' ἀποκοπέντων οἷς μόνοις ἐφώρμει ὁ ἡμέτερος βίος ἐθῶν τε πατρίων καὶ μετουσίας πολιτικῶν δικαίων τὰς ἐσχάτας ὑπομένωμεν συμφορὰς οὐδενὸς ἐπειλημμένοι
54 πείσματος εἰς ἀσφάλειαν. ὀλίγαις γὰρ ὕστερον ἡμέραις τίθησι πρόγραμμα, δι' οὗ ξένους καὶ ἐπήλυδας ἡμᾶς ἀπεκάλει μηδὲ λόγου μεταδούς, ἀλλ' ἀκρίτως καταδικάζων. οὗ τί ἂν εἴη τυραννίδος ἐπάγγελμα μεῖζον; αὐτὸς γενόμενος τὰ πάντα, κατήγορος, ἐχθρός, μάρτυς, δικαστής, κολαστής, εἶτα δυσὶ τοῖς προτέροις καὶ τρίτον προσέθηκεν ἐφεὶς ὡς ἐν ἁλώσει τοῖς
55 ἐθέλουσι πορθεῖν Ἰουδαίους. οἱ δὲ λαβόντες ἄδειαν τί πράττουσι; πέντε μοῖραι τῆς πόλεώς εἰσιν, ἐπώνυμοι τῶν πρώτων στοιχείων τῆς ἐγγραμμάτου φωνῆς· τούτων δύο Ἰουδαϊκαὶ λέγονται διὰ τὸ πλείστους Ἰουδαίους ἐν ταύταις κατοικεῖν· οἰκοῦσι δὲ καὶ ἐν ταῖς ἄλλαις οὐκ ὀλίγοι σποράδες. τί οὖν ἐποίησαν; ἐκ τῶν τεσσάρων γραμμάτων ἐξῴκισαν τοὺς Ἰουδαίους
56 καὶ συνήλασαν εἰς ἑνὸς μοῖραν βραχυτάτην. οἱ δὲ ἐξεχέοντο διὰ τὸ πλῆθος εἰς αἰγιαλοὺς καὶ κοπρίας καὶ μνήματα πάντων στερόμενοι τῶν ἰδίων. ἐκεῖνοι δὲ τὰς οἰκίας ἐρήμους καταδραμόντες ἐφ' ἁρπαγὴν ἐτράποντο καὶ ὡς ἐκ πολέμου λείαν διενέμοντο, μηδενὸς δὲ κωλύοντος καὶ τὰ ἐργαστήρια τῶν Ἰουδαίων συγκεκλεισμένα διὰ τὸ ἐπὶ Δρουσίλλῃ πένθος ἀναρρήξαντες ὅσα εὗρον — πολλὰ δὲ καὶ ταῦτ' ἦν — ἐξεφόρησαν καὶ διὰ μέσης ἀγορᾶς ἐκόμιζον ὡς οἰκείοις τοῖς ἀλλοτρίοις καταχρώμενοι.
57 τῆς δ' ἁρπαγῆς ἡ ἀπραξία κακὸν ἦν βαρύτερον, τὰς μὲν ἐνθήκας ἀπολωλεκότων τῶν ποριστῶν, μηδενὸς δὲ ἐωμένου, μὴ γεωργοῦ, μὴ ναυκλήρου, μὴ ἐμπόρου, μὴ τεχνίτου, τὰ συνήθη πραγματεύεσθαι, ὡς διχόθεν κατεσκευάσθαι πενίαν, ἔκ τε τῆς ἁρπαγῆς, ἐξουσίων μιᾷ ἡμέρᾳ γενομέ-

---

2 ταῖς om. A ὁμοφροσύνη M 3 τῶν A (mavult Mang.): τὸν ceteri; τοῦ v νόμων MA (mavult Mang.): νόμον GH; νόμου v 4 ὑπολειπομένω A 5 ἵν'] ἣν M 6 ἐφόρμει H^1, corr. H^2 7 ὑπομένωμεν GAH^2: ὑπομένομεν MH^1 ἐνειλημμένοι G, ὑπειλημμένοι H 9 ἡμᾶς καὶ ἐπήλυδας transp. A λόγον H μεταδιδοὺς A 12 προτέροις] ἑτέροις A ἐφεὶς H, pr. ε ex α M: ἀφεὶς A, ἐφ' ἧς G 13 πράττουσιν H (v) 14 τῶν πρώτων στοιχείων om. M 14. 15 ἐγγραμμάτου] γραμμάτων A 15 δύο Turn. (v): ἐν δυσὶν codd. 17 τεττάρων v ἐξώκησαν G 18 ἐξεχέοντο] ἐξέρχοντο L; ἐξήρχοντο Turn. 19 αἰγιηλοὺς M κοπρίας] ἐρημίας coni. Mang. στερόμενοι Cohn (cf. 134,8. 142,24): στερούμενοι codd. (v) 20 ἐρήμους οἰκίας transp. H (v) 21 διενενέμηντο A δὲ om. G, δὴ coni. Mang. 22 συγκελεισμένα (sic) M ὀρυσίλλη G 24 χρώμενοι A 26 δὲ ἐωμένου Turn. (v): δὲ ὠνουμένου codd. 27 τεχνήτου M

28 κατασκευάσαι A, κατεσκευάσται H ἐξουσίων] τῶν οὐσιῶν A

νων καὶ περισεσυλημένων τὰ ἴδια, κἀκ τοῦ μὴ δεδυνῆσθαι πορίζειν ἐκ τῶν συνήθων ἐπιτηδευμάτων.

p. 526 M. (9.) | Καὶ ταῦτα μὲν εἰ καὶ ἀφόρητα, ἀλλ' οὖν τοῖς αὖθις πεπραγ- 58
μένοις συγκρινόμενα οἰστά. πενία γὰρ χαλεπὸν μέν, καὶ μάλισθ' ὅταν
5 κατασκευάζηται πρὸς ἐχθρῶν, ἔλαττον δὲ τῆς εἰς τὰ σώματα ὕβρεως,
κἂν ᾖ βραχυτάτη. τοὺς δ' ἡμετέρους διὰ τὰς ὑπερβολὰς ὧν ἔπαθον 59
οὐδ' ἂν εἴποι τις ὕβριν ἢ αἰκίαν ἐνδεδέχθαι κυρίοις χρώμενος τοῖς ὀνό-
μασιν, ἀλλά μοι δοκεῖ προσρήσεων οἰκείων ἂν ἀπορῆσαι διὰ μέγεθος
κεκαινουργημένης ὠμότητος, ὡς τὰ τῶν πολέμῳ μὲν κρατησάντων, ἐκ
10 φύσεως δ' ἀσπόνδων εἰς τοὺς ἑαλωκότας, συγκρινόμενα τοῖς τούτων
ἡμερώτατα ἂν εἶναι δόξαι. χρήματα ἁρπάζουσιν ἐκεῖνοι καὶ πλῆθος αἰχμα- 60
λώτων σωμάτων, ἀλλὰ κινδυνεύσαντες, εἴπερ ἡττήθησαν, ἀποβαλεῖν τὰ
οἰκεῖα. οὐ μὴν ἀλλὰ καὶ μυρίους, ὧν λύτρα κατατιθέασι συγγενεῖς ἢ
φίλοι, μεθίενται τῶν δορυαλώτων, ἴσως μὲν ἀκαμπεῖς ὄντες πρὸς ἔλεον,
15 ἡττώμενοι δὲ φιλαργυρίας. ἀλλὰ τί τοῦτο; φαίη τις ἄν· τοῖς γὰρ εὖ
πάσχουσιν ἀδιαφορεῖ τῆς σωτηρίας ὁ τρόπος. ἤδη δὲ καὶ τοὺς πεσόντας 61
ἐν τῷ πολέμῳ τῶν ἐχθρῶν ταφῆς ἀξιοῦσιν οἱ μὲν ἐπιεικεῖς καὶ φιλάν-
θρωποι ταῖς οἴκοθεν δαπάναις, οἱ δὲ τὴν ἔχθραν καὶ πρὸς νεκροὺς
ἀποτείνοντες ὑπόσπονδα τὰ σώματα διδόντες ὑπὲρ τοῦ μὴ τῆς τελευταίας
20 χάριτος ἀμοιρῆσαι τῶν νομιζομένων. ἐν πολέμῳ μὲν οἱ δυσμενεῖς ταῦτα· 62
ἐν εἰρήνῃ δ' οἱ πρὸ μικροῦ φίλοι θεασώμεθα ὁποῖα. μετὰ γὰρ τὰς
ἁρπαγὰς καὶ τοὺς ἀνοικισμοὺς καὶ τὰς ἐκ τῶν πλείστων μερῶν τῆς πό-
λεως βιαίους ἐλάσεις καθάπερ τειχήρεις ἐν κύκλῳ περικαθημένων ἐχθρῶν
γεγονότες, ἀπορίᾳ καὶ σπάνει δεινῇ τῶν ἀναγκαίων πιεζόμενοι καὶ γύναια
25 καὶ τέκνα νήπια ὁρῶντες ἐν ὀφθαλμοῖς παραπολλύμενα λιμῷ χειροποιήτῳ
— πάντα γὰρ τἄλλα εὐθηνίας καὶ εὐετηρίας μεστὰ ἦν, τοῦ μὲν ποταμοῦ 63
ταῖς πλημμύραις τὰς ἀρούρας πλουσίως λιμνάσαντος, τῆς δὲ πεδιάδος, ὅση
πυροφόρος, ἀφθονώτατον ὑπ' εὐγονίας τὸν τοῦ σίτου καρπὸν ἀναγούσης

α

1 μὴ δεδυνῆσθαι A (Mang.): σεσυλῆσθαι ceteri (Turn.) 4 συγκρινομένοις H μὲν ante γὰρ add. M 5 ἐλάττων A 6 ὑπερβολὰς ⟨κακῶν⟩ coni. Cohn 7 ἐνδεδέχθαι Turn. (v): ἐνδεδεῖχθαι MAH, ἐνδεδῆχθαι G χρώμενον M 7. 8 ὀνόμασι M 9 πολέμω (πολέμωι L) codd. (mavult Mang.): πολεμίων v 11 ἡμερότατα H δόξῃ M 12 κινδυνεύσαντες ⟨αὖ⟩ coni. Mang. εἴπερ G: ἂν A, om. MH; εἰ v 14 φίλοι (alt. ι corr. ex υ) M δοριαλώτων (ι corr. in υ) H 17 τῷ om. H 18 τοὺς ante νεκροὺς add. H (v) 21 δὲ G θεασώμεθ' A 22 ἀνοικισμοὺς MGH (Turn.): ἐξοικισμοὺς A (Mang.) 23 βιαίας H (v) περικαθημένων ἐν κύκλῳ transp. A 24 πιεζόμενοι GAH: βιαζόμενοι M 25 ἐν ὀφθαλμοῖς ὁρῶντες transp. A 26 τἄλλ' M μὲν om. A 27 ταῖς πλημμύραις om. A πλουσίως] πλησμίως G 28 ὑπ' εὐγονίας Mang. (Dahl): ὑπὲρ γωνίας MG, ὑπὲρ γονίας H, om. A; ὑπεργονίας v, ὑπ' ἐργασίας coni. Wendl. τοῦ σίτου om. A ἀγούσης GA

64 —, μηκέτι στέγειν δυνάμενοι τὰς ἐνδείας, οἱ μὲν ἐπὶ συγγενῶν καὶ φίλων, πρότερον οὐκ εἰωθότες, οἰκίας ἦλθον ἔρανον αὐτὰ τὰ ἀναγκαῖα αἰτήσοντες, οἱ δ' ἀπὸ φρονήματος εὐγενοῦς τὴν μεταιτῶν τύχην ὡς δουλοπρεπῆ καὶ ἀνελεύθερον ἐκτρεπόμενοι προῆλθον εἰς ἀγορὰν οὐδενὸς ἑτέρου χάριν ἢ τοῦ πρίασθαι τοῖς τε οἰκείοις καὶ ἑαυτοῖς τροφάς, οἱ
65 δυστυχεῖς. εὐθὺς γὰρ συναρπασθέντες ὑπὸ τῶν τὴν ὀχλοκρατίαν ἐπιτειχισάντων δολοφονοῦνται καὶ συρόμενοι καὶ πατούμενοι διὰ τῆς πόλεως ἁπάσης ἐξαναλώθησαν, οὐδενὸς ὑπολειφθέντος μέρους, ὃ δυνήσεται κοι-
66 νωνῆσαι ταφῆς. μυρίους μέντοι καὶ ἄλλους πολυτρόποις κακῶν ἰδέαις ἐπιτετηδευμέναις εἰς χαλεπὴν ὠμότητα κατειργάσαντο καὶ διέφθειραν οἱ λελυττηκότες ὑπ' ἀγριότητος | εἰς θηρίων φύσιν· τοὺς γὰρ ὅπῃ τύχοι p. 527 M.
φανέντας τῶν Ἰουδαίων ἢ κατέλευον ἢ ξύλοις κατέκοπτον οὐκ εὐθὺς ἐπὶ τὰ καιριώτατα μέρη τὰς πληγὰς φέροντες, ἵνα μὴ θᾶττον τελευτήσαντες
67 θᾶττον καὶ τὴν τῶν ὀδυνηρῶν ἀντίληψιν ἀπόθωνται. τῇ δὲ τῶν συμφορῶν ἀδείᾳ καὶ ἐκεχειρίᾳ τινὲς ἐπινεανιευόμενοι, τῶν ἀμβλυτέρων ὅπλων
68 ἀλογήσαντες, ἀνελάμβανον τὰ πάντων ἀνυσιμώτατα, πῦρ καὶ σίδηρον, καὶ πολλοὺς μὲν ξίφεσιν ἀνεῖλον, οὐκ ὀλίγους δὲ πυρὶ διέφθειραν. ἤδη δὲ καὶ γενεὰς ὅλας, ἄνδρας μετὰ γυναικῶν, τέκνα νήπια μετὰ γονέων, ἐνέπρησαν οἱ πάντων ἀνηλεέστατοι κατὰ μέσην τὴν πόλιν, μὴ γῆρας, μὴ νεότητα, μὴ παίδων ἄκακον ἡλικίαν οἰκτισάμενοι· καὶ ὁπότε ξύλων
69 ὕλης ἀπορήσειαν, φρύγανα συλλέγοντες καπνῷ τὸ πλέον ἢ πυρὶ διέφθειρον, οἰκτρότερον καὶ ἐπιμηκέστερον ὄλεθρον τοῖς δειλαίοις τεχνάζοντες, ὧν τὰ σώματα ἡμίφλεκτα ἀναμὶξ ἔκειτο, χαλεπὴ καὶ ὀδυνηροτάτη θέα. εἰ δὲ καὶ οἱ παραληφθέντες ἐπὶ φρυγανισμὸν ἐβράδυνον, ἐπὶ τῶν ἰδίων σκευῶν τῶν ἐκ τῆς ἁρπαγῆς ἐνεπίμπρασαν τοὺς δεσπότας τὰ μὲν πολυτελῆ νοσφι-
70 ζόμενοι, τὰ δὲ μὴ πάνυ χρήσιμα συγκαταφλέγοντες, οἷς ἀντὶ ξύλων εἰκαίων ἐχρῶντο. πολλοὺς δὲ καὶ ζῶντας τοῖν ποδοῖν τὸν ἕτερον ἐκδήσαντες

---

1 στέγειν (γ corr. ex ν) H 2 οὐκ εἰωθότες] οἰκειωθέντων A ἔραννον H
3 μεταιτῶν] μετ' αὐτῶν A 4 προτρεπόμενοι A 5 χάριν om. A
6 εὐθὺς MGH: εὐθὺ ν 6. 7 εὐθὺς — δολοφονοῦνται om. A 6 ὀχλοκρατίαν ν: ὀχλοκρασίαν codd. (mavult Mang.) 6. 7 ἐπιτειχησάντων G 8 μέρους ὃ] ἀνέρος ὃς A 9 ταφῆς] τροφῆς A μέντοι codd: μὲν ν
10 οἱ om. A 11 φύσιν ⟨μεταβαλόντες⟩ coni. Mang. τύχη A
13 καιριώτατα MH (Mang.): κυριώτατα GA (Turn.) 14 ἀπόληψιν A
15 ἀδείᾳ Mang. (cf. 127, 24): ἀδίκῳ G, ἀδικίᾳ ceteri (ν) καὶ om. G
ἐκκεχειρίᾳ A ὅπλων om. Turn. 17 διέφθειρον G 18 γενεὰς] συγγενείας coni. Mang. γυναικῶν — μετὰ om. Mang. 20 ἀκάκων G
ὁπότε MG: ὁπόταν AH (ν) 21 καὶ ante ὕλης add. A διέφθειρον AH, ο ex corr. M: διέφθειραν G 22 οἰκτότερον (sic) G ὧ G 23 ἔκειντο A
χαλεπῇ M ὀδυνηρότατος H εἰ H: οἱ ceteri 24 οἱ G: om. ceteri (ν)
παραληφθέντες Mang. (Dahl): περιλειφθέντες MGH, περιλειφθέντας A ἐβράδυνον MH: ἐκράδαινον A, om. G 25 ἐνεπίμπρασαν G: ἐνεπίμπρων ceteri (ν)
26 μὴ om. M 27 ἐκδύσαντες M, υ corr. in η H

κατὰ τὸ σφυρὸν εἶλκον ἅμα καὶ κατηλῶων ἐναλλόμενοι θάνατον
ὠμότατον ἐπινοήσαντες· καὶ τελευτησάντων, οὐδὲν ἧττον ἀτελεύτητα μηνι- 71
ῶντες βαρυτέρας αἰκίας τοῖς σώμασιν ἐπέφερον, διὰ πάντων ὀλίγου δέω
φάναι τῶν τῆς πόλεως στενωπῶν κατασύροντες, ἕως ὁ νεκρὸς δοράς,
σάρκας, ἴνας ὑπὸ τῆς τῶν ἐδάφων ἀνωμαλίας καὶ τραχύτητος περιθρυφθείς,
καὶ τῶν ἡνωμένων μερῶν τῆς συμφυίας διαστάντων καὶ διασπαρέντων
ἀλλαχόσε ἄλλων, ἐδαπανήθη. καὶ οἱ μὲν ταῦτα δρῶντες ὥσπερ ἐν τοῖς 72
θεατρικοῖς μίμοις καθυπεκρίνοντο τοὺς πάσχοντας· τῶν δ' ὡς ἀληθῶς
πεπονθότων φίλοι καὶ συγγενεῖς, ὅτι μόνον ταῖς τῶν προσηκόντων συμ-
φοραῖς συνήλγησαν, ἀπήγοντο, ἐμαστιγοῦντο, ἐτροχίζοντο, καὶ μετὰ πάσας
τὰς αἰκίας, ὅσας ἐδύνατο χωρῆσαι τὰ σώματα αὐτοῖς, ἡ τελευταία καὶ
ἔφεδρος τιμωρία σταυρὸς ἦν.

(10.) Πάντα δὲ διορύξας καὶ τοιχωρυχήσας ὁ Φλάκκος καὶ μηδὲν 73
μέρος τῶν Ἰουδαϊκῶν ἀμέτοχον ἐπιβουλῆς τῆς ἀνωτάτω καταλιπὼν ἐπε-
νόησεν ἔκτοπόν τινα καὶ παρηλλαγμένην ἐπίθεσιν, ὁ μεγαλουργός, ὁ καινῶν
ἀδικημάτων εὑρετής. τῆς γὰρ ἡμετέρας γερουσίας, ἣν ὁ σωτὴρ καὶ 74
εὐεργέτης Σεβαστὸς ἐπιμελησομένην τῶν Ἰουδαϊκῶν εἵλετο μετὰ τὴν τοῦ
p. 528 M. γενάρχου | τελευτὴν διὰ τῶν πρὸς Μάγιον Μάξιμον ἐντολῶν μέλλοντα πάλιν
[ἀπ'] Ἀλεξανδρείας καὶ τῆς χώρας ἐπιτροπεύειν, ὀκτὼ καὶ τριάκοντα συλ-
λαβὼν τοὺς εὑρεθέντας ἐν ταῖς οἰκίαις εὐθὺς μὲν δῆσαι κελεύει, καὶ
στείλας καλὴν πομπὴν διὰ μέσης ἀγορᾶς πρεσβύτας δεσμίους ἐξηγκω-
νισμένους, τοὺς μὲν ἱμάσι, τοὺς δὲ σιδηραῖς ἁλύσεσιν, εἰς τὸ θέατρον
εἰσάγει — θέαν οἰκτίστην καὶ ἀλλοτριωτάτην τῷ καιρῷ — καὶ στάντας 75
ἀντικρὺ ἐχθρῶν καθεζομένων πρὸς ἐπίδειξιν αἰσχύνης προστάττει πάντας
περιδυθέντας αἰκισθῆναι μάστιξιν, αἷς ἔθος τοὺς κακούργων πονηροτάτους
προπηλακίζεσθαι, ὡς ἐκ τῶν πληγῶν τοὺς μὲν φοράδην ἐκκομισθέντας
αὐτίκα τελευτῆσαι, τοὺς δὲ νοσήσαντας ἐπὶ πλεῖστον χρόνον εἰς ἀπόγνωσιν

---

1 εἶλκων M 2. 3 μηνίοντες A 5 περιθρυφθεὶς G: περιθρυβεὶς A, περιβρυθεὶς M, περιβρυφθεὶς (β in ras.) H; περιδρυφθεὶς Turn. (in appendice; probat Mang.) 6 pr. καὶ secludendum censet Cohn συμφυίας MGAH (Mang.): συμφωνίας L (Turn.) διαστάντων codd. (Mang.): διασπασθέντων Turn. 9 καὶ om. A 10 ἐτροχίζοντο om. L (Turn.) 11 τὰς om. G ἐδύνατο G: ἐδύναντο H (v), ἠδύναντο MA 12 ὁ ante σταυρὸς add. G 13 διωρύξας MG pr. καὶ iteravit M τυχωρυχήσας G 14 Ἰουδαίων M ἀμέτοχον] ἀνώτερον (sic) M ἐπιβολῆς coni. Mang. 14. 15 ὑπενόησεν A 15 ὑπόθεσιν A 16. 17 σεβαστὸς καὶ εὐεργέτης transp. A 18 γενάρχου] suspectum Dahlio; Iulium Caesarem *generis principem* intellegendum esse falso putat Mang.; sed γενάρχης hic idem significat atque ἐθνάρχης, cf. Ioseph. *Antiq. XIV 7, 2. XIX 5, 2* Μάγιον (cf. CIL IX 1125)]: μάγνον AH, pr. ν postea add. vid. M, μάγον G 19 ἀπ' seclusit Mang. (Dahl), ἐπ' coni. Schürer Ἀλεξανδρείας Schürer (cf. 120, 13. 121, 12. 128, 12. 150, 1): αἰγύπτου codd. (v) καὶ om. A (probat Mang.) 23 τοῦ καιροῦ coni. Mang., fort. recte στάντας A (Mang.): στὰς ceteri (Turn.) 24 ἀντικρυς G 25 κακούργως Turn. 26 προπιλακίζεσθαι G

76 σωτηρίας ἐλθεῖν. ἧς ἐπιβουλῆς τὸ μέγεθος ἐξελήλεγκται μὲν καὶ δι'
ἑτέρων, οὐχ ἧττον δὲ καὶ διὰ τοῦ μέλλοντος λέγεσθαι σαφέστερον ἐπι-
δειχθήσεται. τῶν ἀπὸ τῆς γερουσίας τρεῖς ἄνδρες, Εὔοδος καὶ Τρύφων
καὶ Ἄνδρων, ἐγεγένηντο ἐξούσιοι, πάνθ' ὅσα εἶχον ἐν ταῖς οἰκίαις διαρπα-
σθέντες ἐφόδῳ μιᾷ, οὓς οὐκ ἠγνόησε ταῦτα πεπονθότας· ἐδηλώθη γὰρ 5
αὐτῷ μεταπεμψαμένῳ πρότερον τοὺς ἡμετέρους ἄρχοντας ὅσα τῷ δοκεῖν
77 ἐπὶ καταλλαγαῖς ταῖς πρὸς τὴν ἄλλην πόλιν. καὶ ὅμως εἰδὼς ἀκριβῶς
⟨τού⟩τους στερομένους τῶν ἰδίων ἐν ὄψεσι τῶν ἁρπασάντων ἔτυπτεν,
ἵν' οἱ μὲν ὑπομένωσι διττὰς συμφοράς, πενίαν ὁμοῦ καὶ τὴν ἐν τοῖς
σώμασιν ὕβριν, οἱ δὲ διττὴν ἡδονήν, ἀλλότριόν τε καρπούμενοι πλοῦτον 10
78 καὶ τῆς τῶν ἀφαιρεθέντων ἀτιμίας εἰς κόρον ἀπολαύοντες. ἔχων τι
τῶν τότε πεπραγμένων εἰπεῖν ἐπαμφοτερίζω, μὴ ἄρα εὐτελὲς εἶναι νο-
μισθὲν ἐκλύσῃ τὰ μεγέθη τῶν τοσούτων· ἔστι δ' εἰ καὶ μικρόν, ἀλλ' οὐ
μικρᾶς δεῖγμα κακονοίας. τῶν μαστίγων εἰσὶ διαφοραὶ διακεκριμέναι κατὰ
τὴν πόλιν πρὸς τὰ τῶν τύπτεσθαι μελλόντων ἀξιώματα· τοὺς μὲν γὰρ 15
Αἰγυπτίους ἑτέραις μαστίζεσθαι συμβέβηκε καὶ πρὸς ἑτέρων, τοὺς δὲ
79 Ἀλεξανδρέας σπάθαις καὶ ὑπὸ σπαθηφόρων Ἀλεξανδρέων. τὸ ἔθος τοῦτο
καὶ ἐπὶ τῶν ἡμετέρων διετήρησαν οἱ πρὸ Φλάκκου καὶ Φλάκκος αὐτὸς
τοὺς πρώτους χρόνους. ἔστι γάρ, ἔστι καὶ ἐν ἀτιμίᾳ βραχύ τι τῶν εἰς
ἐπιτιμίαν εὑρεῖν καὶ ἐν ὕβρει παραφερόμενόν τι τῶν εἰς τὸ ἀνύβριστον, 20
ὅταν τις αὐτὰς ἐφ' ἑαυτῶν ἐᾷ τὰς φύσεις τῶν πραγμάτων ἐξετάζεσθαι,
μὴ προστιθεὶς οἰκοθεν ἐπίβουλον πάθος, ὃ πάνθ' ὅσα παραμέμικται τῆς
80 ἐπιεικεστέρας ἰδέας ὑφαιρεῖ καὶ διοικίζει. πῶς οὖν οὐ παγχάλεπον, τῶν
ἰδιωτῶν Ἀλεξανδρέων Ἰουδαίων ταῖς ἐλευθεριωτέραις καὶ πολιτικωτέραις
μάστιξι τετυπτημένων, εἴ ποτε ἔδοξαν πληγῶν ἄξια ἐργάσασθαι, τοὺς 25
ἄρχοντας, | τὴν γερουσίαν, οἳ καὶ γήρως καὶ τιμῆς εἰσιν ἐπώνυμοι, κατὰ p. 529 M.
τοῦτο τὸ μέρος ἔλαττον τῶν ὑπηκόων ἐνέγκασθαι, καθάπερ Αἰγυπτίων
81 τοὺς ἀφανεστάτους καὶ ἐνόχους τοῖς μεγίστοις ἀδικήμασιν; ἐῶ λέγειν ὅτι,

---

1 ἧς] οἷς A ἐξενήνεγκται M, ἐξελήλεκται G μὲν ante τὸ μέγεθος transp. A
3 εὔοδος GAH: ἔφοδος (sic) M, εὐόδιος L (v) καὶ om. A (secludendum vid. Mang., Dahl) 6 πρότερον μεταπεμψαμένῳ transp. A 8 τούτους scripsi: τοὺς codd. (v); αὐτοὺς coni. Mang. (Dahl) στερουμένους A 9 ὑπομένωσι GAH (Turn.): ὑπομένωσιν ὁμοῦ M (Mang.) τὴν om. L (Turn.)
12 εἶναι om. A 14. 15 κατὰ τὴν πόλιν post ἀξίωματα transp. A 16 μαστίζεσθαι M (Mang.): αἰκίζεσθαι ceteri (Turn.) συμβέβηκεν αἰκίζεσθαι transp. A
δ' A 18 ἐτήρησαν M 22 δ] ὦ A 24 ἰδιωτῶν] ἰδίων τῶν M
ἰουδαίαις M ταῖς] τῶν M ἐλευθερωτέραις M 25 μάστιξιν AL (v)
ποτ' A 26 τὴν γερουσίαν ex glossemate intersertum putat Dahl (assentitur Cohn) γήρως MG: γέρως AH (v) 28 τοῖς μεγίστοις corr. vid. ex τῆς μεγίστης M

15—17 cf. Dikaiomata hrsg. von der Graeca Halensis, Berlin 1913, p. 35.

εἰ καὶ μυρία ἦσαν ἡμαρτηκότες, ὤφειλε τὸν καιρὸν αἰδεσθεὶς τὰς τιμωρίας ὑπερθέσθαι· τοῖς γὰρ ὀρθῶς πολιτευομένοις τῶν ἀρχόντων καὶ μὴ προσποιουμένοις τιμᾶν ἀλλ' ὄντως τιμῶσι τοὺς εὐεργέτας ἔθος ἐστὶ μηδένα κολάζειν τῶν κατακρίτων, ἄχρις ἂν αἱ ἐπιφανεῖς γενέθλιοι καὶ πανηγύρεις αὗται τῶν ἐπιφανῶν Σεβαστῶν διεξέλθωσιν. ὁ δ' ἐν αὐταῖς 82 παρηνόμει καὶ ἐτιμωρεῖτο τοὺς μηδὲν ἀδικοῦντας, οὓς ἐνῆν αὐθις, εἴπερ ἐβούλετο, κολάζειν. ἀλλ' ἔσπευδε καὶ κατήπειγεν ἕνεκα τῆς πρὸς τὸν ἐναντίον ὄχλον ἀρεσκείας, ταύτῃ νομίζων ἐξοικειώσασθαι μᾶλλον αὐτὸν εἰς ἅπερ διενοεῖτο. ἤδη τινὰς οἶδα τῶν ἀνεσκολοπισμένων μελλού- 83 σης ἐνίστασθαι τοιαύτης ἐκχειρίας καθαιρεθέντας καὶ τοῖς συγγενέσιν ἐπὶ τῷ ταφῆς ἀξιωθῆναι καὶ τυχεῖν τῶν νενομισμένων ἀποδοθέντας· ἔδει γὰρ καὶ νεκροὺς ἀπολαῦσαί τινος χρηστοῦ γενεθλιακαῖς αὐτοκράτορος καὶ ἅμα τὸ ἱεροπρεπὲς τῆς πανηγύρεως φυλαχθῆναι. ὁ δ' οὐ τετελευ- 84 τηκότας ἐπὶ σταυρῶν καθαιρεῖν, ζῶντας δ' ἀνασκολοπίζεσθαι προσέταττεν, οἷς ἀμνηστίαν ἐπ' ὀλίγον, οὐ τὴν εἰς ἅπαν, ὁ καιρὸς ἐδίδου πρὸς ὑπέρθεσιν τιμωρίας, οὐκ ἄφεσιν παντελῆ. καὶ ταῦτ' εἰργάζετο μετὰ τὸ πληγαῖς αἰκίσασθαι ἐν μέσῳ τῷ θεάτρῳ καὶ πυρὶ καὶ σιδήρῳ βασανίσαι. καὶ ἡ θέα διενενέμητο· τὰ μὲν γὰρ πρῶτα τῶν θεαμάτων ἄχρι τρίτης 85 ἢ τετάρτης ὥρας ἐξ ἑωθινοῦ ταῦτα ἦν· Ἰουδαῖοι μαστιγούμενοι, κρεμάμενοι, τροχιζόμενοι, κατακικιζόμενοι, διὰ μέσης τῆς ὀρχήστρας ἀπαγόμενοι τὴν ἐπὶ θανάτῳ· τὰ δὲ μετὰ τὴν καλὴν ταύτην ἐπίδειξιν ὀρχησταὶ καὶ μῖμοι καὶ αὐληταὶ καὶ ὅσα ἄλλα σκηνικῶν ἀθύρματα ἀγώνων.

(11.) Καὶ τί ταῦτα μηκύνω; δευτέρα γὰρ ἐπινοεῖται πόρθησις, 86 βουλομένου καὶ τὸ στρατευόμενον πλῆθος ἡμῖν ἐπιτειχίσαι ξένου συκοφαντήματος εὑρέσει. τὸ δὲ συκοφάντημα ἦν, ὡς τῶν Ἰουδαίων πανοπλίας ἐν ταῖς οἰκίαις ἐχόντων. μεταπεμψάμενος οὖν ἑκατόνταρχον ᾧ μάλιστ'

---

1 ἦσαν] εἰσὶν A τὴν τιμωρίαν G 3 τιμᾶν G (coni. Mang.): τόλμαν ceteri (v) τιμῶσι MGH: τολμῶσι A; τιμῶσιν L (v) τοὺς MGAH: om. L (v) 4 τῶν κατακρίτων κολάζειν transp. A ἐπιφανεῖς redundare uid. Mang. 5 αὐτοῖς A 6 οὓς ἐνῆν Wendl.: οὐδὲν ἦν codd.; οὐδένα ἦν v, οὓς δέον ἦν coni. Mang. (Dahl) 7 ἕνεκεν M 8 καὶ ante ταύτῃ add. G ταύτην A ἐξοικειώσασθαι MG: δ'οἰκειώσασθαι A, ἐξοικειώσεσθαι H (v) 9 ἔσφηλεν ante αὐτὸν (sic) add. A αὐτὸν ante ἐξοικειώσασθαι (8) transp. G τινὸς M 10 ἐκκεχειρίας A 11 τῷ] τὸ G 12 αὐτοκρατορίαις A 13 διαφυλαχθῆναι A 14 ἐπὶ] ἀπὸ coni. Mang. σταυρῶ A δὲ M ἀνασκολωπίζεσθαι H 15 ⟨εἰ καὶ⟩ οὐ coni. Mang. οὐ τὴν] αὐτὴν G ὁ καιρὸς ante ἐπ' ὀλίγον transp. M 17 πληγὰς A τοῦ θεάτρου A 18 διενέμητο M 19 τεττάρτης M ὥρας ἢ τετάρτης transp. AH (v) ταῦτ' A 19. 20 κρεμάμενοι A: κρεμνώμενοι (v ss.) M, κρεμνόμενοι H, κριμνάμενοι G 20 κατακικιζόμενοι Cohn: καταδικαζόμενοι codd. (v), ante μαστιγούμενοι transponendum uid. Dahlio; καταλυγιζόμενοι coni. Mang. ὀρχίστρας G 21 θάνατον A καὶ ante ὀρχησταὶ add. H (v) 22 ὅσ' A ἀθύρματ' A 26 ᾧ] ὃν A μάλιστα L (v)

ἐπίστευε, Κάστον ὄνομα, κελεύει παραλαβόντα τῆς ὑπηκόου τάξεως ἑαυτῷ τοὺς εὐτολμοτάτους στρατιώτας ἐπισπεύδειν καὶ ἄνευ προρρήσεως ἐπεισιόντα ταῖς τῶν Ἰουδαίων οἰκίαις ἐρευνᾶν, μή τις ὅπλων ἐναπόκειται
87 παρασκευή. | καὶ ὁ μὲν συντείνας ἔθει τὸ προσταχθὲν ἐργασόμενος. οἱ p. 530 M.
δὲ τὴν ἐπίνοιαν οὐκ εἰδότες ἀχανεῖς τὸ πρῶτον εἱστήκεσαν ὑπ' ἐκπλήξεως, γυναίων καὶ τέκνων αὐτοῖς ἐμπλεκομένων καὶ ῥεομένων δάκρυσι διὰ τὸν ἐπ' αἰχμαλώτοις φόβον· ὃ γὰρ λοιπὸν τῆς πορθήσεως, τοῦτ' ἀεὶ προσ-
88 εδόκων. ὡς δ' ἤκουσαν παρά τινος τῶν ἐρευνώντων· „ποῦ ταμιεύεσθε τὰ ὅπλα;“ μικρὸν ἀνέπνευσαν καὶ πάντα καὶ τὰ ἐν μυχοῖς ἀναπετάσαντες
89 ἐπεδείκνυντο, τῇ μὲν ἡδόμενοι, τῇ δὲ στένοντες, ἡδόμενοι μὲν ἐπὶ τῷ διελεγχθήσεσθαι τὸ συκοφάντημα ἐξ ἑαυτοῦ, δυσχεραίνοντες δέ, ὅτι πρῶτον μὲν αἱ τηλικαῦται διαβολαὶ κατ' αὐτῶν προπιστεύονται συντιθέμεναι πρὸς ἐχθρῶν, ἔπειτα δ', ὅτι γύναια κατάκλειστα μηδὲ τὴν αὔλειον προερχόμενα καὶ θαλαμευόμεναι παρθένοι, δι' αἰδῶ τὰς ἀνδρῶν ὄψεις καὶ τῶν οἰκειοτάτων ἐκτρεπόμεναι, τότε οὐ μόνον ἀσυνήθεσιν ἀλλὰ
90 καὶ στρατιωτικὸν δέος ἐπανατεινομένοις ἐμφανεῖς ἐγένοντο. γενομένης δ' ὅμως ἀκριβοῦς ἐρεύνης ὅσον πλῆθος ἀμυντηρίων ὅπλων εὑρέθη; κράνη, θώρακες, ἀσπίδες, ἐγχειρίδια, κοντοί, παντευχίαι σωρηδὸν προεκομίζοντο; καὶ ἐν μέρει τὰ ἑκηβόλα, παλτοί, σφενδόναι, τόξα, βέλη; τούτων ἁπλῶς οὐδέν· ἀλλ' οὐδὲ τὰ πρὸς τὴν καθ' ἡμέραν δίαιταν ὀψαρ-
91 τυτῶν αὐτάρκη μαχαιρίδια. ἐξ οὗ καὶ ἡ περὶ τὸν βίον εὐθὺς εὐκολία διεφαίνετο πολυτέλειαν καὶ τὸ ἁβροδίαιτον μὴ προσιεμένων, ἃ πέφυκε
92 γεννᾶν κόρον· κόρου δ' ὕβρις ἔκγονον, ἡ πάντων κακῶν ἀρχή. καίτοι γ' οὐ πρὸ πολλοῦ τῶν κατὰ τὴν χώραν Αἰγυπτίων ὁπλολογηθέντων ὑπὸ

---

1 κάστον GH (Turn.): κάστορα A (Mang.), om. M ὄνομα om. M παραλαβόντα MGAH (Mang.): παρὰ L (Turn.) 2 εὐτολμωτάτους H προρρήσεως Mang.: προρήσεως cod. Vat. Pal. 183, προσρήσεως ceteri (Turn.) 3 ἐπεισιόντας A 3. 4 (ἐπεισι)όντα — παρασκευή ss. H^2 3 που ante τις add. M ἐναπόκηται G 4 τὸ προσταχθὲν GAH (Mang.): πρὸς τὸ πραχθὲν M, τὸ πραχθὲν L (Turn.) ἐργασάμενος MG 5. 6 οὐκ εἰδότες — τέκνων ss. H^2 5 εἱστήκεσαν H: εἱστήκεισαν MA, ἑστήκεσαν GL 6 alt. καὶ G, ss. H^2: om. MA 7 αἰχμαλωσίᾳ coni. Mang., αἰχμαλωσίας Dahl αἰεὶ H (v) 8 ποῦ codd. (coni. Mang.): που v ταμιεύεσθε MH (coni. Mang): ταμιεύεσθαι GA (v) 9 καὶ τὰ] μὲν τὰ H (v) 11 δ' G 13 τὴν αὔλειον (αὔλιον GL) codd.: τῆς αὐλείου v 15 καὶ] κἂν coni. Mang. τότε] ὅτι A 16 ἐπανατεινομέναις G 17 ὅσον] ὅσ (sic) M; πόσον coni. Wendl. 18 ἐγχειρίδια G: ἐγχειρίδιοι ceteri 19 παλτοί] παντοῖα A 20 καθ' ἡμέραν] ἡμετέραν A 21 μαχαιρίδια] ἐγχειρίδια A εὐκολία εὐθὺς transp. A 22 πολυτέλειαν] καὶ πολυτέλεια A μὴ προσιεμένων om. A 23 γενᾶν M δὲ M ἔγγονον H, ἔγγονος A 24 γε ML (v) τὴν om. A αἰγύπτου A

---

23 κόρου — ἔκγονον: cf. Wendland, *Philos Schrift über die Vorsehung* p. 108. *Mus. Rhen.* LII 487.

Βάσσου τινός, ᾧ προσέταξεν ὁ Φλάκκος τουτὶ τὸ ἔργον, [ἀλλ'] ἦν τότε
ἰδεῖν στόλον μὲν πολὺν νεῶν καταπεπλευκότα καὶ ἐνορμοῦντα τοῖς τοῦ
ποταμοῦ λιμέσι, γέμοντα παντοίων ὅπλων, ἀχθοφόρα δ' ὑποζύγια παμ-
πληθῆ συνδεδεμένων δοράτων φορμηδὸν ἀφ' ἑκατέρας πλευρᾶς εἰς τὸ
ἰσόρροπον, τὰς δὲ ἀπὸ τοῦ στρατοπέδου πάσας σχεδὸν ἁρμαμάξας μεστὰς
πανοπλιῶν, αἳ στοιχηδὸν ὑπὸ μίαν ὄψιν καὶ τὴν αὐτὴν σύνταξιν ἐν κόσμῳ
προήεσαν· τὸ δὲ μεταξὺ τῶν λιμένων καὶ τῆς ἐν τοῖς βασιλείοις ὁπλο-
θήκης, εἰς ἣν ἔδει κατατεθῆναι τὰ ὅπλα, δέκα σταδίων που διάστημα
σύμπαν ἔχον. τὰς τῶν ταῦτα παρασκευασαμένων οἰκίας ἄξιον ἦν ἐρευνᾶ- 93
σθαι· πρὸς γὰρ νεωτερισμὸν ὕποπτοι πολλάκις ἀποστάντες ἦσαν, καὶ ἔδει
κατὰ μίμησιν τῶν ἱερῶν ἀγώνων τριετηρίδας ἄγειν καινὰς ἐν Αἰγύπτῳ
συγκομιδῆς ὅπλων τοὺς προεστῶτας, ἵν' ἢ μὴ κατασκευάζεσθαι φθάνωσιν
ἢ ἀντὶ πολλῶν ὀλίγα, καιρὸν οὐκ ἔχοντες εἰς ἀναχώρησιν. ἡμᾶς δὲ τί 94
p.531 M. τοιοῦτον ἔδει παθεῖν; | πότε γὰρ εἰς ἀπόστασιν ὑπωπτεύθημεν; πότε δ'
οὐκ εἰρηνικοὶ πᾶσιν ἐνομίσθημεν; τὰ δ' ἐπιτηδεύματα, οἷς καθ' ἑκάστην
ἡμέραν χρώμεθα, οὐκ ἀνεπίληπτα, οὐ συντείνοντα πρὸς εὐνομίαν πόλεως
καὶ εὐστάθειαν; εἴ γε μὴν εἶχον ὅπλα Ἰουδαῖοι παρ' αὐτοῖς, ὑπὲρ τετρα-
κοσίας ἀφῃρέθησαν ⟨ἂν⟩ οἰκίας, ἐξ ὧν μετανάσται ἐγένοντο, φυγαδευθέντες
πρὸς τῶν τὰς οὐσίας ἁρπασάντων; διὰ τί οὖν οὐχὶ καὶ τὰ παρὰ τούτοις
ἠρεύνησέ τις, τοῖς εἰ καὶ μὴ ἴδια ὅπλα, ὅσα γοῦν ἥρπασαν, ἔχουσιν; ἀλλ' 95
ἦν, ὡς ἔφην, ὅλον τὸ πρᾶγμα ἐπιβουλὴ τῆς ἀποτομίας Φλάκκου καὶ
τῶν ὄχλων, ὧν ἀπέλαυσαν καὶ γυναῖκες. οὐκ ἐν ἀγορᾷ γὰρ μόνον ἀλλὰ
καὶ ἐν μέσῳ τῷ θεάτρῳ καθάπερ αἰχμάλωτοι συνηρπάζοντο καὶ ἐπὶ τὴν
σκηνὴν ἐφ' ὅτῳ δήποτε συκοφαντούμεναι παρήγοντο μετά τινος ἀφορήτου
καὶ ἀργαλεωτάτης ὕβρεως· εἶτ' ἐπειδὴ μὲν ἐγνωρίσθησαν ἑτέρου 96
γένους, ἀπελύοντο — πολλὰς γὰρ ὡς Ἰουδαίας ἀκριβῆ μὴ ποιούμενοι

---

1 βάσσου A ᾧ] δ A ἀλλ' seclusi, ἄμ' coni. Wendl. τότ' A 2 ἐνωρμοῦντα G; ἐνορῶντα Turn. 3 λιμέσιν L (v) ἀχθηφόρα A 4 φορληδὸν (sic) G ἀφ'] δ' ἐφ' A 5 δ' A σχεδὸν πάσας transp. A λοιπὸν ante ἁρμαμάξας add. A 5. 6 πανοπλιῶν μεστὰς transp. A 6 στιχηδὸν coni. Mang. ὄψιν om. A (sic mavult Mang.) τάξιν A (mavult Mang.) 7 προσήεσαν A 8 καταθῆναι L; καταθεῖναι Turn. δέκα σταδίων] δεκαστάδιόν M 9 ἔχον σύμπαν transp. A; post haec verba nonnulla excidisse putat Mang. ταῦτα] τοσαῦτα coni. Mang. παρεσκευασμένων A 12 ἵν' om. A φθάνουσιν A 13 καιρῶν (sed corr.) H ἀναχώρησιν suspectum; ἀναχώνευσιν coni. Cotelier (prob. Mang., Dahl), fort. ἀνανέωσιν 14 ὑποπτεύθημεν M δὲ A 15 δ'] γὰρ A 16 εὐνομίαν (vel εὐδαιμονίαν coni.) Mang.: εὔνοιαν codd. (v) 17 γε G: τε ceteri εἶχον ὅπλα M: ὅπλα εἶχον ceteri (v) αὐτοῖς A, ὑ corr. ex ὐ H: αὐτοῖς MG 18 ἂν supplevi: om. codd. (v) 20 ἴδιον A ὅπλα ὅσα scripsi: ὅπλα G, ὅσα ceteri (v) 22 ὧν om. G; ἧς coni. Mang. (Dahl) ἀπήλαυσαν A γὰρ post καθάπερ (23) transp. G 23 τῷ om. H (Turn.), τοῦ A θεάτρου A 25 ἀργαλεωτάτης A: ἀργαλλεωτάτης M, ἀργαλαιοτάτης G, ἀργαλεωτάτου H ἐπειδὴ Wendl.: ἐπειδὰν codd. (v) μὲν om. A 26 γὰρ om. A

τῆς ἀληθείας τὴν ἔρευναν συνελάμβανον —, εἰ δ' ἐφάνησαν ἡμέτεραι, προσέταττον οἱ ἀντὶ θεατῶν τύραννοι καὶ δεσπόται γεγονότες κρέα χοίρεια διδόναι κομίζοντας. ὅσαι μὲν οὖν φόβῳ κολάσεως ἀπεγεύσαντο, μηδὲν ἔτι δεινὸν προσυπομείνασαι ἀπελύοντο· αἱ δ' ἐγκρατέστεραι βασανισταῖς παρεδίδοντο πρὸς αἰκίας ἀνηκέστους, ὅπερ τοῦ μηδὲν ἀδικεῖν αὐτὰς σαφεστάτη πίστις ἐστί.

97 (12.) Πρὸς τοῖς εἰρημένοις οὐ δι' ἑαυτοῦ μόνον ἀλλ' ἤδη καὶ διὰ τοῦ αὐτοκράτορος ἐζήτει καὶ ἐπενόει κακοῦν ἡμᾶς. τιμὰς γάρ, ὅσας οἷόν τε ἦν καὶ ἐπέτρεπον οἱ νόμοι, πάσας Γαΐῳ ψηφισάμενοι καὶ ἐπιτελέσαντες ἔργοις ἀνέδομεν τὸ ψήφισμα αὐτῷ, δεηθέντες, ἐπειδὴ πρεσβείαν αἰτησα-
98 μένοις οὐκ ἂν ἐπέτρεψεν, ἵνα διαπέμψηται δι' αὐτοῦ. ἀναγνοὺς δὲ καὶ ἑκάστῳ τῶν ἐν τῷ ψηφίσματι πολλάκις τῇ κεφαλῇ συνεπινεύσας, ὑπομειδιῶν καὶ γεγανωμένος ἢ προσποιούμενος τὸν ἡδόμενον, „ἀποδέχομαι πάντας ὑμᾶς" ἔφη „τῆς εὐσεβείας καὶ πέμψω, καθάπερ αἰτεῖσθε, ἣ πρεσβευτοῦ τάξιν ἐκπλήσω, ἵν' αἴσθηται Γάιος τῆς ὑμετέρας εὐχαριστίας.
99 μαρτυρήσω δὲ καὶ αὐτὸς ὅσα σύνοιδα τῷ πλήθει τῶν εἰς κοσμιότητα καὶ εἰς εὐπείθειαν προστιθεὶς οὐδέν· ἡ γὰρ ἀλήθεια αὐταρκέστατος ἔπαινος".
100 ἐπὶ ταύταις ταῖς ὑποσχέσεσι γεγηθότες εὐχαριστοῦμεν, ὡς ἤδη ταῖς ἐλπίσι παρανεγνωσμένου Γαΐῳ τοῦ ψηφίσματος. καὶ γὰρ ἦν εἰκός, ἐπειδὴ πάνθ' ὅσα διὰ τῶν ὑπάρχων πέμπεται μετὰ σπουδῆς | ἀνυπέρθετον ἔχει τὴν p. 532 M.
101 παρ' ἡγεμόνι διάγνωσιν. ὁ δὲ πολλὰ χαίρειν φράσας οἷς διενοήθημεν, οἷς εἶπεν, οἷς ὡμολόγησε, τὸ ψήφισμα παρ' ἑαυτῷ παρακατέσχεν, ἵνα μόνοι τῶν ὑφ' ἥλιον ἀνθρώπων ἐχθροὶ νομισθῶμεν. ταῦτ' οὐ διηγρυπνηκότος ἦν ἐκ πολλοῦ καὶ περιεσκεμμένου τὴν καθ' ἡμῶν ἐπιβουλήν, ἀλλὰ

---

1 τὴν ἔρευναν τῆς ἀληθείας transp. A συνέλαβον A 3 ὅσοι A ἀπεγεύσαντο A (Mang.): ἐγεύσαντο ceteri (Turn.) 4 θᾶττον ante ἀπελύοντο add. G ἐγκρατέστεροι H 5 ἀνεδίδοντο AH (Turn.) 7 πρὸς τοῖς εἰρημένοις cum sequentibus verbis coniungit A: cum antecedentibus ceteri (v) αὐτοῦ G, ὐ corr. in ὑ H; αὐτοῦ Turn. δὲ ante μόνον add. H (v) μόνου L (Turn.) 9 τ' A καταψηφισάμενοι A 10 τὸ ψήφισμα om. A πρεσβείαν GH: πρὸς βίαν MA 11 ἐπέτρεπεν A αὐτοῦ (corr. ex αὐτοῦ) H: αὐτοῦ MG, ἑαυτοῦ A 11. 12 καὶ ἑκάστῳ MGA: ἑκάστῳ H; ἕκαστα v 14 πάντας codd.: πάντα v ἡμᾶς M 15 ἐκπλήσω L, corr. ex ἐκπλήσας H: ἐκπλήσας GA, ἐκπλήξας M ἵνα GA ἡμετέρας Turn. 16 εὐκοσμιότητα G 17 εἰς om. MA 18 ὑποσχέσεσιν L (v), ὑποθέσεσι A ἐλπίσιν v 19 παρανεγνωσμένου ἄν G (coni. Mang.): παρεγνωσμένου MA, παρεγνωσμένου H, πανεγνωσμένου (sic) L; ἐπανεγνωσμένοι Turn., ἐπανεγνωσμένου Mang. τοῦ om. Turn. 20 ὑπαρχόντων GH (Turn.) πέμπεται ante διὰ transp. A 21 ἡγεμόνι Mang. (Dahl): ἡμῖν GA, ὑμῖν MH (v) διανάγνωσιν coni. Mang. 22 οἷς εἶπεν om. AH (Turn.) ὡμολόγησε MG (ὡμολόγησεν Mang.): ὡμολογήσαμεν AH (Turn.) ἑαυτῷ M (Mang.): αὐτῷ A (Turn.), αὐτῶ GH 23 ἀνθρώπων om. A οὐ] οὖν coni. Matthaei (sine interrogandi nota post λογισμοῦ)

μὴ κατ' ἀπόνοιαν αὐτοσχεδιάζοντος ἀκαίρῳ φορᾷ καὶ παραγωγῇ τινὶ λογισμοῦ; θεὸς δ' ὡς ἔοικεν, ᾧ μέλει τῶν ἀνθρωπείων πραγμάτων, τοὺς 102
θῶπας αὐτοῦ λόγους καὶ κεκομψευμένους ἐπὶ φενακισμῷ καὶ τὸ τῆς ἐκνόμου διανοίας βουλευτήριον, ἐν ᾧ κατεστρατήγει, προβαλλόμενος, λαβὼν
5 οἶκτον ἡμῶν, ἀφορμὴν οὐκ εἰς μακρὰν ἐμπαρέσχε τοῦ μὴ ψευσθῆναι τῆς ἐλπίδος. Ἀγρίππας γὰρ ἐπιδημήσας ὁ βασιλεὺς διηγησαμένοις ἡμῖν 103
τὴν ἐκ Φλάκκου γενομένην ἐπιβουλὴν ἐπανορθοῦται τὸ πρᾶγμα καὶ ὑποσχόμενος τὸ ψήφισμα διαπέμψεσθαι λαβὼν ὡς ἀκούομεν ἔπεμψεν, ἀπολογησάμενος καὶ περὶ τοῦ χρόνου, ὡς οὐκ ὀψὲ μαθόντων εὐσεβεῖν εἰς τὸν
10 εὐεργέτην οἶκον, ἀλλ' ἐξ ἀρχῆς μὲν σπουδασάντων, ἐπηρείᾳ δὲ τοῦ προεστῶτος τὴν καίριον ἐπίδειξιν ἀφαιρεθέντων. ἐπὶ δὴ τούτοις ἤρξατο 104
κονίεσθαι κατ' αὐτοῦ ἡ ὑπέρμαχος μὲν καὶ παραστάτις ἀδικουμένων τιμωρὸς δ' ἀνοσίων καὶ ἔργων καὶ ἀνθρώπων δίκη. πρῶτον μὲν γὰρ καινοτάτην ὑπέμεινεν ὕβριν καὶ συμφορὰν οὐδενὶ τῶν πάλαι γενομένην
15 ὑπάρχων, ἀφ' οὗ τὴν ἡγεμονίαν ὁ Σεβαστὸς οἶκος ἀνήψατο γῆς καὶ θαλάττης. ἔνιοι γὰρ καὶ ἐπὶ Τιβερίου καὶ ἐπὶ τοῦ πατρὸς αὐτοῦ Καίσαρος 105
τῶν διεπόντων τὰς ἐπικρατείας, τὴν ἐπιμέλειαν καὶ προστασίαν εἰς δυναστείαν καὶ τυραννίδα μεθαρμοσάμενοι, τὰς χώρας ἐνέπλησαν κακῶν ἀνηκέστων δωροδοκίαις, ἁρπαγαῖς, καταδίκαις, τῶν μηδὲν ἡμαρτηκότων
20 ἐλάσεσι καὶ φυγαῖς, τῶν δυνατῶν ἀκρίτοις ἀναιρέσεσιν· οὓς μετὰ τὸν ὁρισθέντα χρόνον τῆς ἀρχῆς ἐπανελθόντας εἰς Ῥώμην οἱ αὐτοκράτορες λόγον καὶ εὐθύνας τῶν πεπραγμένων ᾔτουν, καὶ μάλισθ' ὁπότε πρεσβεύσαιντο αἱ ἀδικηθεῖσαι πόλεις. τότε γὰρ κοινοὺς παρέχοντες ἑαυτοὺς 106
δικαστάς, ἐξ ἴσου καὶ τῶν κατηγόρων καὶ τῶν ἀπολογουμένων ἀκροώμενοι,
25 μηδενὸς ἀκρίτου προκαταγινώσκειν ἀξιοῦντες, ἐβράβευον οὔτε πρὸς ἔχθραν οὔτε πρὸς χάριν, ἀλλὰ πρὸς τὴν φύσιν τῆς ἀληθείας τὰ δόξαντα εἶναι δίκαια. Φλάκκῳ δ' οὐ μετὰ τὴν ἀρχὴν ἀλλ' ἐμπροθέσμως προϋπήντησεν 107
ἡ μισοπόνηρος δίκη ταῖς ἀμέτροις ὑπερβολαῖς ὧν ἠδίκει καὶ παρηνόμει δυσχεράνασα.

p. 533 M. 30 (13.) | Γίνεται δ' ὁ τρόπος αὐτῷ τῆς συλλήψεως τοιόσδε. ὑπέλαβεν 108

---

1 μὴ] μὴν A ἀπόνοιαν (vel ἄνοιαν coni.) Mang. (Dahl): ἐπίνοιαν codd. (v) σχεδιάζοντος A 2 μέλει Ven. 41 L: μέλλει MGAH ἀνθρωπείων codd. (ἀνεῖνων L): ἀνθρωπίνων v 3 κεκοψευσμένους (sic) G τὸ om. M 5 ἀφορμὴν om. A ἐμπαρέσχε GAH (coni. Mang.): ἐμπερέσχε M; ἐμπαρέχει v (ἐμπαρέσχει typothetae errore Turn.) μὴ redundare putat Mang. 8 διαπέμψεσθαι Turn. (v): διαπέμψασθαι codd. ἠκούομεν coni. Mang. (Dahl) 8. 9 ἀπολογησόμενος (tert. o corr. ex α) M 11 ἐπὶ δὴ MAH² (Mang.): ἐπειδὴ GH¹L (Turn.) 12 κονιεῖσθαι G 14 ὑπέμεινεν GAH (Turn., Mang. in adn.): ὑπέμενεν M; ὑπέμειναν Mang. in textu πάλαι codd. (Mang.): πέλας Turn. γενομένην MGH (Turn.): γεγενημένην A (Mang.) 15. 16 θαλάσσης G 17 τὴν — προστασίαν om. A 22 πεπραγμένων GAH: πραγμάτων M, L (sed corr.) ὁπότε GA: ὁπόταν MH (v) 25 ἀκρίτως A 26 δόξαντ' A 27 δ' MGAL: δὲ H 30 αὐτῷ ὁ τρόπος transp. M

ἤδη τὸν Γάιον περὶ ὧν ὕποπτος ἦν ἐξευμενίσθαι, τὰ μὲν ἐπιστολιμαίοις γράμμασιν, ἃ κολακείας ἦν ὑπέρμεστα, τὰ δὲ ἐν οἷς δημηγορῶν πολλάκις ἐθεράπευε λόγους θῶπας καὶ μακρὰς ῥήσεις πεπλασμένων ἐγκωμίων συνείρων, τὰ δὲ καὶ ἐκ τοῦ σφόδρα εὐδοκιμεῖν παρὰ τῷ πλείστῳ μέρει
109 τῆς πόλεως. ἔλαθε δ' αὐτὸν ἀπατῶν· ἀβέβαιοι γὰρ αἱ τῶν πονηρῶν ἀνθρώπων ἐλπίδες, εἰκαζόντων μὲν τὰ χρηστότερα, τὰ δὲ παλίμφημα καὶ ὧν ἄξιοι τυγχάνειν εἰσὶ πασχόντων. πέμπεται μὲν γὰρ ἀπὸ τῆς Ἰταλίας Βάσσος ἑκατονταρχης ὑπὸ Γαΐου χειροτονηθεὶς μετὰ τῆς τάξεως τῶν
110 στρατιωτῶν, ἧς ἀφηγεῖτο. σκάφους δ' ἐπιβὰς τῶν μάλιστα ταχυναυτούντων ὀλίγαις ἡμέραις πρὸς τοῖς λιμέσι γίνεται τῆς Ἀλεξανδρείας κατὰ τὴν Φάρον νῆσον περὶ δείλην ἑσπέραν καὶ κελεύει τῷ κυβερνήτῃ μέχρις ἡλίου καταδύσεως ἔξω θαλαττεύειν, τεχνάζων τὸ ἀνεπίφαντον ἕνεκα τοῦ μὴ προαισθόμενον Φλάκκον καὶ βουλευσάμενόν τι νεώτερον ἄπρακτον
111 αὐτῷ τὴν ὑπηρεσίαν ἐργάσασθαι. γενομένης δ' ἑσπέρας, ἡ μὲν ναῦς προσέσχεν, ὁ δὲ Βάσσος μετὰ τῶν ἰδίων ἀποβὰς προῆει, μήτε γνωρίζων τινὰ μήτε γνωριζόμενος ὑπό του, στρατιώτην δέ τινα τῶν ἐν τοῖς τετραδίοις φυλάκων καθ' ὁδὸν εὑρὼν κελεύει δεικνύναι τὴν οἰκίαν τοῦ στρατάρχου· τούτῳ γὰρ ἐβούλετο τὸ ἀπόρρητον ἀνενεγκεῖν, ἵνα, κἂν δέῃ
112 πολυχειρίας, ἔχῃ τὸν συναγωνιούμενον. πυθόμενος δ' αὐτὸν ἑστιᾶσθαι παρά τινι σὺν Φλάκκῳ, μηδὲν τάχους ἀνιεὶς συνέτεινεν ἄχρι τῆς τοῦ κεκληκότος οἰκίας — Στεφανίων ἦν τῶν τοῦ Τιβερίου Καίσαρος ἀπελευθέρων, παρ' ᾧ κατήγοντο — καὶ μικρὸν ἄποθεν ὑποστείλας ἐκπέμπει τινὰ τῶν ἰδίων κατασκεψόμενον εἰς ἀκόλουθον ἀσκήσας, σόφισμα τοῦ μηδένα συναισθέσθαι. παρελθὼν δὲ εἰς τὸ συμπόσιον ὡς ἑνός τινος τῶν παρατυγχανόντων οἰκέτης, ἅπαντα μετ' ἀκριβείας περιαθρήσας, ἐπανελθὼν
113 ἐμήνυσε τῷ Βάσσῳ. γνοὺς δὲ τὸ περὶ τὰς εἰσόδους ἀφύλακτον καὶ τὴν

---

1 ἐξευμενίσθαι M (Mang.): ἐξευμενίζεσθαι AH (Turn.), ἐξευμενίσασθαι G 2 καὶ ante ἐν add. G 4 καὶ om. A πλήστῳ G 5 δὲ M αὐτὸν MG 6 καὶ D Anton. Mel.: om. codd. (v) 7 τυγχάνειν om. M μὲν om. A 8 ἑκατόνταρχος (sic) βάσσος transp. A ἑκατόνταρχος GA 9 ὑφηγεῖτο A 10 δὲ ante τὴν add. A 11 καὶ om. A μέχρι M 12 τὸ] τὸν H ἀνεπίφαντον A: ἀνεπίφατον ceteri (v) 13 βουλευσάμενόν GH: προβουλευσάμενόν M, τεχνασάμενόν A 14 τὴν ὑπηρεσίαν αὐτῷ transp. A δὲ GL (v) 15 ἀποβὰς om. A προεῖη (sed corr.) G 17 τοῦ codd. (supplevit Matthaei): om. v 18 τούτῳ AH (Mang.): τοῦτο MGL (Turn.) ἐνεγκεῖν A 21 τοῦ MG: om. AH (v) 22 ἄποθεν AH: ἄπωθεν G, απιθεν (sic) M ἀποστείλας M, ἀποστὰς A 23 ἰδίων] οἰκείων M εἰς] ὡς A 24 δ' A τινος om. A 25 μετὰ MH (v) παρελθὼν G 26 ἐμήνυσε MA: ἐμήνυε G, διεμήνυε H (v)

5—7 Dʀ f. 237v τοῦ αὐτοῦ Anton. Mel. II 32 Col. 1084 Φίλωνος: ἀβέβαιοι αἱ τῶν (om. D) πονηρῶν ἀνθρώπων ἐλπίδες — παλίμφημα καὶ ὧν ἄξιοι (ἄξιον Anton.) τυγχάνειν (om. D.) εἰσὶ πασχόντων (πάσχοντες D).

περὶ τὸν Φλάκκον ὀλιγότητα — μόλις γὰρ δέκα ἢ πεντεκαίδεκα τῶν διακονικῶν ἀνδραπόδων ἐπηκολουθήκει — σύνθημα δοὺς τοῖς περὶ αὐτὸν εἰσέδραμεν ἐξαίφνης, καὶ τῶν στρατιωτῶν οἱ μὲν παρὰ τὸ συμπόσιον ἐπιστάντες ὑπεζωσμένοι τὰ ξίφη κυκλοῦσιν αὐτὸν οὐ προϊδόμενον· ἐτύγχανε γὰρ καὶ πρόποσίν τινι διδοὺς καὶ φιλοφρονούμενος τοὺς παρόντας. εἰς μέσον δὲ τοῦ Βάσσου παρελθόντος, ἰδὼν εὐθὺς ὑπ' ἐκπλήξεως ἀχανὴς 114 γίνεται καὶ βουλόμενος ἀναστῆναι, τὴν ἐν κύκλῳ φρουρὰν θεασάμενος, ἔγνω καὶ πρὶν ἀκοῦσαι, τί βούλεται Γάιος ἐπ' αὐτῷ καὶ τί προστέτακται τοῖς ἥκουσι καὶ τί παραυτίκα μελλήσει ὑπομένειν· δεινὸς γὰρ ὁ νοῦς τὰ κατὰ μέρος ἐν χρόνῳ μακρῷ γινόμενα πάνθ' ἅμα ἰδεῖν καὶ πάντων
p. 534 M. ἀθρόων ἀκοῦσαι. τῶν μὲν | οὖν συνδειπνούντων ἕκαστος ἀναστὰς ὑπὸ 115 δέους ἐπεφρίκει καὶ ἐπεπήγει, μή τις ὥρισται καὶ τοῦ συνεστιαθῆναι δίκη· φεύγειν γὰρ οὔτ' ἀσφαλὲς ἦν οὔτ' ἄλλως ἐνεδέχετο, προκατεχομένων τῶν εἰσόδων. ὁ δὲ ὑπὸ τῶν στρατιωτῶν τοῦ Βάσσου κελεύσαντος ἀπάγεται, τελευταίαν ταύτην ἀνάλυσιν ἐκ συμποσίου ποιησάμενος· ἔδει γὰρ ἀφ' ἑστίας ἄρξασθαι τὴν δίκην κατὰ τοῦ μυρίους ἀνεστίους οἴκους οὐδὲν ἠδικηκότων ἀνθρώπων ἐργασαμένου.

(14.) Τοῦτο καινότατον ὑπέμεινε Φλάκκος ἐν χώρᾳ, ἧς ἀφηγεῖτο, 116 πολεμίου τρόπον ζωγρηθεὶς ἕνεκά μοι δοκῶ τῶν Ἰουδαίων, οὓς ἄρδην ἀφανίσαι διεγνώκει λιμοδοξῶν. ἐναργὴς δὲ πίστις καὶ ὁ χρόνος τῆς συλλήψεως· ἑορτὴ μὲν γὰρ ἦν πάνδημος τοῖς Ἰουδαίοις κατὰ τὴν μετοπωρινὴν ἰσημερίαν, ἐν ᾗ διάγειν Ἰουδαίοις ἔθος ἐν σκηναῖς. οὐδὲν δὲ 117 τῶν ἐν ἑορτῇ συνόλως ἀπετελεῖτο, τῶν μὲν ἀρχόντων ἔτι καθειργμένων μετὰ τὰς ἀνηκέστους καὶ ἀφορήτους αἰκίας καὶ ὕβρεις, τῶν δὲ ἰδιωτῶν τάς τε ἐκείνων συμφορὰς ἅπαντος τοῦ ἔθνους κοινὰς νομιζόντων καὶ ἐπὶ ταῖς ἐξαιρέτοις, ἃς ἰδίᾳ ἕκαστος ὑπέμεινεν, οὐ μετρίως κατηφούντων. τὰ γὰρ ἀνιαρὰ διπλασιάζεσθαι φιλεῖ μάλιστα ἐν ἑορταῖς τοῖς μὴ δυνα- 118 μένοις ἑορτάζειν, στερήσει τε ἱλαρᾶς εὐθυμίας, ἣν πανήγυρις ἐπιζητεῖ,

---

1 μόλις MGH: μόγις L (v), μάλιστα A 2 αὐτὸν MGA, ἑαυτὸν H (v) 3 εἰσέδραμεν Turn. (v): ἐξέδραμεν codd. τὸ συμπόσιον] τοῖς ποσὶν G 4 ὑποζωσάμενοι A προϊδόμενον G: προειδόμενον ceteri (v) 7 γίνεται] ἐγένετο A ἀναστῆναι] ἀντιστῆναι coni. Mang. 8 pr. ≡ τί H 9 μελλήσει G: μελήσει ceteri 10 γινόμενα MG (coni. Mang.): γενόμενα AH (v) 11 ἀθρόων scripsi: ἀθρόον codd. (v) 14 δ' G 14. 15 ὑπάγεται A 15 ποιησόμενος coni. Mang. 16 τοῦ om. A 17 ἀνθρώπων om. M 18 τοῦτον M 19 τῶν om. L (v) 20 διέγνω M 22 Ἰουδαίους GA 22 ἔθος Ἰουδαίους transp. A 23 τῇ ante ἑορτῇ add. A ἐτελεῖτο H (Turn.) γὰρ ante ἀρχόντων add. MA, delevit H, om. G 25 τ' A 26 τοῖς A ἐξαιρέταις G ἰδίως A ὑπέμενεν H μετρίως] μικρῶς A κατηφούντων Cohn: κατηφιούντων G, κατηφιόντων (ο corr. in ω) H, κατηφιώντων MA (v) 27 μάλιστα] μᾶλλον A 27. 28 τοῖς — ἑορτάζειν om. A

καὶ μετουσίᾳ λύπης, ὑφ' ἧς ἐξετραχηλίζοντο, μηδὲν ἄκος τῶν τοσούτων
119 κακοπραγιῶν ἀνευρεῖν δυνάμενοι. σφόδρα δ' ἔχουσιν ὀδυνηρῶς καὶ πε-
πιεσμένοις ἄχθει βαρυτάτῳ — συνείληντο δ' ἐν ταῖς οἰκίαις, ἅτε νυκτὸς
ἐπεχούσης — ἦκόν τινες ἀπαγγέλλοντες τὴν γενομένην σύλληψιν. οἱ
δ' ἀπόπειραν εἶναι νομίσαντες, οὐκ ἀλήθειαν, ἔτι μᾶλλον ἐπὶ τῷ κατα-
120 κερτομεῖσθαι καὶ ἐνεδρεύεσθαι δοκεῖν ὠδυνῶντο. θορύβου δ' ὄντος κατὰ
τὴν πόλιν καὶ τῶν νυκτοφυλάκων ἄνω κάτω διαθεόντων καί τινων ἱππέων
εἰς τὸ στρατόπεδον καὶ ἀπὸ τοῦ στρατοπέδου τάχει συντόνῳ μετὰ σπουδῆς
ἀντεξελαυνόντων, τῷ τοῦ πράγματος ἀήθει κινηθέντες τινὲς προῆλθον
ἐκ τῶν οἰκιῶν κατὰ πύστιν τοῦ συμβεβηκότος· ἐφαίνετο γὰρ εἶναί τι
121 νεώτερον. ὡς δ' ἤσθοντο τὴν ἀπαγωγὴν καὶ τὸν Φλάκκον ἐντὸς ἀρκύων
ἤδη γεγενημένον, προτείνοντες τὰς χεῖρας εἰς οὐρανὸν ὕμνουν καὶ παιᾶνας
ἐξῆρχον εἰς τὸν ἔφορον θεὸν τῶν ἀνθρωπίνων πραγμάτων, „οὐκ ἐφη-
δόμεθα", λέγοντες „ὦ δέσποτα, τιμωρίαις ἐχθροῦ, δεδιδαγμένοι πρὸς τῶν
ἱερῶν νόμων ἀνθρωποπαθεῖν· ἀλλὰ σοὶ δικαίως εὐχαριστοῦμεν οἰκτον
καὶ ἔλεον ἡμῶν λαβόντι καὶ τὰς συνεχεῖς καὶ ἐπαλλήλους | κακώσεις ἐπι- p. 535 M.
122 κουφίσαντι." πάννυχοι δὲ διατελέσαντες ἐν ὕμνοις καὶ ᾠδαῖς καὶ ἅμα
τῇ ἕῳ διὰ πυλῶν ἐκχυθέντες ἐπὶ τοὺς πλησίον αἰγιαλοὺς ἀφικνοῦνται
— τὰς γὰρ προσευχὰς ἀφῆρηντο — κἀν τῷ καθαρωτάτῳ στάντες ἀνε-
123 βόησαν ὁμοθυμαδόν· „γῆν καὶ θάλατταν, ἀέρα τε καὶ οὐρανόν, τὰ μέρη
τοῦ παντὸς καὶ σύμπαντα τὸν κόσμον, ὦ μέγιστε βασιλεῦ θνητῶν καὶ
ἀθανάτων, παρακαλέσοντες εἰς εὐχαριστίαν τὴν σὴν ἥκομεν, οἷς μόνοις
ἐνδιαιτώμεθα, τῶν ἄλλων ὅσα δημιουργεῖται πρὸς ἀνθρώπων ἐληλαμένοι
καὶ στερόμενοι πόλεως καὶ τῶν ἐν πόλει δημοσίων καὶ ἰδιωτικῶν περι-
βόλων, ἀπόλιδες καὶ ἀνέστιοι μόνοι τῶν ὑφ' ἥλιον ἐξ ἐπιβουλῆς ἄρχοντος
124 γενόμενοι. χρηστὰς ὑπογράφεις ἡμῖν ἐλπίδας καὶ περὶ τῆς τῶν λειπο-
μένων ἐπανορθώσεως, ἤδη ταῖς ἡμετέραις λιταῖς ἀρξάμενος συνεπινεύειν,
εἴ γε τὸν κοινὸν ἐχθρὸν τοῦ ἔθνους καὶ τῶν ἐπ' αὐτῷ συμφορῶν ὑφη-
γητὴν καὶ διδάσκαλον μέγα πνέοντα καὶ οἰηθέντα διὰ ταῦτα εὐδοκιμήσειν
ἐξαίφνης καθεῖλες, οὐ πορρωτάτω γενόμενον, ἵν' αἰσθόμενοι δι' ἀκοῆς οἱ

---

1 καὶ codd. (Turn.): τὰ Mang. (sed coni. καὶ vel εἶτα) 2 δὲ GH (v) ὀδυνηρῶς] ἀνιαρῶς A (probat Mang.) 2. 3 πεπιεσμένας M 3 συνείλοντο (sed pr. ο corr. in η) H, συνείχοντο A (probat Mang.) 4 ἀπαγγέλοντες M 5 τῷ] τὸ GL (Turn.) 7 διαθεόντων om. A 8 συντόνῳ μετὰ σπουδῆς] πολλῷ M 9 συνεξελαυνόντων M 10 ἐκ om. M. πύστιν MAH (Mang.): πίστιν GL (Turn.) 12 ἤδη om. A προτείναντες M 13 ἐξῆρχον codd. (Mang.): ἐξῆρον Turn. ἀνῖνω (sic) M, ἀνείων G 15. 16 ἔλεον καὶ οἰκτον transp. A 17 καὶ ἅμα M (Mang.): ἅμα ceteri (Turn.) 19 ἀφήρηνται A 20 θάλασσαν L (v) καὶ ante τὰ add. A (Mang.) 22 περικαλέσοντες H¹, περὶ corr. in παρὰ, tum ε et ι ss. H², παρακελεύσαντες A μόνος M 25 ἐπιβολῆς M 26 γενάμενοι (sic) G ἐλπίδας om. M 26. 27 λιπομένων G; λοιπῶν coni. Mang. 27 λιταῖς] εὐχαῖς A 29 καὶ διδάσκαλον om. M

κακῶς πεπονθότες ἀμβλύτερον ἡσθῶσιν, ἀλλ' ἐγγὺς οὑτωσί, μόνον οὐκ ἐν ὄψει τῶν ἠδικημένων, πρὸς τρανοτέραν φαντασίαν τῆς ἐν βραχεῖ καὶ παρ' ἐλπίδας ἐπεξόδου."

(15.) Τρίτον δ' ἔτι πρὸς τοῖς εἰρημένοις κἀκεῖνό μοι δοκεῖ θείᾳ 125
προνοίᾳ συμβῆναι. ἐπειδὴ γὰρ ἀναχθεὶς ἀρχομένου χειμῶνος — ἔδει γὰρ αὐτὸν καὶ τῶν ἐν θαλάττῃ φοβερῶν ἀπολαῦσαι τὰ στοιχεῖα τοῦ παντὸς ἀσεβημάτων ἀναπλήσαντα — μυρία πονηθεὶς μόλις ἦλθεν εἰς Ἰταλίαν, εὐθὺς ἐκδέχονται τὰς ἐπ' αὐτῷ κατηγορίας δύο τῶν ἐχθίστων, Ἰσίδωρός τε καὶ Λάμπων, οἳ πρὸ μικροῦ μὲν τάξιν εἶχον ὑπηκόων δε- 126
σπότην καὶ εὐεργέτην καὶ σωτῆρα καὶ τὰ τοιαῦτα ἀνακαλοῦντες, νυνὶ δ' ἀντιδίκων οὐκ ἰσόρροπον ἀλλὰ δυνατωτέραν ἰσχὺν ἐκ πολλοῦ τοῦ περιόντος ἐπιδεικνυμένων, οὐ μόνον ἕνεκα τοῦ θαρρεῖν τοῖς δικαίοις, ἀλλ', ὃ δὴ μέγιστον ἦν, ὅτι τὸν πρύτανιν τῶν ἀνθρωπίνων πραγμάτων ἐχθρὸν ἑώρων ἄσπονδον αὐτῷ, μέλλοντα σχῆμα μὲν ὑποδύεσθαι δικαστοῦ, προνοίᾳ τοῦ
μὴ δοκεῖν ἀκρίτου τινὸς προκαταγινώσκειν, ἔργον δ' ἐπιδείκνυσθαι δυσ- μενοῦς, πρὸ κατηγορίας καὶ ἀπολογίας ἤδη τῇ ψυχῇ κατεγνωκότος καὶ τὰς ἀνωτάτω τιμωρίας ὡρικότος ἐπ' αὐτῷ. χαλεπὸν δ' οὐδὲν οὕτως, 127
ὡς ὑπ' ἐλαττόνων κρείττους καὶ πρὸς ὑπηκόων ἄρχοντάς ποτε γενομένους κατηγορεῖσθαι, ὥσπερ ἂν εἰ καὶ δεσπότας ὑπ' οἰκοτρίβων ἢ ἀργυρωνήτων.

(16.) Ἀλλ' ἦν, ὡς ἔοικε, τοῦτο κουφότερον κακὸν συγκρινόμενον 128
ἑτέρῳ μείζονι. οὐ γὰρ ἁπλῆν τινα τάξιν ἔχοντες ὑπηκόων αἰφνίδιον
p. 536 M. ἐπέθεντο ταῖς κατηγορίαις | ἐπαποδυσάμενοι καὶ συμφρονήσαντες, ἀλλὰ καὶ τὸν πλεῖστον χρόνον τῆς ἐπιτροπῆς ἣν ἐπετρόπευσε τῆς χώρας ἐκ πάντων οὗτοι μάλιστ' αὐτῷ δι' ἀπεχθείας ἐγεγένηντο· Λάμπων μὲν
ἀσεβείας τῆς εἰς Τιβέριον Καίσαρα δίκην σχὼν καὶ ἐπὶ διετίαν τριβομένου τοῦ πράγματος ἀπειρηκώς. ὑπερθέσεις γὰρ καὶ ἀναβολὰς ὁ δικαστὴς 129
ἐθελοκακῶν ἐσκήπτετο βουλόμενος, κἂν ἀποφύγῃ τὸ ἔγκλημα, τὸν γοῦν περὶ μέλλοντος ἀδήλου φόβον πρὸς μήκιστον χρόνον ἐπικρεμάσας αὐτῷ ζωὴν ὀδυνηροτέραν θανάτου παρασχεῖν. εἶθ' ὕστερον καὶ ὅτε νικᾶν 130
ἔδοξεν, εἰς τὴν οὐσίαν ἐπηρεασθῆναι ἔφασκεν — ἠναγκάσθη γὰρ γυμνα-

---

1 ἀμβλυτέρως A 2 τρανωτέραν GL (v), ἀνωτέραν A 4 δ' om. G ἔτι MGA: ἐστὶ H (v), ἐστί ⟨τι⟩ coni. Mang. 5 ἐπειδὴ MGA (mavult Mang.): ἐπεὶ H (v) ἀναχθεὶς] ἀναδειχθεὶς G ἀρχομένου (αρ ex ερ corr. vid.) M 8 αὐτῷ (ω corr. ex ο) M 9 ἡσίδωρός H ὑπηκόων εἶχον transp. G 10 τοιαῦτ' A ἀνακαλοῦντες MGA: καλοῦντες H (v) 13 ἀνθρωπείων G 14 ὑπενδύεσθαι A ὑποδύεσθαι δικαστοῦ G: δικαστοῦ ὑπο(εν)δύεσθαι ceteri (v) προνοίᾳ om. A 15 ἀκρίτως A δὲ ML (v) 18 γενομένους ποτὲ transp. M γενωμένους L; γεννωμένους Turn. 19 δεσπότης A 20 ἔοικεν L (v) 21 αἰφνιδίων M 22 σωφρονήσαντες A 23 ἐπετρόπευε A ἐκ om. A 24 μάλιστα L (v) ἐγένοντο L (Turn.) 27 ἐσκέπτετο A 28 ἀδήλου Mang. (Dahl): ἄδηλον GH (v), ἄδολον M, ἄδικον A 30 ἐπηρεάσθη A (sic scribendum censet Mang. omisso φάσκων) ἔφασκεν Cohn: φάσκων codd. (v)

σιαρχεῖν —, ἤτοι τῷ γλίσχρος καὶ ἀνελεύθερος εἶναι περὶ τὰς δαπάνας, προφασιζόμενος τὸ μὴ κεκτῆσθαι πρὸς τοσαύτην ἀφθονίαν ἀναλωμάτων ἱκανὴν οὐσίαν, ἢ τῷ ὄντι μὴ κεκτημένος, ἀλλὰ πρὶν μὲν εἰς ἀπόπειραν ἐλθεῖν ἐπιφάσκων τὸν πάνυ πλούσιον, ἐν δὲ τῇ δοκιμασίᾳ μὴ φανεὶς ἄγαν πολυχρήματος ἄνθρωπος, ὅσα ἐκτήσατο σχεδὸν ἅπαντα ἐξ ἀδικη-
131 μάτων περιποιησάμενος· προσεστὼς γὰρ τοῖς ἡγεμόσιν, ὁπότε δικάζοιεν, ὑπεμνηματίζετο τὰς δίκας εἰσάγων ὡς ἔχων τάξιν, εἶτα τὰ μὲν ἀπήλειφεν ἢ παρῄει ἑκών, τὰ δ' οὐ λεχθέντα προσενέταττεν, ἔστι δ' ὅτε καὶ ὑπηλλάττετο μεταποιῶν καὶ μετατιθεὶς καὶ στρέφων ἄνω κάτω τὰ γράμματα, κατὰ συλλαβήν, μᾶλλον δὲ καὶ κεραίαν ἑκάστην ἀργυρολογῶν ὁ γραμμα-
132 τοκύφων· ὃν πολλάκις ὁ δῆμος ἅπας ὁμοθυμαδὸν εὐθυβόλως καὶ εὐσκόπως καλαμοσφάκτην ἐξεκήρυξεν, οἷς ἔγραφε μυρίους [καὶ] ἀνελόντα καὶ ζῶντας ἀθλιωτέρους τῶν ἀποθανόντων ἀπεργασάμενον, οἳ δυνάμενοι νικᾶν καὶ περιουσιάζειν ἤτταν καὶ πενίαν ἀδικωτάτην ὑπέμειναν, ὠνησαμένων ἀμφότερα τῶν ἐχθρῶν παρὰ τοῦ τὰς ἀλλοτρίας οὐσίας ἐπευωνί-
133 ζοντος καὶ πιπράσκοντος. ἀμήχανον μὲν γὰρ ἦν τοὺς ἡγεμόνας τοσαύτης χώρας ἐπιτροπεύοντας, ἀεὶ καινοτέρων ἐπεισρεόντων ἰδιωτικῶν τε καὶ δημοσίων πραγμάτων, ἁπάντων μεμνῆσθαι, καὶ ταῦτα οὐ δικάζοντας μόνον, ἀλλὰ καὶ λογισμοὺς τῶν προσόδων καὶ δασμῶν λαμβάνοντας, ὧν ἡ ἐξέ-
134 τασις τὸν πλείονα τοῦ ἐνιαυτοῦ χρόνον ἀνήλισκεν. ὁ δὲ φυλάττειν ἐπιτραπεὶς τὴν ἀναγκαιοτάτην παρακαταθήκην, τὰ δίκαια καὶ τὰς ἐπ' αὐτοῖς ὁσιωτάτας γνώμας, ἐνεπορεύετο τὴν λήθην τῶν δικαστῶν, τοὺς μὲν νικᾶν ὀφείλοντας γράφων ἐν ἡττημένοις, τοὺς δ' ἡττᾶσθαι μετὰ τὸν ἐπάρατον μισθὸν ἢ κυριώτερον εἰπεῖν τὸ μίσθωμα ἐν νενικηκόσιν.

ω
1 τὸ M γλίσχρως G εἶναι ante γλίσχρος transp. M 4 ἐπιφαύσκων coni. Mang., ἐπιφαίνων Matthaei τὸ πάνυ πλούσιον vel τὸ π. πλουτεῖν coni. Matthaei πλούσιον MAH¹ (Mang.): πλοῦτον GH²L (Turn.) 6 παρεστὼς A (mavult Mang.) δικάζοιεν Cohn (cf. lin. 18): δικάζοιντο codd. (v) 7 ἔχοιεν coni. Mang. (Dahl) τοιάνδε post τάξιν add. A ἀπήλειφεν M, η corr. ex ει H: ἀπείληφεν GAD 8 καὶ ante λεχθέντα add. A alt. δ'] δὲ D καὶ ὅτε transp. D 9 στρέφω M γράμματα D: πράγματα codd. (v) 10 συλλαβήν AH: συλλήβδην MG 12 ἐκήρυξεν H (Turn.) καὶ om. D 13 τῶν codd. D: καὶ v; κἂν coni. Mang. 14 καὶ πενίαν om. D ὑπέμενον A 15 παρὰ τοῦ D: παρ' αὐτοῦ codd. (v) 16 τοσαύτας (alt. α corr. vid.) M 17 ἀεὶ καινοτέρων Dahl: διὰ καινοτέρων codd. (v); διὸ (sic) καὶ καινοτέρων vel πυκνοτέρων coni. Matthaei 17—19 ἀεὶ — λαμβάνοντας] μηδὲν λαθεῖν A 19 ἦ] ἦν A 20 ὅτι ante τὸν add. A ἀνήλισκεν] ἀνήλισκον εἰς δημοσίας χρείας A ὁ φυλάττειν δ' transp. A 21 ἀναγκαίαν A; ἁγιωτάτην coni. Mang. 22 γενομένας ante ὁσιωτάτας add. A (Mang.), om. ceteri (Turn.) 23 ἡττωμένοις GA 24 ἐν corr. ex εὖ H ἐν νενικηκόσιν] ἐκνενικηκόσιν M

6—16 DK fol. 239r Φίλωνος ἐκ τῶν κατὰ Φλάκκον: προεστὼς ὁ Λάμπων τοῖς ἡγεμόσιν — ἐπευωνίζοντος· ἐμπορία γὰρ αὐτῷ πλήθη (sic) τῶν δικαστῶν ὑπῆρχεν (cf. lin. 22).
10. 11 γραμματοκύφων, cf. adnot. ad p. 124,5.

p. 537 M. (17.) | Ὁ μὲν δὴ Λάμπων τοιοῦτος ὢν ἐφειστήκει κατήγορος, 135
ὁ δ' Ἰσίδωρος οὐκ ἀποδέων τὴν μοχθηρίαν, ἄνθρωπος ὀχλικός, δημοκόπος, ταράττειν καὶ συγχέειν πράγματα μεμελετηκώς, ἐχθρὸς εἰρήνῃ καὶ εὐσταθείᾳ, στάσεις καὶ θορύβους κατασκευάσαι μὲν οὐκ ὄντας, γενο-
5 μένους δὲ συγκροτῆσαι καὶ συναυξῆσαι δεινός, ὄχλον ἀσύντακτον καὶ πεφορημένον ἐκ μιγάδων καὶ συγκλύδων ἡρμοσμένον περὶ αὑτὸν ἔχειν ἐσπουδακώς, ὃς εἰς μοίρας καθάπερ τινὰς συμμορίας διανενέμηται. θίασοι κατὰ τὴν πόλιν εἰσὶ πολυάνθρωποι, ὧν κατάρχει τῆς κοινωνίας· 136
οὐδὲν ὑγιές, ἀλλ' ἄκρατος καὶ μέθη καὶ παροινίαι καὶ ἡ τούτων ἔκγονος
10 ὕβρις· σύνοδοι καὶ κλῖναι προσονομάζονται ὑπὸ τῶν ἐγχωρίων. ἐν ἅπασι 137
τοῖς θιάσοις ἢ τοῖς πλείστοις ὁ Ἰσίδωρος τὰ πρωτεῖα φέρεται καὶ λέγεται ὁ συμποσίαρχος, ὁ κλινάρχης, ὁ ταραξίπολις. εἶτα ὅταν τι βουληθῇ διαπράξασθαι τῶν ἀλυσιτελῶν, ἀφ' ἑνὸς συνθήματος ἀθρόως συνέρχονται καὶ τὸ κελευσθὲν λέγουσι καὶ ὁρῶσι. καί ποτε τῷ Φλάκκῳ δυσχεράνας, ὅτι 138
15 δόξας παρ' αὐτῷ τις εἶναι κατ' ἀρχὰς οὐκέθ' ὁμοίως αὖθις ἐσπουδάζετο, μισθοδοτήσας τοὺς ἀλειφοβίους καὶ φωνασκεῖν εἰωθότας, οἳ τὰς καταβοήσεις ὥσπερ ἐπ' ἀγορᾶς πιπράσκουσι τοῖς ἔχουσιν ὠνητικῶς, παρακελεύει συνελθεῖν εἰς τὸ γυμνάσιον. οἱ δὲ πληρώσαντες αὐτὸ τοῦ Φλάκκου ἀπ' 139
οὐδεμιᾶς προφάσεως κατηγόρουν, ἀγένητα πλάττοντες ἐγκλήματα καὶ
20 ψευδεῖς ῥήσεις δι' ἀναπαίστων καὶ μακρὰς συνείροντες, ὡς καταπεπλῆχθαι μὴ μόνον Φλάκκον ἀλλὰ καὶ τοὺς ἄλλους ἐπὶ τῷ παραλόγῳ καί, ὅπερ ἦν, συμβαλεῖν, ὅτι πάντως ἐστί τις ᾧ χαρίζονται, μήτ' αὐτοί τι πεπονθότες ἀνήκεστον μήτε τὴν ἄλλην πόλιν εὖ εἰδότες πλημμεληθεῖσαν. ἔπειτα 140

---

1 δὴ] οὖν A ὢν om. A κατήγορος] κτήσεως N 2 ἰσίδωρος H ὀχληρός D 3 συγχέειν] κυκᾶν GD εἰρήνης N 4 εὐσταθείας N καὶ θορύβους] κοθορύβους M 5 συναυξῆσαι καὶ συγκροτῆσαι transp. A 6 πεφορημένων M, πεφυρμένον D; πεφυρημένον coni. Matthaei σὺν κλύδωνι ἠθροισμένον D ἡρμωσμένον G αὐτὸν A: αὐτὸν MHD, ἑαυτὸν GN 7 διανενέμητο A 9 ἀλλὰ G μέθαι G παροινία N ἔκγονος] ἔκμονος (sic) N 10 καὶ ante ἐν add. N 11 ἰσίδωρος H φέρεται καὶ λέγεται MGHN (Turn.): λέγεται φέρεσθαι A; φέρεσθαι λέγεται Mang. 12 συμποσίαρχος Turn. (v): ποσίαρχος codd. κλίναρχος A 13 ἀθρόον A, ἀθρόοι N συνέρχονται (ον corr. ex ε) H 14 λέγουσιν L ὅτι Turn. (v): ἔτι codd. 16 γὰρ ante τοὺς add. A ἀλειφοβίους HN, ἀλειφοβία M: ἀλιφοβίους G, ἀλειφομένους A; ἀλητηβίους vel ἀλητοβίους coni. Matthaei φωνασκεῖν A (Mang.): φωνομαζεῖν MH (Turn.), φονομαζεῖν N, φωνομαζᾶν G 17 πιπράσκουσιν M 18 συνελθεῖν] ἐλθεῖν N γνυμνάσιον (sic) M αὐτὸ AL: αὐτὸν MGN, ὸν corr. in ὸ H τοῦ φλάκκου N (v): τὸν φλάκκον ceteri ἐπ' N 19 ἀγένητα GA: ἀγέννητα MH (v) 20 μακρὰς GAL (Mang.): μακρὰ MHN (Turn.) 22 μήτ' (corr. ex μὴ δ') H: μὴ δ' MGN, μὴ δὲ A πεπονθότος A

1—23 N fol. 152r περὶ τοῦ Φλάκκου: ὁ μὲν δὴ Λάμπων — πλημμεληθεῖσαν. 2—7 DK fol. 259v Φίλωνος ἐκ τῶν κατὰ Φλάκκον: ἄνθρωπος — ἐσπουδακώς. 9. 10 ἡ — ὕβρις: cf. adn. ad p. 136,23. 16 ἀλειφοβίους: cf. Hesych. Phot. lex. Bekker 382,17.

βουλευομένοις ἔδοξε συλλαβεῖν τινας καὶ τὴν αἰτίαν τῆς ἀκρίτου καὶ αἰφνιδίου μανίας καὶ λύττης πυνθάνεσθαι. οἱ δὲ συλληφθέντες ἄνευ βασάνων ὁμολογοῦσι τἀληθές, ἅμα καὶ τὰς διὰ τῶν ἔργων πίστεις ἐφαρμόζοντες, τὸν διομολογηθέντα μισθόν, τὸν ἤδη δεδομένον, τὸν καθ' ὑποσχέσεις ὕστερον δοθησόμενον, τοὺς ἐπὶ τὴν διανομὴν αἱρεθέντας ὡς ἂν ἡγεμόνας
141 τῆς στάσεως, τὸν τόπον, τὸν καιρόν, ἐν ᾧ γέγονεν ἡ δωροδοκία. πάντων δ', ὡς εἰκός, ἀγανακτούντων καὶ τῆς πόλεως χαλεπῶς φερούσης ἐπὶ τῷ τὴν ἐνίων ἀγνωμοσύνην προσαναμάττεσθαι τοὔνομ' αὐτῆς, ἔδοξε τὸ καθαρώτατον τοῦ δήμου μεταπεμψαμένῳ τῇ ὑστεραίᾳ παραγαγεῖν τοὺς τὸν μισθὸν ἐπινείμαντας, ἵνα καὶ τὸν Ἰσίδωρον ἀπελέγξῃ καὶ ἀπολογήσηται περὶ τῆς αὐτοῦ πολιτείας ὡς ἀδίκως διαβληθείς. αἰσθόμενοι δὲ τῆς παραγγελίας | οὐχ οἱ ἐν τέλει μόνον ἦκον, ἀλλὰ καὶ ἡ σύμπασα πόλις, p. 538 M.
142 ἔξω τοῦ μέλλοντος ἀπελέγχεσθαι μέρους ἐπὶ τῷ μεμισθοδοτῆσθαι. καὶ οἱ μὲν ὑπηρετήσαντες τὴν καλὴν ταύτην ὑπηρεσίαν ἀναβιβασθέντες, ἵνα μετέωροι καὶ ἐμφανεῖς εἶεν καὶ γνωρίζοιντο πρὸς ἁπάντων, ἤλεγχον τὸν Ἰσίδωρον ὡς αἴτιον τῶν θορύβων καὶ τῶν βλασφημιῶν τῶν εἰς Φλάκκον γενομένων, οὐκ ὀλίγῳ πλήθει παρασχόντα καὶ ἀργύριον καὶ οἶνον δι' αὐ-
143 τόν. „ἐπεὶ πόθεν" ἔφασκον „ἡμῖν ἀφθονία τοσαύτη; πένητές ἐσμεν καὶ μόλις τοὐφήμερον εἰς αὐτὰ τὰ ἀναγκαῖα πορίζειν δυνάμεθα. τί δὲ καὶ δεινὸν ἐπεπόνθειμεν ὑπὸ τοῦ ἡγεμόνος, ὡς βιασθῆναι μνησικακεῖν; ἀλλ' ὁ πάντων αἴτιος καὶ δημιουργὸς ἐκεῖνος, ἀεὶ τοῖς εὖ πράττουσι βασκαίνων
144 καὶ εὐνόμῳ καταστάσει πολέμιος." ἃ γνωρίζοντες οἱ παρατυγχάνοντες — τύποι γάρ τινες ἦσαν ἀρίδηλοι καὶ χαρακτῆρες τὰ λεγόμενα τῆς τοῦ κατηγορουμένου προαιρέσεως — ἀνεβόων, οἱ μὲν ἀτιμοῦν, οἱ δὲ φυγαδεύειν, οἱ δ' αἴρειν· πλείους δ' ἦσαν οὗτοι· πρὸς οὓς καὶ οἱ ἄλλοι μετεβάλλοντο, ὡς ἅπαντας ὁμοθυμαδὸν μιᾷ φωνῇ κεκραγέναι, κτείνειν τὸν κοινὸν λυμεῶνα, τὸν ἀφ' οὗ παρῆλθε καὶ διέκυψεν ἐπὶ τὰ κοινά,

1 βουλομένοις M 3 τὸ ἀληθές M 5 ὡς ἄν om. A 6 τοῦ τόπου L (Turn.) 7 φερούσης] ἐχούσης M 7. 8 ἐπὶ τῷ τὴν MA: ἐπὶ τῶν τὴν G, ἐπὶ τὴν τῶν H, ἔτι τὴν τῶν Vat. 382 (v); ἔτι τῆς τῶν coni. Mang. 8 ἀγνωμοσύνην (sic) M; ἀγνωμοσύνης coni. Mang. τοὔνομα L (v) αὐτῇ coni. Mang. 8. 9 καθαρώτατον (sic) M, καθαρὸν A 9 μεταπεμψαμένῳ Matthaei: μεταπεμψάμενον codd. (v) 10 ἰσίδωρον H ἀπελέγξῃ] ἀπαλλάξῃ A 11 αὐτοῦ H^2L: αὑτοῦ MGH^1, ἑαυτοῦ A 12 οἱ A ἐν τέλει om. A, ss. H ἡ σύμπασα G: ἡ σύμπασα ἡ (sic) M, σύμπασα ἡ AH (v) 13 ἐλέγχεσθαι A μεμισθαδοτῆσθαι M, μεμισθοδοτεῖσθαι G 15 καὶ ἐμφανεῖς A (Mang.): κἂν ἀφανεῖς ceteri (Turn.) ἁπάντων corr. ex ἀπαντώντων H^2 17 γενομένων G: γενόμενον MH (Turn.), γεγενημένων A (Dahl); γεγενημένον Mang. οἶνον καὶ ἀργύριον transp. M 17. 18 δι' αὐτὸν redundare putat Dahl αὐτὸν MAH (v): αὐτῶν G (coni. Mang.) 19 τοῦ φήμερον M, τὸ ὑφήμερον G τἀναγκαῖα H (v) 20 μνησικακεῖν βιασθῆναι transp. M μνησίκακον Turn. 21 πράττουσιν L 23 τοῦ om. M 24 κατηγορουμένου MG: κατηγορημένου AH (v) 25 δὲ — δὲ L καὶ om. L (Turn.)

μηδὲν μέρος τῆς πόλεως ἄνοσον ἐάσαντα. καὶ ὁ μὲν ἕνεκα τοῦ συνειδότος 145
ἀπεδίδρασκε σύλληψιν εὐλαβηθείς· ὁ δὲ Φλάκκος οὐδὲν ἐπ' αὐτῷ περιειργάζετο, νομίσας ἐκποδὼν ἐκουσίῳ γνώμῃ γεγονότος ἀστασίαστα καὶ ἀνερίθευτα τὰ κατὰ τὴν πόλιν ἔσεσθαι.

(18.) Ταῦτ' ἐμήκυνα, οὐχ ὑπὲρ τοῦ παλαιῶν ἀπομνημονεύειν 146
ἀδικημάτων, ἀλλὰ τεθαυμακὼς τὴν ἔφορον τῶν ἀνθρωπείων δίκην, ὅτι οἱ ἐξ ἀρχῆς γενόμενοι δυσμενεῖς αὐτῷ καὶ οἷς ἐκ πάντων ἀπηχθάνετο καὶ ἐκληρώσαντο τὴν ἐπ' αὐτῷ κατηγορίαν εἰς ἀνίας ὑπερβολήν· οὐ γὰρ οὕτως ἐστὶ δεινὸν τὸ ἐγκαλεῖσθαι ὡς τὸ πρὸς ὁμολογουμένων ἐχθρῶν. ὁ δ' οὐ κατηγορήθη μόνον, ἄρχων πρὸς ὑπηκόων καὶ ὑπὸ δυσμενῶν ἀεὶ 147
γενομένων ὁ πρὸ μικροῦ κύριος ὢν τῆς ἑκατέρου ζωῆς, ἀλλὰ καὶ ἀνὰ κράτος ἡλίσκετο, διπλοῦν ἐκδεχόμενος κακόν, τὸ μεθ' ἥττης γελᾶσθαι πρὸς ἐχθρῶν ἐφηδομένων, ὃ καὶ θανάτου χεῖρόν ἐστι τοῖς εὖ φρονοῦσιν. εἶτά τις εὐφορία γίνεται κακοπραγιῶν αὐτῷ· τῆς τε γὰρ οὐσίας ἁπάσης 148
εὐθὺς ἐξίσταται, ἣν τε παρὰ γονέων ἐκληρονόμησε καὶ ἣν αὐτὸς ἐκτήσατο,
p. 539 M. φιλόκοσμος ἐν τοῖς μάλιστα γεγονώς. οὐ γὰρ ὡς | ἐνίων πολυχρημάτων ὁ πλοῦτος ἀργὸς ἦν ὕλη, πάντα δ' ἐξητασμένα πρὸς τὸ περίεργον, ἐκπώματα, ἐσθῆτες, στρωμναί, ἔπιπλα, τἄλλα ὅσα οἰκίας κόσμος, ἔκλογα πάντα· καὶ πρὸς τούτοις ἡ οἰκετικὴ θεραπεία, ἀριστίνδην ἐπικριθεῖσα κατά τε 149
τὰς τῶν σωμάτων εὐμορφίας ὁμοῦ καὶ εὐεξίας καὶ κατὰ τὸ ἄπταιστον ἐν τῷ χρειώδει τῶν ὑπηρεσιῶν· ἐφ' ὧν γὰρ ἦσαν ἕκαστοι τεταγμένοι, διέφερον, ὡς ἢ πρῶτοι νομίζεσθαι τῶν τὰ αὐτὰ ἐπιτηδευόντων ἢ μηδενὸς δεύτεροι τὸ παράπαν. ἐναργὴς δὲ πίστις τὸ μυρίων δημοπράτων γενο- 150
μένων οὐσιῶν, αἳ τῶν κατακρίτων ἦσαν, μόνην τὴν τοῦ Φλάκκου ταμιευθῆναι τῷ αὐτοκράτορι, δίχα τινῶν ὀλίγων, ὑπὲρ τοῦ μὴ παραβιβασθῆναι τὸν ἐπὶ τοῖς οὕτως ἑαλωκόσι τεθέντα νόμον. μετὰ δὲ τὴν ἀφαίρεσιν τῆς 151
οὐσίας κατέγνωστο αὐτοῦ φυγή, καὶ ἐξ ἁπάσης μὲν ἠλαύνετο τῆς ἠπείρου

---

1. 2 ἕνεκα τοῦ συνειδότος ἀπεδίδρασκε MGH (ἀπεδίδρασκεν Turn.): ἀπεδίδρασκεν ἔξω τοῦ συνειδότος τὴν A; ἕνεκα τοῦ σ. ἀπεδίδρασκεν ἔξω τὴν Mang. 3 ἐκποδὼν corr. ex ἐκποτῶν H^2 γεγονότα A 4 ἀνερίθευτα codd. (prob. Mang.): ἀνέριστα v 5 ταῦτα L (v) 6 ἀνεῖ≡ων M 7 μάλιστα post ἀπηχθάνετο add. Mang. 8 οὕτοι ante καὶ add. A (Mang.) 9 ἐστὶ δεινὸν τὸ ἐγκαλεῖσθαι M: ἐστὶ τὸ ἐγκαλεῖσθαι χαλεπὸν GA, τὸ ἐ. ἐστι χαλεπὸν H (v) 10 ὑπὸ om. A αἰεὶ G 11 γινομένων A ἑκατέρου MG: ἑκάστου AH (v) 13 φρονοῦσι M 15 ἐξίσταται GH: ἐξίστατο MA verba ἣν τε παρὰ γονέων usque ad οὐχ ὥσ(περ) (152, 18) desunt in G ἐκληρονόμησεν H 17 ὕλη om. A ἐξητασμένα] ἠσκημένα vel ἐξησκημένα coni. Mang. 17. 18 ἐκπ≡ώματα (τ eras.) H 18 τἄλλ' A κόσμου L (Turn.) 19 ἡ om. A οἰκετικὴ A ἀριστίδην L ἐπικριθεῖσα corr. ex ἐπικριθέντων H^2 τε] δὲ L 23. 24 οὐσιῶν γενομένων transp. A 24 τὴν τοῦ scripsi: τὴν AH (v), τοῦ M 25 τῷ αὐτοκράτορι — παραβιβασθῆναι] κατὰ A παραβιβασθῆναι M (παραβασθῆναι Mang.): παραβιασθῆναι H (Turn.) 26 οὕτως om. A

— τὸ δ' ἐστὶ μεῖζον καὶ ἄμεινον τμῆμα τῆς οἰκουμένης —, ἐξ ἁπάσης δὲ νήσου τῶν εὐδαιμόνων. ἐμέλλησε γὰρ εἰς τὴν λυπροτάτην τῶν ἐν Αἰγαίῳ — Γύαρα καλεῖται — διώκεσθαι, μὴ παρακλήτῳ χρησάμενος Λεπίδῳ, δι' ὃν ἀνθυπηλλάξατο Γυάρων Ἄνδρον ἐγγυτάτω κειμένην.
152 εἶτ' ἐστέλλετο τὴν ἀπὸ Ῥώμης ἄχρι Βρεντεσίου πάλιν ὁδόν, ἣν καὶ πρὸ ὀλίγων ἐτῶν ἐστείλατο, καθ' ὃν καιρὸν κεχειροτόνητο τῆς Αἰγύπτου καὶ τῆς ὁμόρου Λιβύης ἐπίτροπος, ἵν' αἱ τότε θεασάμεναι πόλεις αὐτὸν μέγα πνέοντα καὶ τὸν ὄγκον τῆς εὐτυχίας ἐπιδεικνύμενον πάλιν θεάσωνται
153 μεστὸν ἀτιμίας. ὁ δὲ δακτυλοδεικτούμενος καὶ ὀνειδιζόμενος τῆς ἀθρόας μεταβολῆς πιέζεται βαρυτέραις ἀνίαις, ἀεὶ καινουμένης καὶ ζωπυρουμένης αὐτῷ τῆς συμφορᾶς νεωτέρων ⟨κακῶν⟩ προσθήκαις, ἃ καθάπερ ἐν ταῖς νόσοις ὑποτροπιάζειν ἀναγκάζει καὶ τὰς τῶν ἀρχαίων κακοπραγιῶν ὑπομνήσεις, αἷ τέως ἔδοξαν ἠμαυρῶσθαι.
154 (19.) Περαιωσάμενος δὲ τὸν Ἰόνιον κόλπον ἔπλει τὴν ἄχρι Κορίνθου θάλατταν, ταῖς παράλοις τῶν ἐν Πελοποννήσῳ πόλεων θέα γινόμενος κατὰ πύστιν τῆς αἰφνιδίου μεταβολῆς· ὁπότε γὰρ ἀποβαίη τῆς νεώς, συνέθεον οἱ μὲν μοχθηροὶ τὰς φύσεις ἐθελοκακοῦντες, οἱ δ' ἄλλοι συναλ-
155 γήσοντες, οἷς ἔθος ταῖς ἑτέρων τύχαις σωφρονίζεσθαι. διελθὼν δ' ἀπὸ Λεχαίου τὸν Ἰσθμὸν εἰς τὴν ἀντιπέραν θάλατταν καὶ καταβὰς εἰς Κεγχρεάς, τὸ Κορίνθιον ἐπίνειον, ἀναγκάζεται πρὸς τῶν φυλάκων ἀναχώρησιν οὐδ' ἡντιναοῦν ἐνδιδόντων εὐθὺς ἐπιβὰς βραχείας ὁλκάδος
| ἀνάγεσθαι καὶ πνεύματος ἐναντίου καταρραγέντος μυρία ταλαιπωρηθεὶς p. 540 M.
156 μόλις ἄχρι τοῦ Πειραιῶς κατασύρεται. λήξαντος δὲ τοῦ χειμῶνος, παραμειψάμενος τὴν Ἀττικὴν ἄχρι τῆς Σουνιάδος ἄκρας τὰς ἑξῆς λοιπὸν ἐπεραιοῦτο νήσους, τὴν Ἑλένην, τὴν Κίαν, τὴν Κύθνον, τὰς ἄλλας ὅσαι

1 τὸ δ' ἔστι M: τόδ' ἐστι H, τὸ δέ τι A 2 ἐμέλλησε H: ἐμέλησε MA 3 αἰγαίῳ M: αἰγείω A, αἰγύπτῳ (γυπτ in. ras.) H γύαρος A διώκεσθαι] διωθεῖσθαι coni. Mang. χρησάμενον A 4 ἀνθυπαλλάξατο L γυάρων MH: τῶν γυάρω A ἐγγυτάτω MA: ἐγγύτατα H (v) 5 βρεντεσίου MH¹: βρεντεσίου A, βρεντησίου H²L (v) 6 ἐστείλατο (α corr. ex ε) H² κεχειροτόνητο MA: ἐχειροτόνητο H; ἐκεχειροτόνητο v 7 τόταί (sic) M 8 θεάσονται M 9 καὶ ὀνειδιζόμενος om. L (Turn.) 10 πιέζηται A καινουμένης Mang.: κινουμένης codd. (v) 11 νεωτέρων ⟨κακῶν⟩ Mang.: νεωτέρων codd. (v) 12 ὑποτροπιάζειν ἀναγκάζει] ὑποτροπιαζούσαις ἀνάγει coni. Mang. 13 αἷ corr. ex ἃ M ἔδοξαν (α corr. ex ε) M 14 ἰόνιον codd.: Ἰώνιον v 14. 15 κορύνθου M 15 πελοποννήσῳ L: πελοπονήσῳ MAH γενόμενος A 16 πίστιν corr. ex πύστιν H, πίστιν L (Turn.) 18 δὲ M 19 λεχαίου H: λεχίου MA 20 τὸ codd.: τῶν v κορίνθιον H¹: κορίνθειον MA, κορινθίων H²L (v) 21 ἡντιναοῦν MA: ἡντινοῦν H (v) ἐνδιδόντες M 23 πειραιῶς codd. (Turn.): Πειραιέως Mang. 24 σαωνιάδος A 25 περαιοῦται A κίαν MH (cf. Ptol. Geogr. III 15,27): κίον A; Κέων coni. Mang., Κίανον v Κύθνον Turn. (v): κύνθον M, κύθον A, κίνθον H

18 D^K fol. 253r ἐκ τῶν κατὰ Φλάκκον: χρήσιμον ἐν ταῖς ἀλλοτρίαις συμφοραῖς σωφρονίζεσθαι.

κεῖνται στοιχηδὸν ἑξῆς μέχρι τῆς ἐφ' ἣν τελευταίαν ἐλθεῖν ἔδει, τὴν
Ἀνδρίων. ἣν πόρρωθεν ἰδὼν ὁ κακοδαίμων δακρύων τινὰ φορὰν ὥσπερ 157
ἀπὸ πηγῆς ἐξέχει κατὰ τῶν παρειῶν καὶ τὰ στέρνα πλήξας, πικρότατα
ἀνοιμώξας, „ἄνδρες" εἶπεν, „οἱ φύλακές μου καὶ προπομποί, καλήν γε
χώραν Ἄνδρον, οὐκ εὐτυχῆ νῆσον, τῆς εὐδαίμονος Ἰταλίας ἀνθυπαλλάτ-
τομαι, Φλάκκος, ὁ γεννηθεὶς μὲν καὶ τραφεὶς καὶ παιδευθεὶς ἐν τῇ 158
ἡγεμονίδι Ῥώμῃ, συμφοιτητὴς δὲ καὶ συμβιωτὴς γενόμενος τῶν θυγα-
τριδῶν τοῦ Σεβαστοῦ, κριθεὶς δὲ τῶν πρώτων φίλων παρὰ Τιβερίῳ Καί-
σαρι καὶ τὸ μέγιστον αὐτοῦ τῶν κτημάτων, Αἴγυπτον, ἐπὶ ἑξαετίαν
ἐπιτραπείς. τίς ἡ τοσαύτη μεταβολή; νὺξ ἐν ἡμέρᾳ, καθάπερ ἐκλείψεως 159
γενομένης, τὸν ἐμὸν ἐπέσχηκε βίον. τὴν νησίδα ταύτην τί φῶ; πότερον
φυγαδευτήριον ἐμὸν ἢ πατρίδα καινήν, ὑπόδρομον καὶ καταφυγὴν ἀτυχῆ;
τάφος ἂν εἴη τὸ κυριώτατον αὐτῆς ὄνομα. στέλλομαι γὰρ ὁ κακοδαίμων
ἐγὼ τρόπον τινὰ νεκροφορῶν ἐμαυτὸν ὥσπερ εἰς ἠρίον· ἢ γὰρ ταῖς ἀνίαις
τὴν ἀθλίαν ζωὴν ἀπορρήξω ἤ, κἂν ἐπιβιῶναι δυνηθῶ, τὸν μακρὸν καὶ
σὺν αἰσθήσει θάνατον ἐκδέξομαι." καὶ ὁ μὲν τοιαῦτα ἀπωδύρετο. τῆς 160
δὲ νεὼς τῷ λιμένι προσσχούσης, ἀπέβαινε πᾶς εἰς τοὔδαφος νεύων, ὥσπερ
οἱ θλιβόμενοι πρὸς ἄχθους βαρυτάτου, τὸν αὐχένα ταῖς συμφοραῖς
πιεζόμενος, οὐδ' ὅσον ἀνακύψαι σθένων ἢ μὴ τολμῶν διὰ τοὺς συναντῶντας
καὶ τοὺς ἐπὶ θέαν ἥκοντας, οἳ παρ' ἑκάτερα τῆς ὁδοῦ προειστήκεσαν.
οἱ δὲ παραπέμψαντες αὐτὸν ἐπὶ τὸν δῆμον ἀγαγόντες τῶν Ἀνδρίων 161
ἐπεδείξαντο πᾶσι, μάρτυρας ποιούμενοι τῆς εἰς τὴν νῆσον ἀφίξεως τοῦ
φυγάδος. καὶ οἱ μὲν τὴν διακονίαν ἐκπλήσαντες ἀπῆεσαν· τῷ δὲ 162
Φλάκκῳ μηδεμίαν ὄψιν οἰκείαν ἔτι θεωμένῳ τὸ πάθος ἑκαινοῦτο τρανότερον
φαντασίαις ἐναργεστέραις· καὶ τὴν ἐν κύκλῳ κατανοοῦντι πολλὴν ἐρη-
μίαν, ἧς μέσος ἀπείληπτο, κουφότερον ἐδόκει κακὸν ἡ ἐν τῇ πατρίδι
βίαιος ἀναίρεσις, μᾶλλον δὲ συγκρίσει τῶν παρόντων ἀσπαστὸν ἀγαθόν.
p. 541 M. | οὕτως ἐσφάδαζεν, ὡς μηδὲν τῶν μεμηνότων διαφέρειν· ἐπήδα πολλάκις
ἄνω κάτω διαθέων, τὰς χεῖρας συνεκρότει, τοὺς μηροὺς ἔπαιε, κατέβαλεν
εἰς τοὔδαφος ἑαυτόν, ἐξεφώνει πολλάκις· „ἐγὼ Φλάκκος εἰμί, ὁ πρὸ μικροῦ 163

---

1 στιχηδὸν coni. Mang. στοιχηδὸν ἑξῆς seclusit Jessen ἐλθεῖν om. A
τὴν] τῆς coni. Mang. (Dahl) 3 πικρότατ' A 4 γε] τε M 5 ἀτυχῆ
A (coni. Mang.) 12 καινήν Turn. (v): κενήν codd. 13 αὐτῆς om. H (Turn.)
14 εἰς ss. H 15 τὴν ἀθλίαν ζωὴν MA: τὴν ζωὴν τὴν ἀθλίαν H (v)
16 ἐκδέχομαι A μὲν τοιαῦτ' A; μέντοι ταῦτα Turn. ἐπωδύρετο A
17 προσσχούσης Dahl: προσχούσης codd. (v) 18 πρὸ L (Turn.), corr. ex πρὸς
H τῆς συμφορᾶς A 19 οὐδ' ὅσον L, in ras. H² (v): οὐκ ἔχων MA
σθένων MH: στένων A ἢ μὴ A (Mang.): ἢ MH (Turn.) 20 προειστή-
κεισαν codd. (v); παρειστήκεσαν coni. Wendl. 21 τῶν ἀνδρίων ἀγαγόντες
transp. A 22 πᾶσιν L ποιούμενος M 24 οἰκείαν ὄψιν transp. M
τρανότερον MA: τρανούμενον H²L (v); ζωπυρούμενον coni. Mang. 28 μηδὲ H
(Turn.) 30 τὸ ἔδαφος H (v) αὐτὸν H (v) πρὸς A

τῆς μεγαλοπόλεως ἢ πολυπόλεως Ἀλεξανδρείας ἡγεμών, ὁ τῆς εὐδαι-
μονεστάτης χώρας ἐπίτροπος Αἰγύπτου, εἰς ὃν ἐπέστρεφον αἱ τοσαῦται
μυριάδες τῶν οἰκητόρων, ὁ δυνάμεις πολλὰς πεζὰς καὶ ἱππικὰς καὶ
ναυτικὰς οὐκ ἀριθμὸν ἄλλως ἀλλ' ὅσον δοκιμώτατον ἐν ὑπηκόοις ἔχων,
ὁ καθ' ἑκάστην ἡμέραν ἐν ταῖς ἐξόδοις ὑπὸ μυρίων ὅσων παραπεμπόμενος. 5
164 ἀλλὰ μὴ φάσμα ταῦτ' ἦν, οὐκ ἀλήθεια; καὶ κοιμώμενος ὄναρ εἶδον τὴν
τότ' εὐθυμίαν, εἴδωλα κατὰ κενοῦ βαίνοντα, πλάσματα ψυχῆς ἴσως
165 ἀναγραφούσης τὰ μὴ ὑπάρχοντα ὡς ὄντα; διηπάτημαι· σκιὰ πραγμάτων
ἄρ' ἦσαν, οὐ πράγματα, μίμησις ἐναργείας, οὐκ ἐνάργεια τρανοῦσα τὸ
ψεῦδος. ὡς γὰρ τῶν ἐν τοῖς ὀνείροις φανέντων οὐδὲν περιαναστάντες 10
εὑρίσκομεν, ἀλλ' οἴχεται πάντα ἀθρόα διαπτάντα, οὕτως καὶ τὰ λαμπρὰ
ἐκεῖνα, οἷς ποτε ἐνωμίλησα, ἐσβέσθη βραχυτάτῃ καιροῦ ῥοπῇ."
166 (20.) Τοιούτοις ἀεὶ κατεπαλαίετο λογισμοῖς καὶ τρόπον τινὰ ἐξετρα-
χηλίζετο· τὰς δὲ τῶν πολλῶν συνόδους ἀποδιδράσκων διὰ τὴν παρα-
κολουθοῦσαν αἰσχύνην οὔτ' εἰς λιμένα κατῆει οὔτ' εἰς ἀγορὰν προελθεῖν 15
ὑπέμενεν, ἀλλ' οἴκοι συγκλεισάμενος ἐφώλευε, μηδὲ τὴν αὔλειον ὑπερ-
167 βαίνειν θαρρῶν. ἔστι δ' ὅτε καὶ περὶ βαθὺν ὄρθρον, ἔτι τῶν ἄλλων ἐν
εὐναῖς ὄντων, μηδενὶ φανεὶς τὸ παράπαν ἔξω τείχους προῆει καὶ διημέρευεν
ἐπὶ τῆς ἐρημίας, ἐκτρεπόμενος εἴ πού τις ὑπαντήσειν ἔμελλε, καὶ ταῖς
ἐναύλοις μνήμαις τῶν κακοπραγιῶν διακναιόμενος καὶ διεσθιόμενος τὴν 20
ψυχήν, ὁ δείλαιος, νυκτὸς εἰσῄει βαθείας, εὐχόμενος διὰ τὰς ἀμέτρους
καὶ ἀτελευτήτους ἀδημονίας ἑσπέραν μὲν πρωΐαν γενέσθαι, πεφρικὼς
τὸ σκότος καὶ τὰς ἀλλοκότους φαντασίας, ὁπότε τύχοι καταδαρθών, ἅμα
δὲ τῇ ἕῳ πάλιν ἑσπέραν· ὁ γὰρ περὶ αὐτὸν ζόφος ἠναντιοῦτο τοῖς
168 φαιδροῖς ἅπασιν. ὀλίγοις δ' ὕστερον μησὶ βραχύ τι γῆδιον πριάμενος 25

---

1. 2 εὐδαιμονεστάτης] ἡγεμονεστάτης A (praefert Mang.) 3 πολλὰς M (Man g.) om. AH (Turn.) καὶ ἱππικὰς om. M (secludendum vid. Mang.) 4 ἀριθ-
μῶν A (mavult Mang.) 6 μὴ φάσμα] μήποτε φάντασμα coni. Mang.
ὄναρ om. M 7 εὐθυμίαν MA: εὐτυχίαν L (v), ex εὐθυμίαν corr. vid. H²
8 ἀναζωγραφούσης coni. Mang. 9 ἄρ' AH: ἄρα M πράγματα Ven. 41
(Mang.): πρᾶγμα ceteri (Turn.) μίμησις A (Mang.): μιμήσεις MH (Turn.)
9. 10 τὸ ψεῦδος] τἀληθές coni. Matthaei 10 οὐδὲν περιαναστάντες H: οὐδένπερ ἀνα-
στάντες MA 11 ἀθρόα om. A διαπτάντα MH²: διὰ πάντων AH¹, διπτάντα (sic) L
οὕτως H: οὕτω MA 12 ποτ' A βραχυτάτῃ MH²L (Turn.): βραχυτάτου AH¹
(Mang.) 14 πολλῶν] πυλῶν A 15 alt. ἐς H προελθὼν L (Turn.)
16 ἐφώλευε A: ἐφώδευε MH 19 δὲ ante πού add. A ὑπαντιάσειν A (mavult
Mang.) 20 διεσθιόμενος] αἰσθόμενος A 21 ἀμέτρους M: ἀμετρήτους A
(Dahl), ἀμετρούσας H (v); ἀμέτρους οὔσας coni. Mang. 22 τὰς ante ἀτελευτήτους
add. H (Turn.) ἑσπέραν Turn. (v): ἑσπέρας codd. πρωΐαν A: πρωΐας ML,
ας corr. in αν H 23 ἀλοκότους M; σκοταίους coni. Mang. τύχη A
24 ἠναντιοῦτο A (Mang.): ἠλλοτριοῦτο MH (Turn.) 25 μησὶν L

---

17 sqq. cf. U. Wilcken, Abh. d. Sächs. Ges. d. Wiss. XXVII 783.

ἐν αὐτῷ πολλὰ διέτριβε μονούμενος καὶ τὸν οἰκεῖον ἐπιστένων καὶ κατα-
p. 542 M. κλαίων δαίμονα. λέγεται δέ ποτε καὶ περὶ μέσας νύκτας ὥσπερ οἱ | κορυ- 169
βαντιῶντες ἔνθους γενόμενος, ἐκ τῆς ἐπαύλεως ἔξω προελθὼν καὶ τὴν ὄψιν
ἀνατείνας εἰς οὐρανὸν καὶ τοὺς ἀστέρας, τὸν ἐν κόσμῳ κόσμον ὄντως ἰδών,
ἀναβοῆσαι· „βασιλεῦ θεῶν καὶ ἀνθρώπων, οὐκ ἄρα τοῦ τῶν Ἰουδαίων 170
ἔθνους ἀμελῶς ἔχεις, οὐδ' ἐπιψεύδονται τὴν ἐκ σοῦ πρόνοιαν, ἀλλ' ὅσοι
φασὶν αὐτοὺς μὴ προαγωνιστῇ σοι καὶ ὑπερμάχῳ χρῆσθαι, δόξης ὑγιοῦς
διαμαρτάνουσι. σαφὴς δ' ἐγὼ πίστις· ὅσα γὰρ κατεμάνην τῶν Ἰουδαίων,
αὐτὸς πέπονθα. τὰς οὐσίας ἁρπαζομένων περιεῖδον ἐκεχειρίαν τοῖς λεηλα- 171
τοῦσι διδούς· ἀφῃρέθην διὰ τοῦτο τὰ πατρῷα καὶ μητρῷα καὶ ὅσα ἐν
μέρει χάριτος καὶ δωρεᾶς ἔλαβον ἢ ὅσα ἄλλα καθ' ἑτέρας ἰδέας ἐκτη-
σάμην. ὠνείδισά ποτε ἀτιμίαν καὶ ξενιτείαν αὐτοῖς ἐπιτίμοις οὖσι κατοί- 172
κοις, ἵν' ἡσθῶσιν οἱ ἀντίπαλοι, πλῆθος ἀσύντακτον καὶ πεφορημένον,
ὑφ' οὗ κολακευόμενος ὁ δυστυχὴς ἠπατώμην· διὰ τοῦτο ἠτίμωμαι καὶ
φυγὰς ἐξ ἁπάσης ἐληλαμένος τῆς οἰκουμένης ἐνταυθοῖ συγκέκλεισμαι.
παράγων εἰς τὸ θέατρον ἐνίους ἐν ὄψεσι τῶν ἐχθίστων αἰκίζεσθαι προσ- 173
έταττον ἀδίκως· τοιγαροῦν ἐγὼ δικαίως οὐκ εἰς θέατρον ἓν ἢ μίαν πόλιν
ἐπὶ ταῖς ἐσχάταις ὕβρεσι παρήχθην αἰκισθεὶς πρὸ τοῦ σώματος τὴν
ἀθλίαν ψυχήν, ἀλλ' ἐπόμπευσα διὰ μὲν πάσης Ἰταλίας ἄχρι Βρεντεσίου,
διὰ δὲ πάσης Πελοποννήσου μέχρι Κορίνθου, διὰ δὲ τῆς Ἀττικῆς καὶ
τῶν νήσων ἄχρις Ἄνδρου, τῆς ἐμῆς εἱρκτῆς. καὶ πέπεισμαι σαφῶς, ὅτι οὐκ 174
ἔστιν ὅρος οὗτος τῶν ἐμῶν κακοπραγιῶν, ἀλλ' ἐφεδρεύουσιν ἕτεραι πρὸς
ἐκπλήρωσιν ἀντίρροπον ὧν εἰργασάμην. ἀνεῖλόν τινας καὶ ἀναιρεθεῖσι
πρὸς ἑτέρων οὐκ ἐπεξῆλθον· κατελεύσθησάν τινες καὶ ζῶντες οἱ μὲν
ἐνεπρήσθησαν, οἱ δὲ διὰ μέσης κατεσύρησαν ἀγορᾶς, ἕως ὅλα τὰ σώματα
αὐτοῖς ἐδαπανήθη. τούτων οἶδ' ὅτι ἀναμένουσί με αἱ Ποιναί, καὶ οἱ 175
ἀλάστορες ὥσπερ ἐπὶ βαλβῖσιν ἑστᾶσιν ἤδη καὶ φονῶντες ἔγκεινται, καὶ
καθ' ἑκάστην ἡμέραν, μᾶλλον δὲ ὥραν, προαποθνήσκω πολλοὺς θανάτους
ὑπομένων ἀνθ' ἑνὸς τοῦ τελευταίου." πολλάκις δὲ ἐδειματοῦτο καὶ 176

1—3 ἐν αὐτῷ — γενόμενος om. A 1 διέτριβε M: διέτριβεν H (v) 5 ἀνε-
βόησε A 6 ἀλ' (sic) H 8 διαμαρτάνουσιν L δ' om. M
9 ἁρπαζόμενον M ἐκκεχειρίαν A 11 δσ' A 12 ὠνείδησά H
ἀτιμίας Turn. ⟨καὶ⟩ κατοίκοις coni. Mang. (Dahl) 13 συμπεφορημένον A
(mavult Mang.) 18 τὴν om. H (Turn.) 19 διὰ μὲν MH (Turn.): μὲν διὰ
η
A (Mang.) βρεντεσίου M: βρεντεσίου A, τε corr. in τη H, βρεντησίου L (v)
20 πελοποννήσου L: πελοπονήσου MAH μέχρι AH: ἄχρι M 21 ἄχρι A
22 οὗτος MAH (Turn.): τοῦτο Ven. 41 (Mang.) ἕτεραι H: ἕτεροι MA
23 ἀναιρεθεῖσι MAH (Mang.): ἀναλωθεῖσι Ven. 41; ἀναιρεθήσομαι Turn. 24 κατε-
υ
λεύσθησάν MH² (mavult Mang., Dahl): κατελύθησάν H¹ (v), κατελῄθησάν L, κατεσκε-
δάσθησάν A 26 αὐτοῖς MH (Turn.): αὐτῶν A (Mang.) 28 δ' A
29 τοῦ om. A δ' A

διεπτόητο καὶ φρίκῃ μὲν τὰ μέλη καὶ μέρη τοῦ σώματος κατεσείετο,
φόβῳ δ' ὑπότρομον εἶχε τὴν ψυχὴν ἄσθματι καὶ παλμῷ τινασσομένην,
ἅτε τοῦ μόνου παρηγορεῖν τὸν ἀνθρώπινον βίον ἐκ φύσεως δυναμένου στε-
177 ρόμενος, χρηστῆς ἐλπίδος. ὄρνις αἴσιος οὐδεὶς αὐτῷ προυφαίνετο· πάντες
δυσοιώνιστοι, κληδόνες παλίμφημοι, ἐπίπονος ἐγρήγορσις, περιδεὴς ὕπνος, 5
ἡ μόνωσις θηριώδης. ἀλλ' ἥδιστον αὐτῷ τὸ ἀγελαῖον; ἀηδέστατον αἱ
| κατὰ πόλιν διατριβαί· ἀσφαλὲς ὄνειδος ἡ κατ' ἀγρὸν ἐρημία; σφαλερόν, p. 543 M.
178 ἀδυσώπητον· ὁ ῥέμα προσιὼν ὕποπτος. „βουλεύεταί τι" φησί „κατ' ἐμοῦ
ὁ θᾶττον βαδίζων· οὐ πρὸς ἕτερόν τι σπεύδων ἔοικεν, ἀλλ' ἐμὲ διώκει·
ὁ ἡδὺς ἐνεδρεύει, ὁ παρρησιαστὴς καταφρονεῖ· σιτία μοι καὶ ποτὰ καθά- 10
179 περ τοῖς θρέμμασιν ἐπὶ σφαγὴν δίδοται. μέχρι τίνος ὁ σιδηροῦς πρὸς
τοσαύτας ἀντέχω συμφοράς; οἶδ' ὅτι μαλακίζομαι πρὸς θάνατον, ἐξ ἐπη-
ρείας δαίμονος οὐκ ἐπιτρέποντός μοι τὴν ἀθλίαν ζωὴν συντόμως ἀπορρῆξαι
διά τινας ὑπερβολὰς ἀνηκέστων κακῶν, ἃ κατ' ἐμοῦ θησαυριζόμενος
180 χαρίζεται τοῖς δολοφονηθεῖσι." (21.) τοιαῦτα ἀναπολῶν καὶ σφαδάζων 15
ἐκαραδόκει τῆς εἱμαρμένης τὸ πέρας· καὶ τοῦ μὲν αἱ συνεχεῖς ὀδύναι
τὴν ψυχὴν ἀνεκύκων καὶ ἀνέστρεφον. Γάιος δὲ τὴν φύσιν ὠμόθυμος
ὢν καὶ ἀκόρεστος ἐν ταῖς τιμωρίαις οὐχ ὥσπερ ἔνιοι μεθίετο τοὺς ἅπαξ
κολασθέντας, ἀλλ' ἀτελεύτητα μηνιῶν ἀεί τινα καινὴν ἐπ' αὐτοῖς ἐμεγα-
λούργει συμφοράν· τὸν δὲ Φλάκκον καὶ διαφερόντως ἤχθαιρεν, ὡς καὶ 20
181 τοὺς ὁμωνύμους ἀλλοτριώσει τῆς κλήσεως ὑποβλέπεσθαι. καὶ πολλάκις
αὐτὸν μετάνοια εἰσῄει, διότι κατέγνω φυγήν, ἀλλ' οὐχὶ θάνατον, καὶ τὸν
παράκλητον αἰδούμενος ὅμως ᾐτιᾶτο Λέπιδον, ὥστ' ἐκεῖνος ἀπηγόρευσε
φόβῳ τῆς καθ' αὑτοῦ τιμωρίας· ἐδεδίει γάρ, ὡς εἰκός, μὴ παραίτιος
182 ἄλλῳ γενόμενος κουφοτέρας δίκης βαρυτέραν αὐτὸς ἐνδέξηται. μηδενὸς 25
οὖν ἔτι τι τῶν εἰς παραίτησιν λέγειν θαρροῦντος, ἀμειλίκτοις καὶ ἀφέτοις
ἐχρῆτο ταῖς ὀργαῖς, αἳ, χρόνῳ δέον ἀμαυροῦσθαι, παρεθήγοντο μᾶλλον
καθάπερ αἱ ἐν τοῖς σώμασιν ὑποτροπιάζουσαι νόσοι· τῶν γὰρ προτέρων
183 εἰσὶν ἀργαλεώτεραι. φασὶν οὖν, ὅτι νύκτωρ ποτὲ διαγρυπνῶν εἰς

---

1 διεπτόητο MA (Mang.): ἐπτόητο H (Turn.) κατεσείετο M (mavult Mang.): κατέσειστο AH (v): fort. κατεσέσειστο 2 δὲ H (v) 3 μόνου τοῦ transp. A μόνου MA: μόνον H (v) δυναμένης A 4 προυφαίνετο MH: ἐφαίνετο A 6 ἀνηδέστατον A 7 ἡ om. A 8 προσιὼν A (Mang.): πρωϊῶν (sic) M, προϊὼν H (Turn.) βουλεύεταί MA (Mang.): βούλεταί H (Turn.) τι om. A 10 ἐνεδρεύῃ M 12 συμφορᾶς] ποινάς A 15 δολοφρονηθεῖσι H¹, corr. H² τοιαῦτ' A 18 (ὥσ)περ ἔνιοι] his verbis rursus incipit G 19 μηνιῶν MH: μηνίων GA 20 ἤχθαιρεν corr. in ἤχθραινεν H² 21 ὁμωνύμως M 22 διότι] ὅτι M 23 ᾐτιᾶτο] ἡ, ἰτιᾶτο G ὥστ' scripsi: ὡς codd. (v) 24 ἑαυτοῦ A γάρ om. G 25 ἄλλων L (Turn.) γενάμενος G 26 ἔτι τι A: om. M, ἔτι GH 27 ὀργαῖς (γ corr. ex μ) M αἳ] ἅς A δέον] δέει G παρεθήγοντο Mang.: παρήγοντο codd. 29 οὖν om. L (v) ὁ γάϊος post διαγρυπνῶν add. H (v), om. ceteri, nisi quod ὁ γάϊος in marg. habet M

ἔννοιαν ἦλθε τῶν ἐν τέλει φυγάδων, ὀνόματι μὲν ὑποπτευομένων ἀτυχεῖν,
βίον δ' ἀπράγμονα καὶ ἡσυχάζοντα καὶ ἐλεύθερον ὄντως περιπεποιημένων.
μετετίθει δὲ καὶ τὴν κλῆσιν ἀποδημίαν προσαγορεύων· „ἀποδημία γάρ 184
τίς ἐστιν" ἔφασκεν „ἡ τῶν τοιούτων ἔλασις ἐχόντων ἄφθονα τὰ ἐπιτή-
δεια καὶ σὺν ἀπραγμοσύνῃ καὶ εὐσταθείᾳ ζῆν δυναμένων· οὓς ἄτοπον
εἶναι τρυφᾶν ἀπολαύοντας εἰρήνης, βίον καρπουμένους φιλόσοφον." εἶτα 185
προστάττει τοὺς ἐπιφανεστάτους καὶ ὧν πλεῖστος ὁ λόγος ἀναιρεθῆναι,
γραφὴν δοὺς ὀνομάτων, ἧς ἡγεῖτο Φλάκκος. ἐπεὶ δ' ἦκον εἰς Ἄνδρον
οἷς κτείνειν διείρητο, Φλάκκος μὲν ἐτύγχανεν ἀγρόθεν εἰς ἄστυ παραγινό-
p. 544 M. μενος, οἱ δ' ἐκ τοῦ λιμένος ὑπηντίαζον, | καὶ πόρρωθεν ἀντιπροεῖδον
ἀλλήλους. ὅθεν συναισθόμενος ἐφ' ᾧ σπεύδουσι — μαντικώτατον γὰρ 186
ἡ ἑκάστου ψυχή, καὶ μάλιστα τῶν ἐν κακοπραγίαις — ἐκτραπόμενος
τῆς ὁδοῦ διὰ τραχείας ἔθει φεύγων, ἐπιλελησμένος ἴσως, ὅτι νῆσος ἀλλ'
οὐκ ἤπειρός ἐστιν, ἐν ᾗ τί ὄφελος ὠκύτητος, περικλειούσης θαλάττης;
ἀνάγκη γὰρ δυοῖν θάτερον, ἢ προσωτέρω χωροῦντα κατὰ τοῦ πελάγους
ἐνεχθῆναι ἢ συλληφθῆναι πρὸς αὐτὸ τὸ πέρας ἥκοντα. βέλτιον ἄρ' ἐν 187
συγκρίσει κακῶν ἡ κατὰ γῆν τῆς ἐν πελάγει φθορά, ἐπειδήπερ ἀνθρώποις
καὶ πᾶσι χερσαίοις οἰκειότατον ἡ φύσις χωρίον ἀπένειμε γῆν, οὐ μόνον
ζῶσιν ἀλλὰ καὶ ἀποθανοῦσιν, ἵν' ἡ αὐτὴ καὶ τὴν πρώτην ὑποδέχηται
γένεσιν καὶ τὴν ἐκ τοῦ βίου τελευταίαν ἀνάλυσιν. οἱ δ' ἀπνευστὶ διώ- 188
κοντες καταλαμβάνουσι· καὶ οἱ μὲν εὐθὺς ὤρυττον βόθρον, οἱ δὲ πρὸς
βίαν εἵλκον ἀφηνιάζοντα καὶ κεκραγότα καὶ διαπαλαίοντα· ὧν χάριν καὶ
σύμπαν κατετρώθη τὸ σῶμα καθάπερ τὰ θηρία ταῖς πληγαῖς ἐπιτρέχων.
ἐμπλεκόμενος γὰρ καὶ τῶν κτεινόντων ἐλλαμβανόμενος, νῦν μὲν ἐπιφέρειν 189
τὰ ξίφη κωλυομένων, ἐγκαρσίους δὲ πληγὰς καταφερόντων, αἴτιος ἐγένετο
βαρυτέρων ἑαυτῷ συμφορῶν· διατμηθεὶς δὲ καὶ διακοπεὶς χεῖρας, βάσεις,

---

1 ἔννοιαν] μνήμην coni. Mang. ἦλθεν L ὧν post φυγάδων add. G
ὑποπτευομένων A (Mang.): ὑποστελλόντων MGH (Turn.) 2 ἡσϊχάζοντα M
καὶ post ὄντως add. L 3 μετετέθει H^1, corr. H^2 ἀποδημίαν] ἀποδημίας Turn.
5 εὐσταθίᾳ H 6 εἶναι] ἐφεῖναι coni. Mang. εἰρήνην H (Turn.) ⟨καὶ⟩
βίον coni. Mang. 7 ὁ om. G (A) ὁ λόγος] ὄχλος A 8 Ἄνδρον]
ἄνδρας Turn. 9. 10 παραγινόμενος MG: παραγενόμενος AH (v) 10 δ' ἐκ
Turn. (v): δὲ codd. ἀντιπροεῖδον AH: προεῖδον M, ὡς ἂν τι προίδον G 11 ὅθεν]
ὁ μὲν G ὃ GH: ᾧ MA σπεύδουσιν L 12 ἐκτρεπόμενος A
13 τραχείας codd. (Mang.): ταχείας Turn. (Dahl) 15 τὸ ante δυοῖν add. Mang.
16 ἐνεγχθῆναι MH^2L τὸ om. GH (Turn.) ἄρ'] ἂν G 17 κακὸν A
φθορά MA: φθορᾶς GH (v) 18 οἰκειότερον L (Turn.) 19 δέχηται A
21 οἱ μὲν om. A 23 τὰ om. M 24 λαμβανόμενος G; μεταξὺ sive μέσος
ἐλλαμβανόμενος aut καθαλλόμενος coni. Matthaei νῦν] εὐθὺς coni. Matthaei
25 κωλύων A ἐγίνετο A (Mang.) 26 δὲ om. G

---

11. 12 DK fol. 178r ἐκ τῶν κατὰ Φλάκκον: μαντικώτατον ἡ ἑκάστου ψυχή, μάλιστα τῶν ἐν κακοπραγίαις.

κεφαλήν, στέρνα, πλευράς, ὡς ἱερείου τρόπον κρεουργηθῆναι, ἔκειτο, τῆς δίκης σφαγὰς ἰσαρίθμους τοῖς φόνοις τῶν ἐκνόμως ἀναιρεθέντων Ἰουδαίων
190 ἐνὶ σώματι βουληθείσης ἐργάσασθαι. καὶ ὁ μὲν τόπος ἅπας αἵματι κατερρεῖτο διὰ πλειόνων φλεβῶν, αἳ κατὰ μέρος διεκόπησαν, κρουνηδὸν ἐκχεομένῳ· συρομένου δ' εἰς τὸν ὀρωρυγμένον βόθρον τοῦ νεκροῦ τὰ πλεῖστα μέρη διελύετο, τῶν νεύρων κατεσχισμένων, οἷς ἡ κοινωνία συν-
191 εδεῖτο πᾶσα τοῦ σώματος. τοιαῦτα καὶ Φλάκκος ἔπαθε γενόμενος ἀψευδεστάτη πίστις τοῦ μὴ ἀπεστερῆσθαι τὸ Ἰουδαίων ἔθνος ἐπικουρίας τῆς ἐκ θεοῦ.

---

1 στέρνα (α corr. vid. ex ων) H τινὰ post τρόπον add. A ἔκειτο A (Mang.): om. ceteri (Turn.) 2 ἐννόμως M 3 τόπος corr. ex τρόπος M 4 καὶ ante διὰ add. A 5 ἐκχεομένῳ (scil. αἵματι) Mang.: ἐκχεομένων codd. (v) δὲ L (v) ὀρωρυγμένων H, ὠρωρυγμένων G 8 ἀπεστερῆσθαι Cohn: ὑπερορᾶσθαι codd. (v); ὑστερεῖσθαι coni. Mang. (Dahl), ἐστερῆσθαι Matthaei τὸ om. Mang. τῶν ante Ἰουδαίων add. A (Mang.) Ἰουδαῖον L (Turn.)

ΦΙΛΩΝΟΣ
ΑΡΕΤΩΝ ΠΡΩΤΟΝ
Ο ΕΣΤΙ ΤΗΣ ΑΥΤΟΥ ΠΡΕΣΒΕΙΑΣ ΠΡΟΣ ΓΑΙΟΝ.

II p. 545 M. (1.) | Ἄχρι τίνος ἡμεῖς οἱ γέροντες ἔτι παῖδές ἐσμεν, τὰ μὲν σώματα 1
χρόνου μήκει πολιοί, τὰς δὲ ψυχὰς ὑπ' ἀναισθησίας κομιδῇ νήπιοι,
νομίζοντες τὸ μὲν ἀσταθμητότατον, τὴν τύχην, ἀκλινέστατον, τὸ δὲ
παγιώτατον, τὴν φύσιν, ἀβεβαιότατον; ὑπαλλαττόμεθα γὰρ καθάπερ ἐν
ταῖς πεττείαις τὰς πράξεις μετατιθέντες, οἰόμενοι τὰ μὲν τυχηρὰ μονι-
μώτερα εἶναι τῶν φύσει, τὰ δὲ κατὰ φύσιν ἀβεβαιότερα τῶν τυχηρῶν.
αἴτιον δὲ τὸ τὰ παρόντα βραβεύειν ἀπροοράτως τῶν μελλόντων ἔχοντας, 2
αἰσθήσει πεπλανημένῃ χρωμένους πρὸ διανοίας ἀπλανοῦς· ὀφθαλμοῖς
μὲν γὰρ τὰ ἐν φανερῷ καὶ ἐν χερσὶ καταλαμβάνεται, λογισμὸς δὲ φθάνει
p. 546 M. καὶ πρὸς τὰ | ἀόρατα καὶ μέλλοντα, οὗ τὴν ὄψιν ὀξυωπεστέραν οὖσαν
τῆς δι' ὀμμάτων σώματος ἀμαυροῦμεν, οἱ μὲν ἀκράτῳ καὶ πλησμοναῖς
ὑποσυγχέοντες, οἱ δὲ τῷ μεγίστῳ τῶν κακῶν, ἀμαθίᾳ. πλὴν ὁ παρὼν 3
καιρὸς καὶ αἱ κατ' αὐτὸν κριθεῖσαι πολλαὶ καὶ μεγάλαι ὑποθέσεις,

---

1—3 Φίλωνος ἀρετῶν ᾱ́ (πρῶτον O) ὅ (ὃς G) ἐστι τῆς αὐτοῦ πρεσβείας (τῆς add. GO) πρὸς γάϊον CGO: Φίλωνος περὶ ἀρετῶν ὅ ἐστι τῆς αὐτοῦ πρεσβείας πρὸς γάϊον M, περὶ ἀρετῶν καὶ πρεσβείας πρὸς γάϊον H (v), τοῦ αὐτοῦ Φίλωνος ἰουδαίου ἱστορία πάνυ χρήσιμος καὶ ὠφέλιμος περὶ τῶν κατὰ τὸν γάϊον καὶ τῆς αἰτίας τῆς πρὸς ἅπαν τὸ ἰουδαίων ἔθνος ἀπεχθείας αὐτοῦ A, Γάιος ψεγόμενος Phot. Bibl. cod. 105 4 ἄχρι] μέχρι D Anton. Mel. 5 πολιοί] παλαιοί Anton. Mel. ὑπὸ A 6. 7 τὸ δὲ παγιώτατον om. A 7 δὲ ante φύσιν add. A 8 πετείαις M πράξεις] τάξεις coni. Mang. οἰόμεθα A 9 pr. τῶν] τῇ A τῶν φύσει om. L εἶναι post ἀβεβαιότερα add. A (Mang.) 10 βραβεύειν] θεραπεύειν coni. Mang. (probat Ernesti) 11 ἀπλανοῦς O (coni. Mang.): ἀφανῶς C, ἀφανοῦς ceteri (v) 12 χερσὶν L 13 οὗ] οὐ M 14 τῆς] τοῦ A ὁμάτων M ἀκράτω≡ (σ eras. vid.) C, ἀκράτοις A 16 αὐτῶν M μέγισται ὑπερθέσεις A

---

4. 5 D^{R} fol. 131^{r} Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβείας Anton. Mel. II 18 Col. 1057 Φίλωνος: μέχρι τίνος — νήπιοι. 11—13 D^{R} fol. 195^{v} τοῦ αὐτοῦ Anton. Mel. II 87 Col. 1209 Φίλωνος: ὀφθαλμοῖς μὲν τὰ ἐν φανερῷ καὶ τὰ ἐν χερσὶ καταλαμβάνεται, λογισμὸς δὲ ἀκέραιος (ἀόρατος coni. Mang.) φθάνει — μέλλοντα.

κἂν εἰ ἄπιστοι γεγόνασί τινες τοῦ προνοεῖν τὸ θεῖον ἀνθρώπων, καὶ μάλιστα τοῦ ἱκετικοῦ γένους, ὃ τῷ πατρὶ καὶ βασιλεῖ τῶν ὅλων καὶ πάντων αἰτίῳ
4 προσκεκλήρωται, ἱκαναὶ [τοῦ] πεῖσαι αὐτούς. τοῦτο δὲ τὸ γένος Χαλδαϊστὶ μὲν Ἰσραὴλ καλεῖται, Ἑλληνιστὶ δὲ ἑρμηνευθέντος τοῦ ὀνόματος „ὁρῶν θεόν", ὅ μοι δοκεῖ πάντων χρημάτων ἰδίων τε καὶ κοινῶν εἶναι τιμιώτατον.
5 εἰ γὰρ πρεσβυτέρων ἢ ὑφηγητῶν ἢ ἀρχόντων ἢ γονέων ὄψις κινεῖ τοὺς βλέποντας πρὸς αἰδῶ καὶ εὐκοσμίαν καὶ σώφρονος βίου ζῆλον, πόσον τι νομίζομεν ἀρετῆς ἕρμα καὶ καλοκαγαθίας ἀνευρήσειν ἐν ψυχαῖς, αἳ τὸ γενητὸν πᾶν ὑπερκύψασαι τὸ ἀγένητον καὶ θεῖον ὁρᾶν πεπαίδευνται, τὸ πρῶτον ἀγαθὸν καὶ καλὸν καὶ εὔδαιμον καὶ μακάριον, εἰ ⟨δὲ⟩ δεῖ τἀληθὲς
10 εἰπεῖν, τὸ κρεῖττον μὲν ἀγαθοῦ, κάλλιον δὲ καλοῦ, καὶ μακαριότητος μὲν μακαριώτερον, εὐδαιμονίας δὲ αὐτῆς εὐδαιμονέστερον, καὶ εἴ δή τι τῶν
6 εἰρημένων τελειότερον. οὐ γὰρ φθάνει προσαναβαίνειν ὁ λόγος ἐπὶ τὸν ἄψαυστον καὶ ἀναφῆ πάντῃ θεόν, ἀλλ' ὑπονοστεῖ καὶ ὑπορρεῖ κυρίοις
15 ὀνόμασιν ἀδυνατῶν ἐπιβάθρᾳ χρῆσθαι πρὸς δήλωσιν, οὐ λέγω τοῦ ὄντος — οὐδὲ γὰρ ὁ σύμπας οὐρανὸς ἔναρθρος φωνὴ γενόμενος εὐθυβόλων καὶ εὐσκόπων εἰς τοῦτο ἂν εὐποροίη ῥημάτων — ἀλλὰ τῶν δορυφόρων αὐτοῦ δυνάμεων, κοσμοποιητικῆς τε καὶ βασιλικῆς καὶ προνοητικῆς καὶ
7 τῶν ἄλλων ὅσαι εὐεργέτιδές τε καὶ κολαστήριοι, εἰ καὶ τὰς κολαστηρίους
20 ἐν εὐεργέτισι τακτέον, οὐ μόνον ἐπειδὴ νόμων καὶ θεσμῶν εἰσι μοῖραι — νόμος γὰρ ἐκ δυοῖν συμπληροῦσθαι πέφυκε, τιμῆς ἀγαθῶν καὶ πονηρῶν κολάσεως —, ἀλλ' ὅτι καὶ ἡ κόλασις νουθετεῖ καὶ σωφρονίζει πολλάκις μὲν καὶ τοὺς ἁμαρτάνοντας, εἰ δὲ μή, πάντως γοῦν τοὺς πλησιάζοντας· αἱ γὰρ ἑτέρων τιμωρίαι βελτιοῦσι τοὺς πολλοὺς φόβῳ τοῦ μὴ παραπλήσια παθεῖν.

* * *

1 κἂν εἰ ἄπιστοι CGO (Mang.): ἱκανὴ πίστις ceteri; κἂν ἱκαναὶ πίστεις Turn. γεγόνασιν L τινες CGO: om. ceteri 2 οἰκετικοῦ A 3 ἱκανὴ A τοῦ seclusi, τὸ coni. Wendl. 5 χρημάτων om. A τε ἰδίων transp. O 6 εἰ] ἡ L ὑφηγητῶν ἢ πρεσβυτέρων ἢ γονέων ἢ ἀρχόντων transp. A 8 καὶ ⟨πλήρωμα⟩ coni. Mang. ἀνευρήσειν Turn. (v): ἀνεύρεσιν codd. 9 καὶ om. A 10 καὶ καλὸν om. M, post εὔδαιμον transp. O εὔδομον M ⟨δὲ⟩ δεῖ Mang.: δεῖ codd. (v) 11 μακαριότητος] μακαριώτατος H^1, μακαριώτατον H^2; μακαρίου L (Turn.) 12 δ' A δή H: δεῖ CGA, corr. in δή MO 14 πάντα C ἀλλ'] καὶ A 15 ἐπιβάθραις D, ἐπιβόθρα (sic) L χρήσασθαι A 16. 17 εὐθυβολῶν καὶ εὐσκοπῶν D 17 τοῦτ' MA 18 καὶ προνοητικῆς om. A προνητικῆς M 19 μὴ post εἰ add. A (Mang.), om. ceteri (Turn.) 20 εἰσιν C 21 δυεῖν C συμπληροῦσθαι CGOM (Mang.): πληροῦσθαι AH (Turn.) πέφυκεν C πονηρῶν] μωρῶν A 22 σωφρονίζει καὶ νουθετεῖ transp. D^K 23 pr. τοὺς om. D^P 24 παθεῖν] post haec lacunam statuendam esse recte animadvertit Massebieau

13—17 D^C fol. 45v D^R fol. 23r D^L fol. 27r ἐκ τῆς πρὸς Γάιον πρεσβείας: οὐ φθάνει — ῥημάτων. 22—24 D^K fol. 253r ἐκ τῆς πρὸς Γάιον πρεσβείας D^R fol. 259r τοῦ αὐτοῦ D^P fol. 324v D^V p. 683: ἡ κόλασις νουθετεῖ — παθεῖν.

(2.) Τίς γὰρ ἰδὼν Γάιον μετὰ τὴν Τιβερίου Καίσαρος τελευτὴν 8
παρειληφότα τὴν ἡγεμονίαν πάσης γῆς καὶ θαλάσσης ἀστασίαστον καὶ
εὔνομον καὶ πᾶσι τοῖς μέρεσιν ἡρμοσμένην εἰς τὸ σύμφωνον, ἑῴοις,
ἑσπερίοις, μεσημβρινοῖς, ἀρκτικοῖς — τοῦ μὲν βαρβαρικοῦ γένους τῷ
p. 547 M. | Ἑλληνικῷ, τοῦ δ' Ἑλληνικοῦ τῷ βαρβαρικῷ, καὶ τοῦ μὲν στρατιωτικοῦ
τῷ κατὰ πόλεις, τοῦ δὲ πολιτικοῦ τῷ στρατευομένῳ συμφρονήσαντος εἰς
μετουσίαν καὶ ἀπόλαυσιν εἰρήνης — οὐκ ἐθαύμασε καὶ κατεπλάγη τῆς
ὑπερφυοῦς καὶ παντὸς λόγου κρείττονος εὐπραγίας, ἐξ ἑτοίμου τἀγαθὰ 9
ἀθρόα σωρηδὸν κεκληρονομηκότα, παμπληθεῖς θησαυροὺς χρημάτων,
ἄργυρον καὶ χρυσόν, τὸν μὲν ὡς ὕλην, τὸν δὲ ὡς νόμισμα, τὸν δὲ ὡς
προκόσμημα δι' ἐκπωμάτων καί τινων ἑτέρων ἃ πρὸς ἐπίδειξιν τεχνιτεύε-
ται, παμπληθεῖς δυνάμεις, πεζάς, ἱππικάς, ναυτικάς, προσόδους ὥσπερ
ἐκ πηγῶν ἀενάῳ τινὶ φορᾷ χορηγουμένας, ἀρχὴν οὐχὶ τῶν πλείστων καὶ 10
ἀναγκαιοτάτων μερῶν τῆς οἰκουμένης, ἃ δὴ καὶ κυρίως ἄν τις οἰκουμένην
εἴποι, δυσὶ ποταμοῖς ὁριζομένην, Εὐφράτῃ τε καὶ Ῥήνῳ, τῷ μὲν ἀπο-
τεμνομένῳ Γερμανίαν καὶ ὅσα ἠρικωδέστερα ἔθνη, Εὐφράτῃ δὲ Παρθυηνὴν
καὶ τὰ Σαρματῶν γένη καὶ Σκυθῶν, ἅπερ οὐχ ἧττον ἐξηγρίωται τῶν
Γερμανικῶν, ἀλλ', ὡς εἶπον ἤδη, τὴν ἀφ' ἡλίου ἀνιόντος ἄχρι δυομένου
τήν τε ἐντὸς ὠκεανοῦ καὶ ὑπερωκεάνιον; ἐφ' οἷς ὅ τε Ῥωμαίων δῆμος
ἐγεγήθει καὶ πᾶσα Ἰταλία τά τε Ἀσιανὰ καὶ Εὐρωπαῖα ἔθνη. ὡς γὰρ 11
ἐπ' οὐδενὶ τῶν πώποτε γενομένων αὐτοκρατόρων ἅπαντες ἠγάσθησαν,
κτῆσιν καὶ χρῆσιν ἰδίων τε καὶ κοινῶν ἀγαθῶν οὐκ ἐλπίζοντες ἕξειν,
ἀλλ' ἔχειν ἤδη νομίζοντες πλήρωμά τινος εὐτυχίας, ἐφεδρευούσης εὐδαι-
μονίας. οὐδὲν γοῦν ἦν ἰδεῖν ἕτερον κατὰ πόλεις ἢ βωμούς, ἱερεῖα, 12
θυσίας, λευχειμονοῦντας, ἐστεφανωμένους, φαιδρούς, εὐμένειαν ἐξ ἱλαρᾶς
τῆς ὄψεως προφαίνοντας, ἑορτάς, πανηγύρεις, μουσικοὺς ἀγῶνας, ἱππο-
δρομίας, κώμους, παννυχίδας μετ' αὐλῶν καὶ κιθάρας, τέρψεις, ἀνέσεις,

---

1 τοῦ ante Τιβερίου add. A (Mang.), om. ceteri (Turn.) 2 θαλάσσης CGO: θαλάτ-
της ceteri (v) 3 καὶ om. M ἡρμοσμένον Turn. 5 δ' CGA: δὲ
ceteri (v) στρατιωκοῦ C 6 τὸ στρατευόμενον O συμφρονήσαντος
CGOMAH (coni. Mang.): συμφωνήσαντος L (v) 7 μετουσίαν καὶ] θαυμασίαν A
τῆς] τῆς δὲ A, τῆς τε Mang. 8 ὑποφυοῦς M τἀγαθὰ CAL (Turn.): τὰ ἀγαθὰ
ceteri (Mang.) 9 κεκληρονομηθέντα H 11 προκόσμημα Mang.: προβό-
σκημα codd. (v) 12 ναυτικὰς ἱππικὰς transp. A προσώδους C
13 ἀενάῳ CG: ἀεννάῳ MH (v), ἀεννάων OA φορᾷ τινι transp. A χορηγού-
μενον GO, alt. ν in ι corr. vid. C 14 ἄν τις om. M εἴποι post τις add.
H¹, expunxit H² 16 παρθυηνὴν CG (παρθυήνην H, mavult Mang.): παρθυκὴν
M, παρθικὴν OA; Παρθυὴν v 17 σκηθῶν M ἐξηγρίωνται A
19 pr. τ' A ὠκενοῦ C ὑπερ (sic) ὠκεανὸν C 20 ἐγεγήθει] ἐγε-
νήθη CGO τ' A εὐρωπέα CGL 21 ἐπ'] ὑπ' A γενα-
μένων G ἠγάσθησαν] ἠγαλλιάσθησαν coni. Mang. 22 ἐπελπίζοντες G
23 ἤδη om. M ⟨καὶ⟩ ἐφεδρευούσης coni. Mang. 25 ἐστεφανομένους G

13 ἐκεχειρίας, παντοίας ἡδονὰς διὰ πάσης αἰσθήσεως. τότε οὐ πλούσιοι πενήτων προύφερον, οὐκ ἔνδοξοι ἀδόξων, οὐ δανεισταὶ χρεωστῶν, οὐ δεσπόται δούλων περιῆσαν, ἰσονομίαν τοῦ καιροῦ διδόντος, ὡς τὸν παρὰ ποιηταῖς ἀναγραφέντα Κρονικὸν βίον μηκέτι νομίζεσθαι πλάσμα μύθου διά τε τὴν εὐθηνίαν καὶ εὐετηρίαν τό τε ἄλυπον καὶ ἄφοβον καὶ τὰς πανοικίας ὁμοῦ καὶ πανδήμους μεθ' ἡμέραν τε καὶ νύκτωρ εὐφροσύνας, αἳ μέχρι μηνῶν ἑπτὰ τῶν πρώτων ἄπαυστοι καὶ συνεχεῖς | ἐγένοντο. p. 548 M.

14 τῷ δὲ ὀγδόῳ κατασκήπτει βαρεῖα νόσος τῷ Γαΐῳ τὴν πρὸ μικροῦ δίαιταν, ὅτε ἔζη Τιβέριος, εὐκολωτέραν καὶ διὰ τοῦτο ὑγιεινοτέραν οὖσαν εἰς πολυτέλειαν μεθαρμοσαμένῳ. πολὺς γὰρ ἄκρατος καὶ ὀψοφαγίαι καὶ ἐπὶ πλήρεσι τοῖς ὄγκοις ἀπλήρωτοι ἐπιθυμίαι θερμολουσίαι τε ἄκαιροι καὶ ἔμετοι καὶ εὐθὺς πάλιν οἰνοφλυγίαι καὶ ἔφεδροι γαστριμαργίαι, λαγνεῖαι διὰ παίδων καὶ γυναικῶν, καὶ ὅσα ἄλλα καθαιρετικὰ ψυχῆς καὶ σώματος καὶ τῶν ἐν ἑκατέρῳ δεσμῶν συνεπέθετο. τὰ δὲ ἐπίχειρα ἐγκρατείας μὲν ὑγεία καὶ ἰσχύς, ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ.

15 (3.) Διαγγελείσης οὖν τῆς ὅτι νοσεῖ φήμης, ἔτι πλοΐμων ὄντων — ἀρχὴ γὰρ ἦν μετοπώρου, τελευταῖος πλοῦς τοῖς θαλαττεύουσιν, ἀπὸ τῶν πανταχόθεν ἐμπορίων εἰς τοὺς οἰκείους λιμένας καὶ ὑποδρόμους ἐπανιοῦσι, καὶ μάλιστα οἷς πρόνοια τοῦ μὴ διαχειμάζειν ἐπὶ ξένης ἐστί — μεθέμενοι τὸν ἀβροδίαιτον βίον ἐσκυθρώπαζον, συννοίας τε καὶ κατηφείας πᾶσα οἰκία καὶ πόλις γεγένητο μεστή, ἰσορρόπῳ λύπῃ τῆς πρὸ

16 μικροῦ χαρᾶς ἀμφικλινοῦς γενομένης. τὰ γὰρ μέρη πάντα τῆς οἰκουμένης αὐτῷ συνενόσησε, βαρυτέρᾳ νόσῳ χρησάμενα τῆς κατασχούσης Γάιον· ἐκείνη μὲν γὰρ σώματος ἦν αὐτὸ μόνον, ἡ δὲ τῶν πανταχοῦ πάντων, ψυχικῆς εὐσθενείας, εἰρήνης, ἐλπίδων, μετουσίας καὶ ἀπολαύσεως

---

4 ποιητὰς O 5 διά τε C (Mang.): διὰ δὲ GO, διὰ ceteri (Turn.) τό τ' A 6 τὲ ante ὁμοῦ add. M πανδ≡(μους (o eras.) C 7 ἄπαυστοι] ἀδιάστατοι coni. Mang. ἐγίνοντο A 8 δ' A νόσος (alt. o ex ω) C 9 ὅτ' MA εὐκολοτέραν L (v) 10 ὀψοφαγίαι CGOMA (prob. Mang.): ὀψοφαγία H (v) 13 δσ' A τε post ψυχῆς add. A 14 δεσμῶν] θεσμῶν coni. Mang. δ' A ἐγκρατείας] σωφροσύνης A 15 ὑγίεια M δ' A 16 πλωΐμων M, προΐμων L 18 ἁπανταχόθεν MH (Turn.) 19 ἐπανιοῦσιν L τοῦ] τὸ C ξένῃ Turn. ἐστίν H (v) 21 οἰκία καὶ om. MA ἡ ante πόλις add. A γεγένητο CGOMH: ἐγένετο A (Mang.); ἐγεγένητο Turn. λύπῃ] φήμη A τῇ O 23 χρησάμενα] χρήματα A 24 αὐτὸ Turn.,(v): αὐτῷ codd. 25 ψυχικῆς codd. (Turn.): ψυχῆς Ven. 41 (Mang.) εὐσθενείας] εὐθηνίας A (prob. Mang.)

---

14. 15 Flor. Laur. nr. 13 ἐγκρατείας τὰ ἐπίχειρα ὑγεία — νόσος. D^{B} fol. 217 Φίλωνος Mel. Barocc. fol. 134r τοῦ Φίλωνος Maximi nonnulli codd. Ecl. cap. 27 Anton. Mel. I 38 Col. 908 (et 39 Col. 913) Φίλωνος: ἐγκρατείας μὲν ἴδιον ὑγίεια καὶ ἰσχύς — θανάτῳ (= Tischendorf, Philonea p. 155).

ἀγαθῶν. ἀνεπόλουν γὰρ ὅσα καὶ ἡλίκα κακὰ ἐξ ἀναρχίας φύεται· λιμόν, 17
πόλεμον, δενδροτομίας, δηώσεις χωρίων, στερήσεις χρημάτων, ἀπαγωγάς,
τοὺς περὶ δουλείας καὶ θανάτου φόβους ἀνηκέστους, ὧν ἰατρὸς ἦν οὐδείς,
μίαν ἐχόντων θεραπείαν τὸ ῥωσθῆναι Γάιον. ὅτε γοῦν ἤρξατο λωφᾶν 18
ἡ νόσος, ἐν βραχεῖ καὶ οἱ μέχρι περάτων συνήσθοντο — φήμης γὰρ
οὐδὲν ὠκύτερον —, καὶ μετέωρος πᾶσα πόλις ἦν ἀκοῆς ἀεὶ διψῶσα
βελτίονος, ἕως διὰ τῶν ἐπιφοιτώντων παντελὴς ῥῶσις εὐηγγελίσθη, δι'
ἣν πάλιν ἐξ ὑπαρχῆς ἐπὶ τὰς αὐτὰς ἐτρέποντο θυμηδίας, ἰδίαν ἑαυτῶν
νομίζουσαι σωτηρίαν πᾶσαι μὲν ἤπειροι πᾶσαι δὲ νῆσοι. μέμνηται γὰρ 19
οὐδεὶς τοσαύτην μιᾶς χώρας ἢ ἑνὸς ἔθνους γενέσθαι χαρὰν ἐπὶ σωτηρίᾳ
καὶ καταστάσει ἡγεμόνος, ὅσην ἐπὶ Γαΐῳ συμπάσης τῆς οἰκουμένης καὶ
παραλαβόντι τὴν ἀρχὴν καὶ ῥωσθέντι ἐκ τῆς ἀσθενείας. ὥσπερ γὰρ ἐκ 20
νομάδος βίου καὶ θηριώδους νῦν πρῶτον ἀρχόμενοι μεταβάλλειν πρὸς τὸ
p. 549 M. σύννομον καὶ | ὁμοδίαιτον καὶ ἐξ ἐρημίας καὶ σηκῶν καὶ ὑπωρειῶν
εἰσοικίζεσθαι πόλεσι τειχήρεσι καὶ ἐξ ἀνεπιτροπεύτου ζωῆς ὑπὸ ἐπιτρόπῳ
τάττεσθαι νομεῖ τινι καὶ ἀγελάρχῃ τῆς ἡμερωτέρας ἀγέλης ἐγεγήθεσαν
ἀγνοίᾳ τῆς ἀληθείας· τυφλώττει γὰρ ὁ ἀνθρώπινος νοῦς πρὸς τὴν τοῦ 21
συμφέροντος ὄντως αἴσθησιν εἰκασίᾳ καὶ στοχασμῷ μᾶλλον ἢ ἐπιστήμῃ
χρῆσθαι δυνάμενος.

(4.) Εὐθὺς γοῦν οὐκ εἰς μακρὰν ὁ σωτὴρ καὶ εὐεργέτης εἶναι 22
νομισθεὶς καί τινας ἀγαθῶν πηγὰς νέας ἐπομβρήσειν Ἀσίᾳ τε καὶ
Εὐρώπῃ πρὸς εὐδαιμονίαν ἀκαθαίρετον, ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσι κοινῇ,
τὸ λεγόμενον δὴ τοῦτο „ἀφ' ἱερᾶς" ἤρξατο μεταβαλὼν πρὸς τὸ ἀτί-
θασον, μᾶλλον δὲ ἦν συνεσκίαζεν ἀγριότητα τῷ πλάσματι τῆς ὑποκρί-

---

3 οὐδεὶς ἦν transp. A 4 λοφᾶν C 5 συνήσθηντο M, ἤσθοντο A
8 ἐτρέπετο M 10 τοσαύτην MGAH (Mang.): τοσαύτης CO (Turn.) χώρας
μιᾶς transp. H (v) 10. 11 σωτηρίᾳ καὶ om. A 11 ὅσον A; ὡς ἦν Mang.
τῆς οἰκουμένης συμπάσης transp. A 11. 12 καὶ παραλαβόντι A (Mang.): καίπερ
ἁλύοντος ceteri (Turn.) 12 ῥωσθέντι A (Mang.): ῥωσθέντος ceteri (Turn.)
γὰρ om. A 14 tert. καὶ om. H (Turn.) ὑπωρειῶν OMAH (Mang.):
ὑπωριῶν G, ὑποριῶν C; ὑπορειῶν Turn. 15 καὶ ante εἰσοικίζεσθαι add. M
16 ἀγελάρχῃ CGOMA (Mang.): ἀγελάρχῳ H (Turn.) ἡμετέρας C ἐγεγήθεσαν CGO:
ἐγεγήθεισαν ceteri (v) 17 ἀνθρώπειος H (v) 18 αἴσθησιν AH (v): αἵρεσιν CGOM
εἰκασίᾳ CGOMA (Mang.): εἰκασμῷ H (Turn.) 20 οὖν MA ὁ om. Mang.
εἶναι om. A 21 νομιζόμενος A νέας om. ML ἐπομβρίσειν CO, ἐπομ-
βρύσειν G, ἐπεμβρήσειν M 23 ἀφ' ἱερᾶς codd.: ἀφ' ἑστίας v
23. 24 ἀτίθασσον A (v)

1—3 D^{K} fol. 77^{r} Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβύτερον D^{P} fol. 10^{v} Φίλωνος ἐκ τοῦ
πρὸς Γάιον D^{L} fol. 61^{v} Φίλωνος ἐκ τοῦ πρὸς Γάιον D^{R} fol. 32^{r} D^{L} fol. 36^{v} D^{V} p. 359
Φίλωνος: ὧ πόσα καὶ ἡλίκα — φύεται· λιμός, πόλεμος, δηώσεις (λέωσις D^{P}) χωρίων
(δηώσεις χωρίων om. D^{R}), στέρησις χρημάτων, ἀπαγωγαί (vel ἀπαγωγή), οἱ περὶ —
φόβοι. 5. 6 D^{K} fol. 275^{r} Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβείας D^{V} p. 711
Φίλωνος: φήμης οὐδὲν ὠκύτερον.

23 σεως ἀναφήνας. τὸν γὰρ ἀνεψιὸν καὶ κοινωνὸν ἀπολειφθέντα τῆς ἀρχῆς καὶ οἰκειότερον αὐτοῦ διάδοχον — ὁ μὲν γὰρ θέσει υἱωνὸς ἦν, ὁ δὲ φύσει Τιβερίου — κτείνει προφασισάμενος ἐπιβουλήν, μηδὲ τῆς ἡλικίας χωρούσης ἔγκλημα τοιοῦτον· ἄρτι γὰρ ἐκ παίδων εἰς μειράκιον ὁ δύστηνος
24 μετῄει. καὶ ὥς γέ φασί τινες, εἰ βραχὺν ἐπεβίω χρόνον Τιβέριος, ὁ μὲν ἂν ἐκποδὼν ἐγεγένητο Γάιος, δι' ὑποψιῶν κεχωρηκὼς ἀνηκέστων, ὁ δὲ γνήσιος υἱωνὸς μόνος ἀπεδέδεικτο ἡγεμὼν καὶ κληρονόμος τῆς παππῴας
25 ἀρχῆς. ἀλλ' ὁ μὲν ὑπὸ τῆς εἱμαρμένης ἔφθη συναρπασθείς, πρὶν ἐπὶ τέλος ἀγαγεῖν τὰ βουλεύματα· Γάιος δὲ τὴν ἐκ τοῦ παραβαίνειν τὰ πρὸς τὸν κοινωνὸν δίκαια διαβολὴν ἐνόμιζεν ἀποδράσεσθαι καταστρατηγῶν.
26 τὸ δὲ σόφισμα τοιοῦτον ἦν· συναγαγὼν τοὺς ἐν τέλει „βούλομαι μὲν" ἔφη „τὸν γένει μὲν ἀνεψιὸν εὐνοίᾳ δὲ ἀδελφόν, ἑπόμενος καὶ τῇ τοῦ τετελευτηκότος Τιβερίου γνώμῃ, κοινοπραγεῖν τῆς αὐτοκρατοῦς ἐξουσίας· ὁρᾶτε δὲ καὶ αὐτοὶ νήπιον ἔτι ὄντα κομιδῇ καὶ χρῄζοντα ἐπιτρόπων καὶ
27 διδασκάλων καὶ παιδαγωγῶν. ἐπεὶ τί ἂν ἦν μεῖζον ἀγαθὸν ἢ τὰ τοσαῦτα βάρη τῆς ἡγεμονίας μὴ μίαν ψυχὴν ἢ σῶμα ἓν ἐπηχθίσθαι, ἀλλ' ἔχειν τὸν δυνησόμενον ἐπελαφρίζειν καὶ συνεπικουφίζειν; ἐγὼ δὲ" ἔφη „παιδαγωγοὺς καὶ διδασκάλους καὶ ἐπιτρόπους ὑπερβαλὼν ἐμαυτὸν μὲν ἤδη
28 γράφω πατέρα, υἱὸν δὲ ἐκεῖνον." (5.) | τούτοις καὶ τοὺς παρόντας p. 550 M.
ἀπατήσας καὶ τὸ μειράκιον — δέλεαρ γὰρ ἦν ἡ θέσις οὐκ ἐλπιζομένης ἡγεμονίας, ἀλλ' ἀφαιρέσεως ἧς εἶχεν ἤδη — τῷ συγκληρονόμῳ καὶ κοινωνῷ δικαίῳ μετὰ πολλῆς ἀδείας οὐδενὸς ἔτι πεφροντικὼς ἐπεβούλευεν. ἡ γὰρ υἱοῦ παντελὴς ἐξουσία κατὰ τοὺς τῶν Ῥωμαίων νόμους

---

1 ἀπολειφθέντα] ἀποδειχθέντα coni. Mang. 4 πρὸς ante ἔγκλημα add. CGO οτ τοσοῦτον M ὁ δύστηνος εἰς μειράκιον transp. M 5 ἐπεβίωσε O 6 ἂν] γὰρ A δι'] δ' M 7 ἂν ἀποδέδειτο M, ἀπεδείκνυτο A, ἀποδέδεικτο L 8 ὑπὸ] ἐπὶ O 9 ἀγαγεῖν OMAH: ἐπαγαγεῖν CG τὴν] τῇ M, τοῦ H^1, τῆς H^2L 10 κοινωνὸν] κοινὸν εὐεργέτην A διαβολὴν CA: διαβολὴ O, διαβολῇ GM, διαμόνης H ἀποδράσεσθαι CGA (Mang.): ἀποδράσασθαι OMH (Turn.) καταστρατηγῶν ⟨σοφίσματι⟩ coni. Mang. 11 τοιοῦτον σόφισμ' transp. A βουλοίμην coni. Mang. (Dahl) μὲν om. A 13 τελευτηκότος GH, τελευτήσαντος M 14 pr. καὶ om. H αὐτὸν A ἔτ' A, om. M 15 ἢ] εἰ AH 16 μία ψυχὴ A ἐπηχθίσθαι CM: ἐπιχθῆσθαι G, ἐπηχθῆσθαι O, ἐπηχθίσθη A, ἐπηχθίσται H ἔχειν] ἔσχε A 17 ἐπικουφίζειν H δ' A ἔφη seclusit Dahl 18 ὑπερβαλὼν] ὑπερβὰς coni. Mang., ὑπερβαίνων coni. Cohn. μὲν CGO: om. ceteri (v) 19 δ' A 20 δέλεαρ — θέσις om. A 21 ἀλλὰ C ἧς Cohn et Wendl.: ἦν codd. (v) εἶχον M τῷ GOAH: τῶν CM συγκληρονόμω A (coni. Mang.): σκληρονόμων G, συγκληρονόμων ceteri (v); συγκληρονομεῖν coni. Ernesti 21. 22 καὶ κοινωνῷ om. OA 22 κοινωνῷ Mang.: κοινωνῶν codd. (v): κοινωνεῖν coni. Ernesti δικαίῳ CGOH: δικαίων MA (coni. Mang.) οὐδὲν H 23 τῶν om. MA

ἀνάκειται πατρί, δίχα τοῦ καὶ ἀνυπεύθυνον ἀρχὴν εἶναι τὴν αὐτοκράτορα, μηδενὸς ἐπὶ τοῖς ὁπωσοῦν πεπραγμένοις λόγον ἀπαιτεῖν τολμῶντος ἢ δυναμένου. τοῦτον μὲν δὴ καθάπερ ἐν τοῖς ἀγῶσιν ἔφεδρον ὑπολαβὼν 29 εἶναι καταπαλαίει, μήτε συντροφίας μήτε οἰκειότητος μήτε ἡλικίας οἰκτον λαβών, δύστηνον, ὠκύμορον, συνάρχοντα, συγκληρονόμον, τὸν ἐλπισθέντα ποτὲ καὶ μόνον αὐτοκράτορα διὰ τὴν πρὸς Τιβέριον ἐγγυτάτω συγγένειαν· υἱωνοὶ γὰρ πατέρων ἀποθανόντων ἐν υἱῶν τάξει παρὰ πάπποις καταριθμοῦνται. λέγεται δὲ ὅτι καὶ κελευσθεὶς αὐτοχειρίᾳ κτείνειν ἑαυτόν, 30 ἐφεστώτων ἑκατοντάρχου καὶ χιλιάρχου, οἷς εἴρητο μὴ συνεφάψασθαι τοῦ ἄγους, ὡς οὐκ ἐξὸν αὐτοκρατόρων ἀπογόνους πρὸς ἑτέρων ἀναιρεῖσθαι — νόμων γὰρ ἐν ἀνομίαις καὶ ὁσιότητος ἐν ἀνοσιουργίαις ἐμέμνητο κατειρωνευόμενος τὴν φύσιν τῆς ἀληθείας —, ἀπείρως ἔχων — οὐδὲ γὰρ ἕτερόν τινα κτεινόμενον εἶδεν οὐδὲ ἤσκητό πω ταῖς ὁπλομαχίαις, αἷ μελέται καὶ προγυμνάσματα παίδων ἐφ' ἡγεμονίᾳ τρεφομένων εἰσὶ διὰ τοὺς ἐνισταμένους πολέμους — τὸ μὲν πρῶτον τοὺς ἥκοντας παρεκάλει τὸν αὐχένα προτείνας ἀνελεῖν. ὡς δ' οὐχ ὑπέμενον, αὐτὸς λαβὼν τὸ 31 ξίφος ἐπυνθάνετο τὸν καιριώτατον τόπον ὑπ' ἀγνοίας καὶ ἀηθείας, ἵνα εὐσκόπῳ πληγῇ τὴν ἀθλίαν ζωὴν ἀπορρήξῃ. καὶ οἱ μὲν οἷα διδάσκαλοι κακοδαιμονίας ὑφηγοῦντό τε καὶ ἐδείκνυσαν τὸ μέρος, ᾧ χρὴ τὸ ξίφος ἐπενεγκεῖν· ὁ δὲ πρώτην καὶ ὑστάτην μάθησιν ἀναδιδαχθεὶς ἀνδροφόνος αὐτὸς αὑτοῦ γίνεται βιασθείς, ὁ δύστηνος.

(6.) Ἐπεὶ δὲ ὁ πρῶτος καὶ μέγιστος ἆθλος οὗτος Γαΐῳ κατείργαστο, 32 μηδενὸς ἔτι λειπομένου ⟨κοινωνοῦ⟩ τῆς ἡγεμονίας πρὸς ὃν ἀποκλινοῦσί τινες τῶν ἐθελοκακούντων καὶ ἐν ὑποψίαις ὄντων, ἐπὶ δεύτερον εὐθὺς ἐκνίετο τὸν
p. 551 M. Μάκρωνος, ἀνδρὸς εἰς πάντα αὐτῷ | συναγωνισαμένου τὰ τῆς ἀρχῆς, οὐ μόνον ἀποδειχθέντι ἡγεμόνι — κολακείας γὰρ ἴδιον τὰς εὐπραγίας θεραπεύειν — ἀλλὰ καὶ πρότερον εἰς τὸ τυχεῖν τῆς ἡγεμονίας. ὁ γὰρ Τιβέ- 33

1 ἀντίκειται H καὶ τοῦ transp. M καὶ om. O τὴν] τὸν H αὐτοκράτορος coni. Mang. 2 ὁποσοῦν M πεπραγμένοις ὁπωσοῦν transp. A πεπραγμένοις] γινομένοις M 3 ἀγω≡σιν (σιν ἔ eras.) C 4 tert. μήτε] μήθ' A 6 οὐκ post μόνον „ex mss.“ se restituisse ait Mang., sed om. codd. omnes (Turn.) ἐγγυτάτην H (Turn.) 7 υἱωνοὶ] υἱῶν· οἱ CGO ἀποθανόντων πατέρων transp. A υἱωνοὶ post ἀποθανόντων add. CGO 8 δ' A κτεῖναι ἑαυτῶν A 9 ἑκατοντάρχων καὶ χιλιάρχων H (Turn.) 10 τοῦ] τοὺς G ἄγους H ἐξὸν G, ἐξῆν A ἀναιρεῖσθαι] ἀπολεῖσθαι A 13 ἴδεν G οὐδὲ codd: οὐδ' v 14 εἰσὶν CL 15 μὲν om. A γὰρ ante πρῶτον add. M 16 προτείνας O: ἀποτείνας ceteri (v) δὲ GO 17 ὑπ'] τῆς A ἵν' A 20 ἐνεγκεῖν O 21 αὐτοῦ GOM 22 δ' A οὕτως M 23 ⟨κοινωνοῦ⟩ τῆς ἡγεμονίας Cohn: τῆς ἡγεμονίας codd. (v); τῆς συγγενείας vel τῆς ἡγεμονίδος οἴκου coni. Mang. ἀποκλίνουσι GH 24 τὸν] τῶν M 25 ἅπαντ' A 26 εὐπραγίας A (Mang.): εὐπραξίας ceteri (Turn.)

26. 27 D^K fol. 191r ἐκ τῆς πρὸς Γάϊον πρεσβείας: κολάκων ἴδιον τὰς εὐπραξίας θεραπεύειν.

ριος φρονήσει βαθείᾳ χρώμενος καὶ τῶν κατ' αὐτὸν ἁπάντων δεινότατος
ὢν ἀφανὲς ἀνθρώπου βούλημα συνιδεῖν καὶ ἐπὶ τοσοῦτον συνέσει διενεγκών,
ἐφ' ὅσον καὶ εὐτυχίᾳ, πολλάκις ὑπεβλέπετο τὸν Γάιον ὡς κακόνουν μὲν
ἅπαντι τῷ Κλαυδίων οἴκῳ, προσκείμενον δὲ μόνῳ τῷ μητρῴῳ γένει —
34 καὶ ἐδεδίει περὶ τοῦ υἱωνοῦ, μὴ νέος ἀπολειφθεὶς παραπόληται —, πρὸς
δὲ ἀρχὴν καὶ τοσαύτην ἀνεπιτηδείως ἔχοντα διά τε τὸ τῆς φύσεως
ἄμικτον καὶ ἀκοινώνητον καὶ τὴν τῶν ἠθῶν ἀνωμαλίαν· ἀλλόκοτα γὰρ
αὐτῷ καὶ ἐπιμανῆ κατεφαίνετο, μηδεμιᾶς σῳζομένης ἀκολουθίας, μήτε ἐν
35 λόγοις μήτε ἐν ἔργοις. ἃ παντὶ σθένει κατὰ τὸ παρεῖκον ὁ Μάκρων ἐθεράπευε, τὰς μὲν ὑπονοίας τοῦ Τιβερίου καὶ ἐν οἷς μάλιστ' ἐδόκει τὴν διάνοιαν
36 ἑλκοῦσθαι διὰ τὸν ἄληκτον ἐπὶ τῷ υἱωνῷ φόβον ἐξιώμενος. εὖνουν γὰρ καὶ
πειθαρχικὸν ἀπέφαινε τὸν Γάιον καὶ σφόδρα ἡττημένον τοῦ ἀνεψιοῦ, ὡς
ἕνεκα φιλοστοργίας καὶ μόνῳ ἂν ἐθελῆσαι τῆς ἀρχῆς ὑπεκστῆναι· τὴν
δὲ αἰδῶ μὴ λυσιτελῆσαι πολλοῖς, ὑφ' ἧς καὶ Γάιον ἁπλοῦν ὄντα ποικίλον
37 νομίζεσθαι. καὶ ὁπότε μὴ πείθοι τὰ εἰκότα διεξιών, τὴν ἀπὸ συνθηκῶν
⟨πίστιν⟩ ἐπέφερεν, „ἐγγυῶμαι“ λέγων, „ἀξιόχρεώς εἰμι πρὸς πίστιν·
ἱκανὰς ἀποδείξεις δέδωκα τοῦ φιλόκαισαρ ἰδίως καὶ φιλοτιβέριος εἶναι,
38 τὴν ἐπίθεσιν καὶ καθαίρεσιν ἐγχειρισθεὶς Σηιανοῦ.“ καὶ συνόλως δὲ
ἱκανὸς ἦν ἐν τοῖς εἰς Γάιον ἐπαίνοις, εἰ δεῖ καλεῖν ἀξίως ἐπαίνους τὰς
ἀπολογίας, αἳ πρὸς τὰς ἐξ ὑπονοιῶν αἰτίας καὶ κατηγορίας ἀδήλους καὶ
ἀσαφεῖς ἐγίνοντο· συνόλως γὰρ ὅσα περὶ ἀδελφῶν εἴποι τις ἂν ἢ υἱῶν
γνησίων ἐγκώμια, τοσαῦτα καὶ ἔτι πλείω Μάκρων ὑπὲρ Γαΐου διεξῄει
39 πρὸς Τιβέριον. αἴτιον δέ, ὡς ὁ τῶν πολλῶν λόγος, οὐ μόνον τὸ ἀντιθεραπεύεσθαι πρὸς αὐτοῦ τὸν Μάκρωνα, πλεῖστον ἢ καὶ σύμπαν ἐν τῇ
ἡγεμονίᾳ δυνάμενον, ἀλλὰ καὶ ἡ Μάκρωνος γυνὴ διὰ σιωπωμένην αἰτίαν,

1 φρονήσει om. A καὶ om. A κατ' αὐτὸν A (prob. Mang.): καθ' αὐτῶν M, καθ' αὐτὸν ceteri (v) 2 βούλευμα coni. Mang. 3 ἐφ' om. MA ὁπόσον M
4 Κλαυδίων Cohn: κλαυδίω L, κλαυδίου ceteri (v) μόνῳ CGO: om. AH, post γένει transp. M 6 δὲ CGOMH (Turn.): τε A (Mang.) καὶ om. A (Mang.) ἔκρινε post ἔχοντα add. A (Mang.) 7 ἀλλόκοτον A 8 ἐπιμανὲς A 8. 9 μήτ' — μήτ' A 9 ἅπαντι CGO παρεῖκον Mang.: παρῆκον codd. (v) 10 καὶ om. A μάλιστα OMH (v) διάνοιαν] εὐμένειαν A 11 ἕλκεσθαι A διὰ] καὶ A, om. H ἄληκτον] ἀλλόκοτον A; ἄλεκτον coni. Mang. τῷ] τὸν O υἱωνῷ] οἰωνῷ C ἐξιόμενος M εὖνουν] ἐπεικῆ coni. Mang. 12 πιθαρχικὸν C ἀπέφνε (sic) G 14 δ' A 15 συνθηκῶν] σκυθῶν CGO 16 πίστιν supplevit Mang. (Dahl): om. codd. (v) ἐγγιῶμαι MG λέγειν O 18 ἐπίθεσιν Mang. (Dahl): ὑπόθεσιν codd. (v); ἀπόθεσιν coni. Morus 19 δεῖ] δὲ L; δὴ coni. Ernesti ἀξίως scripsi: ἀξίας codd. (v); ἄξιον coni. Mang. ἐπαίνους Mang.: ἐπαίνου codd. (v) 21 ἀσαφεῖς Turn. (v): σαφεῖς codd. ἐγένοντο A ἂν om. M 22 γνήσια M 23 δέ] δή A 24 καὶ om. A

13. 14 D^B fol. 75v D^L fol. 162r D^M fol. 84r D^V p. 378 Φίλωνος: τὴν αἰδῶ φασι (φησι D^L) μὴ λυσιτελῆσαι πολλοῖς.

ἢ καθ' ἑκάστην ἡμέραν ἥλειφε καὶ συνεκρότει τὸν ἄνδρα μηδὲν ἀνιέναι σπουδῆς καὶ βοηθείας τῆς ὑπὲρ τοῦ νεανίσκου. δεινὸν δὲ γυνὴ γνώμην ἀνδρὸς παραλῦσαι καὶ παραγαγεῖν, καὶ μάλιστα μαχλάς· ἕνεκα γὰρ τοῦ συνειδότος κολακικωτέρα γίνεται. ὁ δὲ τὴν διαφθορὰν μὲν τοῦ γάμου 40
p. 552 M. καὶ τῆς οἰκίας ἀγνοῶν, τὴν | δὲ κολακείαν εὔνοιαν ἀκραιφνεστάτην εἶναι
6 νομίζων, ἀπατᾶται καὶ λανθάνει τοῖς στρατηγήμασι τοὺς ἐχθίστους ὡς φιλτάτους προσιέμενος.

(7.) Εἰδὼς οὖν, ὅτι παρὰ μικρὸν ἐλθόντα μυριάκις αὐτὸν ἀπολέσθαι 41
διέσωσεν, ἀνυπούλοις καὶ πεπαρρησιασμέναις ἐχρῆτο ταῖς νουθεσίαις·
10 ἐβούλετο γάρ, ὡς ἀγαθὸς δημιουργός, ἀκαθαίρετον διαμεῖναι τὸ οἰκεῖον ἔργον, μήτε ὑπ' αὐτοῦ διαλυθὲν μήτε ὑφ' ἑτέρου. ὁπότε οὖν ἢ κατα- 42
δαρθόντα ἐν συμποσίῳ θεάσαιτο, περιανίστη στοχαζόμενος ἅμα μὲν τοῦ πρέποντος ἅμα δὲ καὶ τῆς ἀσφαλείας — εὐεπιβούλευτον γὰρ ὁ κοιμώμενος —, ἢ τινας ἐκμανῶς ὀρχηστὰς ὁρῶντα ἢ ἔστιν ὅτε συνορχούμενον
15 ἢ ἐπὶ μίμοις αἰσχρῶν καὶ σκωμμάτων μὴ ὑπομειδιῶντα σεμνότερον ἀλλὰ μειρακιωδέστερον καγχάζοντα ἢ κιθαρῳδῶν ἢ χορῶν τῆς ἐμμελείας ἡττώμενον, ἔστιν ὅπου καὶ συνάδοντα, ἔνιοτε πλησίον καθεζόμενος ἢ κατακεκλιμένος καὶ ἐπέχειν ἐπειρᾶτο. πολλάκις δὲ καὶ ἐπικλίνας πρὸς οὖς, 43
ἵνα μὴ κατακούοι τις ἕτερος, ἡσυχῇ καὶ πράως ἐνουθέτει φάσκων· „οὐδενὶ
20 τῶν παρόντων ἀλλ' οὐδὲ τῶν ἄλλων ἀνθρώπων ὅμοιον εἶναί σε δεῖ, οὔτε ἐν θεάμασιν οὔτε ἐν ἀκούσμασιν οὔτε ἐν τοῖς ἄλλοις ἅπασιν ὅσα κατὰ τὰς αἰσθήσεις, ἀλλὰ προφέρειν ἐπὶ τοσοῦτον ἐν ἑκάστῳ τῶν περὶ τὸν βίον, ἐφ'

---

1 ἢ CGO: om. ceteri εἴληφε M 3 μάχλος D Anton. Mel. 4 κολλικικωτέρα M διαφορὰν MA 6 στρατηγήμασιν L 9 ἂν ὑπούλοις C πεπαρρησιασμένοις A 10 μεῖναι M 11 pr. μήτε] μήθ' A (Mang.) alt. μήτε] μήθ' MA (Mang.) ὑφ'] ὑπὸ M γοῦν A 11. 12 καταδαρθόντα Cohn: καταδαρθέντα codd. (v) 12 περιανίστη] περιὼν ἀνίστη A (περιὼν ἀνίστη Mang., προσιὼν ἀνίστη coniecerat Matthaei) μὲν om. A 14 ἐκμανῶς om. A; ἐκμανεῖς coni. Siegfried ὀρχιστὰς CGO ὀρχηστὰς ἐκμανῶς transp. M ὡς ante ἔστιν add. GOMAH (v), om. C (sic mavult Mang.) 15 ἐπὶ μίμοις] ἐπιτιμίοις M σκωμάτων M, σκομμάτων L; σκώμμασι coni. Cohn 16 καγχάζοντα GAH: κακχάζοντα CM, καχλάζοντα O, καχάζοντα Cohn 17 ὡς ante ἔστιν add. MA (Mang.); ὥστ' Dahl συνάδοντα C (Turn.): συνάδειν ceteri (Mang.) καθιζόμενος Mang. 17. 18 κατεοι
κεκλιμένος M 19 κατακούῃ L, ἀκούοι A ἡσυχῇ καὶ πράως om. M 20. 21 οὔτ' (ter) A 22 ἐν om. C τὸν MD (Mang.): om. ceteri (Turn.)

---

2. 3 Flor. Laur. nr. 15 δεινὸν γυνὴ γνώμην ἀνδρὸς παραγαγεῖν.

2—4 D^R fol. 136r Anton. Mel. II 34 Col. 1089 Φίλωνος: δεινὸν γυνὴ — κολακικωτέρα (μαλακικωτέρα sive μαχλικωτέρα vel μαλακωτέρα Anton. Mel.) γίνεται. 22—164,12 D^R fol. 113v τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Γάιον πρεσβείας: τὸν ἡγεμόνα καὶ κύριον τῶν πραγμάτων τοσοῦτον χρὴ προφέρειν ἐν ἑκάστῳ τῶν περὶ τὸν βίον, ἐφ'

44 ὅσον καὶ ταῖς εὐτυχίαις διενήνοχας. ἄτοπον γὰρ τὸν ἡγεμόνα γῆς καὶ
θαλάττης νικᾶσθαι πρὸς ὠδῆς ἢ ὀρχήσεως ἢ χλευαστικοῦ σκώμματος ἤ
τινος τῶν ὁμοιοτρόπων, ἀλλὰ μὴ ἀεὶ καὶ πανταχοῦ μεμνῆσθαι τῆς ἡγεμο-
νίας, καθάπερ ποιμένα τινὰ καὶ ἐπιστάτην ἀγέλης, τὰ πρὸς βελτίωσιν
ἀπὸ παντὸς οὑτινοσοῦν ἐφ' ἑαυτὸν ἕλκοντα καὶ λόγου καὶ πράγματος." 5
45 εἶτα ἔφασκεν· „ὅταν παρατυγχάνῃς σκηνικοῖς ἀγῶσιν ἢ γυμνικοῖς ἢ τοῖς
κατὰ τὰς ἱπποδρομίας, μὴ σκόπει τὰ ἐπιτηδεύματα, ἀλλὰ τὴν ἐν τοῖς
46 ἐπιτηδεύμασι κατόρθωσιν, καὶ λάμβανε τὸν τοιοῦτον λογισμόν· εἰ τὰ μηδὲν
ὠφελοῦντα τὸν ἀνθρώπινον βίον, τέρψιν δὲ καὶ ἡδονὴν αὐτὸ μόνον παρέ-
χοντα θεαταῖς, ἐκπονοῦσιν οὕτω τινές, ὡς ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι 10
καὶ γέρα καὶ τιμὰς καὶ στεφάνους μετὰ κηρυγμάτων λαμβάνειν, τί χρὴ
47 πράττειν τὸν τῆς ἀνωτάτω καὶ μεγίστης τέχνης ἐπιστήμονα; μεγίστη δὲ
καὶ ἀρίστη τέχνη πασῶν ἐστιν ἡ ἡγεμονία, δι' ἧς πᾶσα μὲν ἡ ἀγαθὴ
καὶ βαθεῖα πεδιάς τε καὶ ὀρεινὴ γεωργεῖται, πᾶσα δὲ θάλαττα φορτηγοῖς
ὁλκάσιν ἀκινδύνως διαπλεῖται κατὰ τὰς ἀντιδόσεις ὧν ἀλλήλαις ἀγαθῶν 15
ἀντεκτίνουσιν αἱ χῶραι κοινωνίας ἱμέρῳ, τὰ μὲν ἐνδέοντα λαμβάνουσαι,
48 ὧν δ' ἄγουσι περιουσίαν | ἀντιπέμπουσαι. φθόνος γὰρ οὐδέποτε πᾶσαν p.553 M.
τὴν οἰκουμένην ἐκράτησεν, ἀλλ' οὐδὲ τὰς μεγάλας αὐτῆς ἀποτομάς, ὅλην
Εὐρώπην ἢ ὅλην Ἀσίαν· ἀλλ' ἰοβόλου τρόπον ἑρπετοῦ φωλεύει βραχέσιν
εἰσερπύσας χωρίοις ἀνδρὶ ἑνὶ ἢ οἴκῳ ἑνὶ ἤ, εἴ ποτε πολὺς ἄγαν πνέοι, 20
πόλει μιᾷ· πρὸς δὲ μείζονα κύκλον ἔθνους ἢ χώρας οὐ πρόσεισι, καὶ

---

2 ὠδῆς] ὀργῆς A ὀρχήσεως ἢ ὠδῆς transp. C 3 ὁμοτρόπων H
4 ποιμένα τινὰ CGOD: τινὰ ποιμένα transp. ceteri (v) 5 ἀπὸ om. A
ὁτινοσοῦν M ἐφ'] πρὸς M λόγου] ζώου D 6 παρατυγχάνῃς A, παρατυγχάνῃ G τοῖς] τὰς M 8 τὸν om. A εἰ τὰ] εἶτα OM
9 δὲ om. D καὶ ἡδονὴν αὐτὸ μόνον D: καὶ ἡδονὴν μόνην CGO, μόνην καὶ ἡδονὴν transp. ceteri (v) 11 λαμπροὺς ante λαμβάνειν add. O 12 δὲ om. CGO
13 τέχνη om. L (Turn.) πασῶν τέχνη transp. M 15 ⟨καὶ⟩ ὁλκάσιν coni. Mang. 16 ἀντεκτείνουσιν MHD (Mang.), ἀντικτένουσιν O 17 δ' CA: δὲ ceteri (v) 20 εἰσερπίσας M ἄγαν A: ἀγαπᾶν ceteri πνέει A
21 χώρας ἢ ἔθνους transp. A πρόεισι MA (coni. Mang.)

ὅσον καὶ ταῖς εὐτυχίαις τῶν ἄλλων διενήνοχεν — πράγματος (v. 5). εἰ γὰρ τὰ (v. 8) — μεγίστης τέχνης πασῶν (cf. v. 13) ἐπιστήμονα; 14—17 D^K fol. 170r D^M fol. 206v D^P (Harris p. 98) Φίλωνος ἐκ τῆς (τοῦ D^M) πρὸς Γάιον πρεσβείας (πρεσβύτερον D^M) D^R fol. 190v Φίλωνος D^V p. 551 Flor. Paris. nr. 30: ἄξιον θαυμάσαι τὴν θάλασσαν, δι' ἧς τὰς ἀντιδόσεις τῶν ἀγαθῶν (τῶν ἀγαθῶν om. D^K) αἱ χῶραι ἀλλήλαις ἀντεκτίνουσιν καὶ τὰ μὲν ἐνδέοντα λαμβάνουσιν, ὧν δὲ ἄγουσιν περιουσίαν ἀντιπέμπουσιν (ἀναπέμπουσιν D^K).

μάλιστα ἀφ' οὗ τὸ ὑμέτερον γένος τὸ Σεβαστὸν ὄντως ἤρξατο πρυτανεύειν τῶν πανταχοῦ πάντων. ὅσα μὲν γὰρ εὐημέρει τῶν βλαβερῶν καὶ ἐν 49
μέσοις ἐξητάζετο, πρὸς ἐσχατιὰς ὑπερόρια καὶ Ταρτάρου μυχοὺς ἤλασε, τὰ δὲ τρόπον τινὰ φυγαδευθέντα τῶν λυσιτελῶν καὶ ὠφελίμων κατήγαγεν ἀπὸ περάτων γῆς καὶ θαλάττης εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην· ἃ πάντα μιᾷ χειρὶ σῇ κυβερνᾶν ἐπιτέτραπται. παραπεμφθεὶς γοῦν ὑπὸ τῆς 50
φύσεως ἐπὶ πρύμναν ἀνωτάτω καὶ τοὺς οἴακας ἐγχειρισθεὶς πηδαλιούχει τὸ κοινὸν ἀνθρώπων σκάφος σωτηρίως, ἐπὶ μηδενὶ μᾶλλον χαίρων καὶ τερπόμενος ἢ τῷ τοὺς ὑπηκόους εὐεργετεῖν. ἄλλοι μὲν γὰρ ἄλλων ἔρανοι, 51
οὓς ἀναγκαίως εἰσφέρουσιν ἰδιῶται κατὰ πόλεις· ἄρχοντι δὲ οἰκειότατος ἔρανος, βουλὰς ἀγαθὰς εἰσηγεῖσθαι περὶ τῶν ὑποτεταγμένων καὶ πράττειν τὰ βουλευθέντα ὀρθῶς καὶ ἀταμίευτα προφέρειν τὰ ἀγαθὰ πλουσίᾳ χειρὶ καὶ γνώμῃ, πλὴν ὅσα κατὰ πρόνοιαν τῆς εἰς τὸ μέλλον ἀδηλότητος ἄξιον παραφυλάττειν."

(8.) Τοιούτοις κατεπῇδεν ὁ δυστυχής, ὥστε βελτιῶσαι τὸν Γάιον. 52
ὁ δὲ φίλερις καὶ φιλόνεικος ὢν ἐπὶ τἀναντία τὴν διάνοιαν ἔτρεπεν, ὥσπερ εἰς ἐκεῖνα παρακληθείς, καὶ τὸν σωφρονιστὴν ἄντικρυς ἀπεθάρρει δυσωπεῖν, ἔστι δὲ ὅτε καὶ πόρρωθεν ἀφικνούμενον ὁρῶν πρὸς τοὺς πλησίον ταυτὶ διελάλει· „πάρεστιν ὁ διδάσκαλος τοῦ μηκέτι μανθάνειν ὀφείλοντος, ὁ 53
παιδαγωγὸς τοῦ μηκέτι παιδὸς ὄντος, ὁ νουθετητὴς τοῦ φρονιμωτέρου, ὁ τὸν αὐτοκράτορα τῷ ὑπηκόῳ πειθαρχεῖν ἀξιῶν, ἐθάδα τῆς ἡγεμονικῆς ἐπιστήμης καὶ παιδευτὴν ἑαυτὸν γράφει, παρὰ τίνι μαθὼν τὰ ἀρχικὰ ἔγωγε οὐκ οἶδα. ἐμοὶ μὲν γὰρ ἐξ ἔτι σπαργάνων μυρίοι διδάσκαλοι 54
γεγόνασι, πατέρες, ἀδελφοί, θεῖοι, ἀνεψιοί, πάπποι, πρόγονοι μέχρι τῶν ἀρχηγετῶν, οἱ ἀφ' αἵματος πάντες καθ' ἑκάτερον γένος τό τε πατρῷον

---

1 μάλιστ' A ἀφ' οὗ] αὐτοῦ M ἡμέτερον AH (Turn.) Σεβαστὸν εἰ Cohn: σεβάστιον CH (v): σεβάστιον M, σεβάστειον OA, σεβάσμιον G ἤρξατο ὄντως transp. O 2 ἁπάντων A 3 ἐξετάζετο L ἐσχατιᾶς A; ⟨γῆς⟩ ἐσχατιὰς coni. Mang. ὑπερόρια codd. (mavult Mang.): ὑπερορίους v 5 εἰς — οἰκουμένην om. A 5. 6 ἃ πάντα] ἅπαντα OMA 6 βασιλεῦ δικαιότατε ante παραπεμφθεὶς addendum censet Mang. ex D Anton. Mel. πεμφθεὶς M γοῦν om. M¹D Anton. Mel., add. M² 7 ⟨τὴν⟩ ἀνωτάτω coni. Wendl. 8 σωτήριος ss. L² (Turn.) μηδὲν H χαίρων μᾶλλον transp. A 9 ἐν ante τῷ add. Anton. Mel. τοὺς] τῆς H 10 δ' A 12 βουληθέντα L (Turn.) προσφέρειν MHD (Turn.) 13 τῆς om. A ἀδηλότατος A 15 τούτοις A κατεπάδων CO 18 δ' MA ταυτὶ] παντὶ O 23 μὲν om. M (v) ἐξ ἔτι σπαργάνων] ἔξεστιν ἐκ σπαργάνων γὰρ A 24 γεγόνασιν H μέχρι] μετὰ C

6—9 Anton. Mel. II 1 Col. 1004 Φίλωνος: βασιλεῦ δικαιότατε, παραπεμφθεὶς ὑπὸ τῆς φύσεως — ἢ ἐν τῷ τοὺς ὑπηκόους εὐεργετεῖν. 6—14 D^{R} fol. 114 (post locum ad p. 163,22 adlatum) ἐκ τῆς αὐτῆς: βασιλεῦ δικαιότατε, παραπεμφθεὶς ὑπὸ — παραφυλάττειν.

καὶ μητρῷον, αὐτοκρατεῖς ἐξουσίας περιποιησάμενοι, χωρὶς τοῦ κἂν ταῖς πρώταις τῶν σπερμάτων καταβολαῖς εἶναί τινας δυνάμεις βασιλικὰς τῶν
55 ἡγεμονικῶν. ὡς γὰρ αἱ τοῦ σώματος καὶ τῆς ψυχῆς ὁμοιότητες κατά τε τὴν μορφὴν καὶ σχέσεις καὶ κινήσεις βουλάς τε καὶ πράξεις ἐν τοῖς σπερματικοῖς σῴζονται λόγοις, οὕτως εἰκὸς ἐν τοῖς αὐτοῖς ὑπογράφεσθαι
56 τυπωδέστερον | καὶ τὴν πρὸς ἡγεμονίαν ἐμφέρειαν. εἶτα ἐμὲ τὸν καὶ p. 554 M, πρὸ τῆς γενέσεως ἔτι κατὰ γαστρὸς ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διαπλασθέντα αὐτοκράτορα τολμᾷ τις διδάσκειν, ἀνεπιστήμων ἐπιστήμονα; ποῦ γὰρ τοῖς ἰδιώταις πρὸ μικροῦ θέμις εἰς ἡγεμονικῆς ψυχῆς παρακύψαι βουλεύματα; τολμῶσι δὲ ὑπ' ἀναισχύντου θράσους ἱεροφαντεῖν καὶ τελεῖν
57 τὰ ἡγεμονικὰ μόλις ἂν ἐν μύσταις ἀναγραφέντες." ἐκ δὲ τοῦ κατ' ὀλίγον μελετῶν ἀλλοτριοῦσθαι τοῦ Μάκρωνος ἤρχετο καὶ ψευδεῖς μὲν πιθανὰς δὲ καὶ εὐπαραγώγους κατ' αὐτοῦ πλάττειν αἰτίας· δειναὶ γὰρ αἱ εὔθικτοι
58 καὶ μεγάλαι φύσεις εἰκοτολογῆσαι. τοιαῦται δὲ ἦσαν αἱ προφάσεις· „ἐμόν ἐστι τοῦ Μάκρωνος ἔργον Γάιος· μᾶλλον αὐτὸν ἢ οὐχ ἧττον τῶν γονέων γεγέννηκα· τρίς, οὐχ ἅπαξ, ἀνήρπαστο ἂν ἐπ' αὐτῷ Τιβερίου φονῶντος, εἰ μὴ δι' ἐμὲ καὶ τὰς ἐμὰς παρηγορίας· ἀλλὰ καὶ τελευτήσαντος ἔχων ὑπηκόους τὰς στρατιωτικὰς δυνάμεις εὐθὺς εἰς τὴν ἐκείνου παρέπεμψα τάξιν, ἀναδιδάσκων ὅτι ἀνδρὸς ἑνὸς γέγονεν ἔνδεια· μένει δὲ
59 ἄρτιος καὶ πλήρης ἡ ἡγεμονία." τούτοις συνεπείθοντό τινες ὡς ἀψευδέσιν ἀγνοοῦντες τὸν φέναξ τρόπον τοῦ λέγοντος· οὔπω γὰρ ἦν τὸ πεπλασμένον αὐτοῦ καὶ ποικίλον τῶν ἠθῶν ἐμφανές. ἀλλὰ γὰρ οὐ πολλαῖς ὕστερον ἡμέραις ἐκποδὼν ὁ κακοδαίμων γίνεται σὺν τῇ γυναικί, τῆς περιττῆς
60 εὐνοίας ἀμοιβὰς τὰς ἀνωτάτω τιμωρίας ἀντιλαβών. τοιοῦτόν ἐστιν ἡ εἰς τοὺς ἀχαρίστους χάρις· ἀντὶ γὰρ ὧν ὠφελήθησαν, παρέχουσι τὰς μεγίστας ζημίας τοῖς εὐεργετήσασιν. ὁ γοῦν Μάκρων πάντα ἐπ' ἀληθείας πραγματευσάμενος μετ' ἐκτενεστάτης σπουδῆς καὶ φιλοτιμίας, τὸ μὲν

---

1 τὸ ante μητρῷον add. A 3 ὁμοιότητι L 5 σπερματικοῖς] σπαρτιμοῖς L λόγοις om. L (Turn.) 6 ἐμφέρειαν] εὐφυΐαν coni. Mang. καὶ τὸν transp. A 7 τῆς πρὸ transp. G 9 ἰδιώ (in folii fine) C 10 τολμῶσιν M δ' MA ὑπ' MAH: ὑπὸ CGO ἀναισχυντίας H (Turn.), καὶ add. H^2L (Turn.) 11 τὰ om. A ἐν om. H^1, ss. H^2 12 μελετᾶν coni. Matthaei μὲν] καὶ Tauchn. 13 παραγώγους A αἱ A, ss. O (Mang.): om. ceteri (Turn.) εὔθικτοι H^1 (Mang.): εὔθηκτοι CGOAH^2L (Turn.), εὔεικτοι M 14 δ' A προφάσεις] ὡς Μάκρωνα λελεκέναι vel similia excidisse putat Dahl 15 ἐστι≡ (ν eras.) C ἢ om. A 16 γεγένηκα H ἂν om. A ἐπ' αὐτῷ] ἀπ' αὐτοῦ A 19 ἔνδεια C δὲ] γὰρ A 20 ἄρτιος O 21 φέναξ GOAH: φαίναξ C, φαίνεκα M πεπλασμένων M 23 περιττῆς Turn. (v): περὶ τῆς CGOMH, περὶ τὴν A 24 εὔνοιαν A ἀμοιβὰς Turn. (v): ἀμοιβῆς codd. γὰρ ante ἐστιν add. M 26 πάντ' A ἀληθεία A 27 μετ' om. H^1, add. H^2 σπουδῆς] τιμῆς A

24—26 D^H fol. 218v Φίλωνος: τοιοῦτον εἰς τοὺς ἀχαρίστους — εὐεργετήσασιν.

πρῶτον ὑπὲρ τοῦ σῶσαι Γάιον, ἔπειτα δὲ ὑπὲρ τοῦ μόνον τὴν ἡγεμονίαν διαδέξασθαι, τοιαῦτα εὕρατο τὰ ἐπίχειρα. λέγεται γάρ, ὅτι ἠναγκάσθη 61
ὁ δείλαιος αὐτοχειρίᾳ κτεῖναι ἑαυτὸν καὶ τὴν αὐτὴν ἀνεδέξατο συμφορὰν ἡ γυνή, καίτοι ποτὲ νομισθεῖσα διὰ συνηθείας αὐτῷ γενέσθαι· βέβαιον δὲ οὐδέν φασι τῶν ἐν ἔρωτι φίλτρων εἶναι διὰ τὸ τοῦ πάθους ἄψίκορον.

(9.) Ἐπειδὴ δὲ καὶ ὁ Μάκρων πανοίκιος ἱέρευτο, τρίτῳ ἐπαπε- 62
δύετο δόλῳ βαρυτέρῳ. πενθερὸς ἐγεγένητο αὐτῷ Μάρκος Σιλανός, μεστὸς φρονήματος ἀνὴρ καὶ γένει λαμπρός. οὗτος ὠκυμόρου τῆς θυγατρὸς ἀποθανούσης ἔτι περιεῖπε τὸν Γάιον, εὔνοιαν προσφερόμενος οὐ πενθεροῦ μᾶλλον ἢ γνησίου πατρός, ἧς ἐνόμιζεν ἀντιλήψεσθαι κατὰ νόμον ἰσότητος μεθαρμοσάμενος τὸν γαμβρὸν εἰς υἱόν. ἐλελήθει δὲ ἄρα ψευδοδοξῶν
p. 555 M. καὶ ἀπατώμενος. | ὁ μὲν γὰρ τοὺς τοῦ κηδεμόνος λόγους ἀεὶ διεξῄει μηδὲν 63
ἐπικρυπτόμενος τῶν εἰς βελτίωσιν καὶ ὠφέλειαν ἠθῶν καὶ βίου καὶ ἡγεμονίας, ἔχων εἰς παρρησίαν καὶ μεγάλας ἀφορμὰς ὑπερβάλλουσάν τε εὐγένειαν καὶ τὴν κατ' ἐπιγαμίαν οἰκειότητα· καὶ γὰρ ἡ θυγάτηρ οὐ πρὸ πολλῶν ἐτεθνήκει χρόνων, ὡς ἀμαυρωθῆναι τὰ δίκαια τῶν κηδεστῶν, ἀλλὰ μόνον οὐκ ἤσπαιρεν, ἔτι λειψάνων τινῶν ὑστάτων τοῦ ψυχικοῦ πνεύματος ἐνυπαρχόντων καὶ ἐγκατειλημμένων τῷ σώματι. ὁ δὲ πρὸς ὕβρεως 64
τὰς νουθεσίας λαμβάνων τῷ πάντων οἴεσθαι φρονιμώτατος καὶ σωφρονέστατος ἔτι δὲ ἀνδρειότατος εἶναι καὶ δικαιότατος ἤχθαιρε μᾶλλον τῶν ὁμολογουμένων πολεμίων τοὺς διδάσκοντας. ὑπολαβὼν οὖν καὶ τοῦτον 65
εἶναι παρενόχλημα, τὴν πολλὴν αὐτοῦ ῥύμην τῶν ἐπιθυμιῶν ἐφέξοντα, πολλὰ χαίρειν φράσας τοῖς δαίμοσι τῆς ἀποθανούσης γυναικός, εἰ πατέρα μὲν ἐκείνης ἑαυτοῦ δὲ γενόμενον πενθερὸν μεταστήσεται, δολοφονεῖ.

(10.) Καὶ τὸ πρᾶγμα ἤδη περιβόητον τοῖς ἐπαλλήλοις τῶν πρώτων 66

1 δ' A 2 δέξασθαι C, καταδέξασθαι M τοιαῦθ' A εὕρετο OH 3 ἀνεδέξατο MAH (Mang.): ἀναδέξασθαι CGO (Turn.) 4 αὐτῷ ⟨τῷ Γαΐῳ⟩ conicio 5 δ' A οὐδέ H¹, corr. H² τὸν (sed corr) O φίλτρον CGO ἄψίσωρον G 6 ἐπεὶ H δὲ καὶ CGOH: καὶ M, δ' A πανοίκειος L (Turn.) ἱέρευτο Turn.: ἱερεύετο codd. (Mang.) 6. 7 ἐπαποδύεται A 7 δόμω G μάκρος M σιλανός H¹, σιλβανός H²L 8 τῆς om. A 10 ἧς Matthaei: ἣν codd. (v) 11 μεθαρμοσάμενος C: μεθαρμοσαμένου ceteri ἐλελήθην L δ' A ἄρα] ἔτι H (Turn.) 12 μὲν om. Mang. τοὺς τοῦ scripsi: τοῦ G, τοὺς ceteri (v) κηδεμόνος Cohn et Wendl.: κηδομένου G, κηδομένου≡ C, κηδομένους OMAH (Mang.), κηδαιμόνας L; κηδεμόνας Turn. (in appendice prob. Mang.) ἀεὶ om. A 13 tert. καὶ om. A 14 ἔχον L τ' A 15 κατ' ἐπιγαμίαν] κατεπίγαμον A 17 ἔσπαιρεν L (Turn.) ὑστάτου C, om. M ψυχικοῦ] συγγενικοῦ coni. Mang. 18 ἐγκατειλημένων M 19 τῷ] τῶν A φρονημώτατος H 19. 20 καὶ σωφρονέστατος om. A 20 δ' A 21 καὶ om. H 22 αὐτοῦ codd. (coni. Mang.): αὐτῶ L (v) ῥύμην αὐτοῦ transp. M ῥώμην L 23 φράσας om. A 24 πενθερὸν om. H¹, ss. H² 25 πρᾶγμα] παράλλαγμα coni. Mang.

4. 5 D^{R} fol. 244^{v} τοῦ αὐτοῦ Flor. Laur. nr. 14: οὐδὲν βέβαιον τῶν (β. οὐδέν φασι τῶν D$_{R}$) ἐν ἔρωτι διὰ τὸ τοῦ πάθους ἄψίκορον.

ἀνδρῶν φόνοις ἐγεγένητο, ὡς διὰ παντὸς στόματος δυσκάθαρτα ἄγη
67 συνηχεῖσθαι, φανερῶς μὲν οὐ διὰ δέος, ἠρεμαιοτέρᾳ δὲ τῇ φωνῇ. κἄ-
πειτα ἐκ μεταβολῆς — ὄχλος γὰρ ἀνίδρυτον ἐν ἅπασι, καὶ βουλαῖς καὶ
λόγοις καὶ πράγμασιν — ἀπιστοῦντες, εἰ οὕτως ἀθρόαν ἐνδέδεκται τροπὴν
ὁ πρὸ μικροῦ χρηστὸς καὶ φιλάνθρωπος ἴσος τε καὶ κοινωνικὸς εἶναι
νομισθεὶς Γάιος, ἀπολογίας ἐσκόπουν καὶ διερευνῶντες εὗρισκον, ἐπὶ μὲν
68 τῷ ἀνεψιῷ καὶ συγκληρονόμῳ τοιαῦτα φάσκοντες· „ἀκοινώνητον ἀρχή,
θεσμὸς φύσεως ἀκίνητος. οὗτος ἃ παθεῖν ἐμέλλησεν ἂν ὑπ' ἀδυνατωτέρου
προδιέθηκεν ἰσχυρότερος ὤν· ἄμυνα τοῦτ' ἔστιν, οὐκ ἀνδροφονία. τάχα
δὲ καὶ προνοητικῶς ἐπ' ὠφελείᾳ τοῦ σύμπαντος ἀνθρώπων γένους τὸ
μειράκιον ἐκποδὼν γεγένηται, τῶν μὲν τούτῳ τῶν δὲ ἐκείνῳ προσκλη-
ρουμένων, ἐξ ὧν ταραχαὶ ἐμφύλιοί τε καὶ ξενικοὶ πόλεμοι συνίστανται.
τί δὲ ἄμεινον εἰρήνης; εἰρήνη δὲ ἐξ ἡγεμονίας ὀρθῆς φύεται· ἡγεμονία
δὲ ἀφιλόνεικος καὶ ἀνερίθευτος ὀρθὴ μόνη, δι' ἧς καὶ τἄλλα πάντα
69 κατορθοῦται.“ ἐπὶ δὲ Μάκρωνι· „πλέον ἐφυσήθη τοῦ μετρίου· τὸ Δελφικὸν
γράμμα οὐ διανέγνω, τὸ 'γνῶθι σαυτόν'· φασὶ δὲ τὴν μὲν ἐπιστήμην
εὐδαιμονίας τὴν δὲ ἄγνοιαν κακοδαιμονίας αἰτίαν εἶναι. τί παθὼν ὑπηλ-
λάττετο καὶ μετετίθει τὸν μὲν ὑπήκοον αὐτὸν εἰς τάξιν ἄρχοντος, τὸν
δὲ αὐτοκράτορα Γάιον | εἰς ὑπηκόου χώραν; οἰκειότατον ἡγεμόνι μὲν p. 556 M.
τὸ προστάττειν, ὅπερ ἐποίει Μάκρων, ὑπηκόῳ δὲ τὸ πειθαρχεῖν, ὅπερ
70 ὑπομένειν ἠξίου Γάιον.“ ἐκάλουν γὰρ οἱ ἀνεξέταστοι τὴν παραίνεσιν
πρόσταξιν καὶ τὸν σύμβουλον ἄρχοντα, ἤτοι μὴ συνιέντες ὑπ' ἀναι-
σθησίας ἢ διὰ κολακείαν τὰς φύσεις τῶν ὀνομάτων ὁμοῦ καὶ πραγμάτων

---

2 συνηχεῖσθαι] ἐφέρετο A διὰ≡ (δε eras.) C 2. 3 καὶ ἔπειτα CGO
3 ἅπασιν L 4 ἀθρόαν CG (Mang.): ἀθρόως OMAH (Turn.) ἐνδέδεκται
MH: ἐνδέδεικται CGOA 5 τε] δὲ A 6 ἀπολογίαν A 7 ἀρχὴν H (v)
8 οὗτος] οὖσα A ἐμέλησεν A ὑπ' ἀδυνατωτέρου CGOH²L (Turn.): ὑπὸ
δυνατωτέρου MAH¹ (Mang.) 9 προέθηκεν L (Turn.) ἄμυνα C: ἠμύνατο
GOMH (v), ἠδύνατο A τοῦτ' οὐκ ἔστιν transponendum vid. Mang. 10 δὲ
— ὠφελείᾳ] δ'ὑπὲρ A 11 γεγένητο CGO pr. τῶν] τῷ C
11. 12 προσκληρουμένων CGOA (Mang., sed mavult προσκολλωμένων): προκληρουμένων
M, προσκεκληρωμένων H (Turn.) 13 pr. δὲ] δ' A 14 δ' v φιλό-
νεικος H ὀρθὴ] αὕτη A, om. D τἄλλα CL: τὰ ἄλλα ceteri
15 κατορθοῦται D (prob. Mang.): ὀρθοῦται codd. (v) ἐφυσήθη A
μέτρου L 16 διανέγνω CGOM: διέγνω AH (v) 17 δ' A 17. 18 μετηλ-
λάττετο M 18 αὐτὸν CH: αὐτὸν ceteri 19 δ' A μὲν ἡγεμόνι
transp. A 21 ἀνεξέσταστοι (sic) C παραίρεσιν G 22 σύμβολον G,
σύμβουτον (sic) H 23 κολακείας AH (Turn.) ὁμοῦ τῶν ὀνομάτων transp.
A τῶν ante πραγμάτων add. A

---

13 D^{R} fol. 71^{r} τοῦ αὐτοῦ Anton. Mel. I 26 Col. 861 Φίλωνος: εἰρήνη ἐξ ἡγεμονίας
ὀρθῆς φύεται. 13—15 D^{R} fol. 114^{r} (post locum ad p. 165, 6 adlatum) ἐκ τῆς
αὐτῆς: εἰρήνη ἐξ — πάντα κατορθοῦται.

μεταχαράττοντες. ἐπὶ δὲ Σιλανῷ· „χλεύης ἄξιον ὁ Σιλανὸς ἔπαθεν, 71
οἰηθεὶς πενθερὸν τοσοῦτον παρὰ γαμβρῷ δύνασθαι, ὅσον πατέρα γνήσιον
παρ' υἱῷ. καίτοι πατέρες ἰδιῶται γενομένων ἐν ἀρχαῖς μεγάλαις καὶ
ἐξουσίαις υἱῶν ὑποστέλλουσιν, ἀγαπητῶς φερόμενοι δευτερεῖα. ὁ δὲ
ἠλίθιος, οὐδὲ πενθερὸς ὢν ἔτι, τὰ μὴ καθ' ἑαυτὸν προσπεριειργάζετο
μὴ συνιείς, ὅτι θανάτῳ τῆς θυγατρὸς συνετεθνήκει καὶ ἡ κατ' ἐπιγαμίαν
οἰκειότης· δεσμὸς γὰρ οἴκων ὀθνείων αἱ ἐπιγαμίαι τὴν ἀλλοτριότητα εἰς 72
οἰκειότητα συνάγων, οὗ λυθέντος λέλυται καὶ τὰ τῆς κοινωνίας, καὶ μά-
λιστα ὅταν ἀνεπανορθώτῳ πράγματι λυθῇ, τελευτῇ τῆς εἰς ἀλλότριον
οἶκον δεδομένης ἐπὶ γάμῳ." τοιαῦτα ἐν ἅπασι τοῖς συλλόγοις ἐθρύλουν 73
πλεῖστον διδόντες μέρος τῷ μὴ βούλεσθαι δοκεῖν ὠμὸν εἶναι τὸν αὐτο-
κράτορα· χρηστότητα γὰρ καὶ φιλανθρωπίαν ἐλπίσαντες ὅσην παρ' οὐδενὶ
τῶν προτέρων ἐνιδρύσθαι τῇ Γαΐου ψυχῇ σφόδρα ἄπιστον ἐνόμιζον, εἰ
τοσαύτην καὶ οὕτως ἀθρόαν ἐνδέδεκται μεταβολὴν πρὸς τἀναντία.

(11.) Κατεργασάμενος οὖν τρεῖς τοὺς εἰρημένους ἄθλους ἐκ τριῶν 74
τῶν ἀναγκαιοτάτων μερῶν, δυοῖν μὲν ἐκ τῆς πατρίδος τοῦ τε βουλευτικοῦ
καὶ τοῦ τῆς ἱππικῆς τάξεως, τρίτου δὲ τοῦ συγγενικοῦ, καὶ ὑπολαβὼν
τῶν ἰσχυροτάτων καὶ δυνατωτάτων περιγεγενημένος καταπληκτικώτατον
δέος ἐνειργάσθαι τοῖς ἄλλοις ἅπασι, διὰ μὲν τῆς Σιλανοῦ σφαγῆς τοῖς 75
βουλευταῖς — ἦν γὰρ οὐδενὸς τῶν ἐν συγκλήτῳ δεύτερος —, διὰ δὲ
τῆς Μάκρωνος τοῖς ἱππικοῖς — οἷα γὰρ χοροῦ τινος ἡγεμὼν ἐγεγένητο
φερόμενος τὰ πρωτεῖα τιμῆς καὶ εὐδοξίας —, διὰ δὲ τῆς τοῦ ἀνεψιοῦ
καὶ συγκληρονόμου τοῖς ἀφ' αἵματος ἅπασιν, οὐκέτι ἠξίου μένειν ἐν τοῖς

---

1 δὲ A (Mang.): om. ceteri (Turn.) σιλανῶ ... σιλανὸς H^1, σιλβανῶ ... σιλβανὸς H^2L ἔπαθεν] ἐποίησεν coni. Mang. 2 τὸν ante πενθερὸν add. MAH (v), om. CGO γνήσιον πατέρα transp. O 3 παρ' CG: παρὰ ceteri γεννωμένων Turn. 4 ἐξουσίαις] ἐν οὐσίαις Turn. δευτερεῖα] τὰ δευτερεῖα H^2L (v) 6 τῷ ante θανάτῳ add. MAH (v), om. CGO συντεθνήκει Mang. 7 ὀθνίων CG ἀλλοτρίοσιν A 8 συνάγων] μετάγουσαι Mang. ex Anton. Mel., μετάγων Cohn τῆς κοινωνίας] πρὸς κοινωνίαν A 8. 9 μάλισθ' A 9 ἐπανορθώτω OA εἰς om. L 10 τοιαῦτ' A, καὶ τοιαῦτα M ἐθρύλουν CG: ἐθρύλλουν ceteri (v) 11 διδόντες] αὐτοὶ τοῖς λόγοις εἰσφέρειν δοκοῦντες A (mavult Mang.) μέρος] βάρος coni. Mang. βουλεύεσθαι L δοκεῖν om. M (sic mavult Mang.) 13 ἐνιδρύεσθαι A 14 ἀθρόαν μεταβολὴν οὕτως ἐνδέδεικται transp. A ἐνδέδεκται H: ἐνδέδεικται ceteri 17 pr. τοῦ om. M 18 περιγεγενημένος CGM: περιγενόμενος A (Mang.), περιγεγενημένου H (Turn.), om. O καταπληκτικώτερον A 19 ἐνείργασται O^1, corr. O^2, ἐνειργάσασθαι A; ἐνεργάσεσθαι coni. Mang. τοῦ ante Σιλανοῦ add. A σιλανοῦ H^1, σιλβανοῦ H^2 22 εἰς ante τὰ add. CGOM πρῶτα C τῆς ante τιμῆς add. MAH (v), om. CGO εὐδοξίας] τῆς εὐγενείας A τῆς om. M 23 οὐκέτ' A

---

7. 8 Anton. Mel. I 14 Col. 812 Φίλωνος: δεσμὸς οἴκων — μετάγουσαι. 23 sq. cf. de virt. (de human.) § 172.

τῆς ἀνθρωπίνης φύσεως ὅροις, ἀλλ' ὑπερέκυπτε σπουδάζων θεὸς νομίζεσθαι.
76 καὶ ἐν ἀρχῇ ταύτης τῆς παραπληξίας φασὶν αὐτὸν χρήσασθαι τοιούτῳ
λογισμῷ· καθάπερ γὰρ οἱ τῶν ἄλλων ζῴων ἀγελάρχαι, βουκόλοι καὶ αἰ-
πόλοι καὶ νομεῖς, οὔτε βόες εἰσὶν οὔτε αἶγες οὔτε ἄρνες, ἀλλ' | ἄνθρωποι p. 557 M.
κρείττονος μοίρας καὶ κατασκευῆς ἐπιλαχόντες, τὸν αὐτὸν τρόπον ἀγελαρ-
χοῦντα κἀμὲ τῆς ἀρίστης ἀνθρώπων γένους ἀγέλης νομιστέον διαφέρειν
καὶ μὴ κατ' ἄνθρωπον εἶναι, μείζονος δὲ καὶ θειοτέρας μοίρας τετυχηκέναι.
77 ταύτην τὴν ὑπόληψιν ἐνσφραγισάμενος τῇ διανοίᾳ περιέφερεν ὁ ἠλίθιος
ἐν ἑαυτῷ μυθικὸν πλάσμα ὡς ἀψευδεστάτην ἀλήθειαν. καὶ ἐπειδὴ ἅπαξ
ἐθρασύνατο καὶ ἀπετόλμησεν εἰς τοὺς πολλοὺς ἐξενεγκεῖν τὴν ἀθεωτάτην
ἐκθέωσιν αὑτοῦ, τὰ ἀκόλουθα καὶ συνῳδὰ πράττειν ἐπεχείρει καὶ οἷα
78 δι' ἀναβαθμῶν ἐκ τοῦ κατ' ὀλίγον εἰς τὸ ἄνω προῄει. ἤρχετο γὰρ
ἐξομοιοῦν τὸ πρῶτον τοῖς λεγομένοις ἡμιθέοις ἑαυτόν, Διονύσῳ καὶ
Ἡρακλεῖ καὶ Διοσκούροις, Τροφώνιον καὶ Ἀμφιάραον καὶ Ἀμφίλοχον καὶ
τοὺς ὁμοίους χρηστηρίοις αὐτοῖς καὶ ὀργίοις χλεύην τιθέμενος κατὰ
79 σύγκρισιν τῆς ἰδίας δυνάμεως. εἶθ' ὥσπερ ἐν θεάτρῳ σκευὴν ἄλλοτε
ἀλλοίαν ἀνελάμβανε, τοτὲ μὲν λεοντῆν καὶ ῥόπαλον, ἀμφότερα ἐπίχρυσα,
διακοσμούμενος εἰς Ἡρακλέα, τοτὲ δὲ πῖλους ἐπὶ τῆς κεφαλῆς, ὁπότε
ἀσκοῖτο εἰς Διοσκούρους· ἔστι δὲ ὅτε κιττῷ καὶ θύρσῳ καὶ νεβρίσιν εἰς
80 Διόνυσον ἠσκεῖτο. καὶ ταύτῃ διαφέρειν ἀξιῶν, ὅτι ἐκείνων μὲν ἕκαστος
ἰδίας ἔχων τιμὰς οὐ μετεποιεῖτο ὧν ἐκοινώνουν ἕτεροι, ὁ δὲ τὰς πάντων
ἀθρόων ἐσφετερίζετο φθόνῳ καὶ πλεονεξίᾳ, μᾶλλον δὲ καὶ αὐτοὺς ἐκείνους,
οὐκ εἰς Γηρυόνην τὸν τρισώματον μεταβαλών, ἵνα τῷ πλήθει παραγάγῃ
τοὺς ὁρῶντας, ἀλλ', ὃ δὴ παραδοξότατον ἦν, ἑνὸς σώματος οὐσίαν μετα-
σχηματίζων καὶ μεταχαράττων εἰς πολυτρόπους μορφάς, Αἰγυπτίου τρόπον
Πρωτέως, ὃν εἰσήγαγεν Ὅμηρος μεταβολὰς παντοίας ἐνδεχόμενον εἴς τε
81 τὰ στοιχεῖα καὶ τὰ ἐκ τούτων ζῷα καὶ φυτά. καίτοι τί παρασήμων
ἔδει σοι, Γάιε, οἷς ἔθος ἀσκεῖσθαι τὰ τῶν εἰρημένων ἀφιδρύματα; ἐχρῆν
γὰρ ζηλοῦν τὰς ἐκείνων ἀρετάς. Ἡρακλῆς ἐκάθηρε γῆν καὶ θάλατταν

---

1 ὅροις (νόμοις ss.) M ὑπερέκυκτεν L 2 τῷ ante τοιούτῳ add. A 3 γὰρ CGO: om. ceteri (v) ἄλλων ζῴων] ζώων τῶν ἄλλων H 3. 4 αἰπόλοι καὶ νομεῖς CGO: v. καὶ αἰπόλοι ceteri 4 alt. οὔτε] οὔτ' A οὔτε αἶγες om. L αἶγες οὔτε ἄρνες CGO: ἄρνες οὔτε (οὔτ' A) αἶγες ceteri 5 παρασκευῆς A 7 κατὰ MH 9 αὐτῷ A 10 ἀθεοτάτην G 11 αὐτοῦ L: αὐτοῦ ceteri 12 ἐκ τοῦ om. M προσῄει GO, σ eras. C (προσῄει Turn. in textu, προῄει in append.) 14 διοσκόροις M τροφόνιον G 17 ἀλλοίαν] ἄλλην vel ἀλλοτρίαν coni. Mang. ἀνελάμβανε Mang. (cf. § 96. 100. 101): ἐνελάμβανε A, ἐλάμβανε ceteri (v) 18 διακοσμούμενος] διασκούμενος coni. Mang. ποτὲ O (Turn.) πῶλους M 19 δ' AL κ≡ιττῷ (ο eras.) C νευρίσιν AH 20 ἠσκῆτο O 22 ἀθρόων scripsi: ἀθρόον codd. (v) 23 γυριόνην OL; Γηρυόνα (τὸν om.) Mang. παραγαγὼν εἴη H 24 παραδοξώτατον H 26 ὅμηρος corr. ex ὁμάκρος M ἐνδεχόμενος C, εἰσδεχόμενον A (ἐκδεχόμενον Mang.) 28 ἀσκεῖσθαι (vel ἐνσκευάζεσθαι coni.) Mang. (Dahl): ἀρκεῖσθαι codd. (v)

ἄθλους ἀναγκαιοτάτους καὶ ὠφελιμωτάτους ἅπασιν ἀνθρώποις ὑποστὰς
ἕνεκα τοῦ τὰ βλαβερὰ καὶ κακωτικὰ φύσεως ἑκατέρας ἀνελεῖν. Διόνυσος 82
ἡμερώσας ἄμπελον καὶ ποτὸν ἐξ αὐτῆς ἀναχέας ἥδιστον ὁμοῦ καὶ ὠφε-
λιμώτατον ψυχαῖς τε καὶ σώμασι τὰς μὲν ἄγει πρὸς εὐθυμίαν, κακῶν
λήθην καὶ ἀγαθῶν ἐλπίδας ἐνεργαζόμενος, τὰ δὲ σώματα ὑγιεινότερα καὶ
κραταιότερα καὶ εὐκινητότερα παρασκευάζει· καὶ ἰδίᾳ τε ἕκαστον ἀνθρώ- 83
πων βελτίονα ποιεῖ καὶ πολυανθρώπους οἰκίας καὶ συγγενείας ἐξ αὐχμηροῦ
καὶ ἐπιπόνου βίου μεθαρμόζεται πρὸς ἀνειμένης σχῆμα καὶ ἱλαρᾶς διαίτης
p. 558 M. καὶ πάσαις πόλεσιν | Ἕλληνικαῖς τε καὶ βαρβαρικαῖς εὐωχίας, εὐφροσύνας,
θαλίας, ἑορτὰς ἐπαλλήλους παρέχει· πάντων γὰρ τῶν λεχθέντων αἴτιος
ἄκρατος. πάλιν Διοσκούρους λόγος ἔχει κοινώσασθαι τὴν ἀθανασίαν. 84
ἐπειδὴ γὰρ ὁ μὲν θνητὸς ὁ δὲ ἀθάνατος ἦν, οὐκ ἐδικαίωσεν ὁ τῆς
κρείττονος μοίρας ἀξιωθεὶς φιλαυτῆσαι μᾶλλον ἢ πρὸς τὸν ἀδελφὸν εὔνοιαν
ἐπιδείξασθαι. φαντασιωθεὶς γὰρ τὸν ἄπειρον αἰῶνα καὶ λογισάμενος, 85
ὅτι αὐτὸς μὲν ἀεὶ βιώσεται, ὁ δὲ ἀδελφὸς ἀεὶ τεθνήξεται, καὶ μετὰ τῆς
ἀθανασίας ἀθάνατον τὸ ἐπ' ἐκείνῳ πένθος ἀναδέξεται, θαυμαστὴν ἐμεγα-
λούργησεν ἀντίδοσιν ἀνακερασάμενος αὑτῷ μὲν τὸ θνητόν, τῷ δὲ ἀδελφῷ
τὸ ἄφθαρτον, καὶ ἀνισότητα, τὴν ἀδι..ίας ἀρχήν, ἐνηφάνισεν ἰσότητι,
ἥτις ἐστὶ πηγὴ δικαιοσύνης. (12.) οὗτοι πάντες, ὦ Γάιε, διὰ τὰς 86
ὑπηργμένας εὐεργεσίας ἐθαυμάσθησαν καὶ ἔτι νῦν θαυμάζονται καὶ σε-
βασμοῦ τε καὶ τῶν ἀνωτάτω τιμῶν ἠξιώθησαν. εἰπὲ δὴ καὶ αὐτὸς
ἡμῖν, ἐπί τίνι γαυριᾷς καὶ πεφύσησαι τῶν παραπλησίων; ἐμιμήσω τοὺς 87
Διοσκούρους εἰς φιλαδελφίαν; ἵνα ἐντεῦθεν ἄρξωμαι. τὸν μὲν ἀδελφὸν καὶ
συγκληρονόμον ἐν ἀκμῇ τῆς πρώτης ἡλικίας, ὦ σιδήρειε καὶ ἀνηλεέστατε,
ὡμῶς ἀπέσφαξας, τὰς ⟨δ'⟩ ἀδελφὰς ὕστερον ἐφυγάδευσας· μὴ καὶ αὗται τὸν
περὶ ἀφαιρέσεως ἀρχῆς φόβον εἰργάζοντό σοι; ἐμιμήσω Διόνυσον; εὑρε- 88

---

1 πᾶσιν H 3 ἥδιον H 4 ψυχῆς H τε om. G σώματος H ἄγει CA: ἄγειν GOMH 5 ἐλπίδα H ἐργαζόμενος H 6 εὐκινητότερα καὶ κραταιότερα transp. M καὶ εὐκινητότερα om. H 6. 7 ἀνθρώπων Mang. (Dahl), quod praeferendum lectioni αὐτῶν βέλτιον (scil. σῶμα) ab eodem propositae: αὐτῶν (αὐτὸν G) codd. (v) 11 διοσκούροις L 12 δ' A 15 δ'A καὶ ⟨ὅτι αὐτὸς⟩ μετὰ coni. Cohn 16 ἀναδέξηται GO 17 αὐτῷ AH: αὐτῷ ceteri δ' A ἀδελφῷ δὲ transp. M 18 τὴν] τῆς A ἐνηφάνισεν Cohn: ἐνεκαίνισεν C, ἐνεκαίνισεν OMA, ἀνεκοίνωσεν GH²L, ἀνεκαίνισεν H¹ (v); ἐκένωσεν coni. Mang., ἀνεσκεύασεν Dahl, ἀνεχαίτισεν Matthaei 20 προϋπηργμένας coni. Mang. εὐεργεσίας] ὑπηρεσίας H 21 τε om. A εἰπὲ δὴ καὶ om. Turn. δὴ] δὲ A (Mang.) 22 ἡμῖν] δ' ἡμῖν Turn. ἐπὶ — παραπλησίων om. A γαβριᾶς M 23 διοσκόρους H ἵν' A μὲν] δ' A ἀδελφὸν] ἀνεψιὸν coni. Mang. καὶ om. A 24 οὐκ ante ἐν add. A (Mang.) σιδήρειε CH (Turn.) 25 δ' add. Cohn: om. codd. (v) τὸν] τῶν A 26 φόβων ἦρξαντό σοι A

---

18. 19 DK fol. 179r ἐκ τῆς πρὸς Γάιον πρεσβείας: ἰσότης πηγὴ δικαιοσύνης.

τῆς καινῶν γέγονας χαρίτων ὡς ἐκεῖνος; εὐφροσύνης κατέπλησας τὴν οἰκουμένην; Ἀσία καὶ Εὐρώπη τὰς ἐκ σοῦ γεγενημένας δωρεὰς οὐ χωρεῖ;
89 καινὰς μὲν οὖν τέχνας καὶ ἐπιστήμας ἀνεῦρες ὡς κοινὸς λυμεὼν καὶ παλαμναῖος, αἷς μεταβάλλεις τὰ ἡδέα καὶ χαρτὰ πρὸς ἀηδίας καὶ λύπας καὶ ἀβίωτον βίον τοῖς πανταχοῦ πᾶσι, τὰ μὲν παρ' ἑτέροις ἀγαθὰ καὶ καλὰ πάντα σφετεριζόμενος ἀπλήστοις καὶ ἀκορέστοις ταῖς ἐπιθυμίαις, τὰ ἀπὸ τῶν ἑῴων, τὰ ἀπὸ τῶν ἑσπερίων, τὰ ἀπὸ τῶν ἄλλων τοῦ παντὸς κλιμάτων, εἴ τινα ἢ κατὰ μεσημβρίαν ἦν ἢ πρὸς ἄρκτον, τὰ δὲ ἀπὸ τῆς σαυτοῦ πικρίας καὶ ὅσα ταῖς ἐπαράτοις καὶ ἰοβόλοις ψυχαῖς γεννᾶν ἔθος βλαβερὰ καὶ ἐπιζήμια ἀντιδιδοὺς καὶ ἀντιπέμπων· διὰ ταῦτα ὁ νέος
90 Διόνυσος ἡμῖν ἀνεφάνης; ἀλλὰ καὶ Ἡρακλέα ἐζήλωσας τοῖς ἀκαμάτοις σαυτοῦ πόνοις καὶ ταῖς ἀτρύτοις ἀνδραγαθίαις, εὐνομίας καὶ εὐδικίας εὐθηνίας τε καὶ εὐετηρίας καὶ τῆς τῶν ἄλλων ἀγαθῶν ἀφθονίας, ὧν ἡ βαθεῖα εἰρήνη δημιουργός, ἀναπλήσας ἠπείρους τε καὶ νήσους, ὁ ἀγεννέστατος, ὁ δειλίας μεστός, ὁ τῶν μὲν εἰς εὐστάθειαν καὶ εὐδαιμονίαν ἁπάντων κενώσας τὰς πόλεις, μεστὰς δὲ τῶν | εἰς ταραχὰς καὶ θορύβους p. 559 M.
91 καὶ τὴν ἀνωτάτω βαρυδαιμονίαν ἀναφήνας; ἐπὶ δὲ ταῖς τοσαύταις φοραῖς, ἃς ἤνεγκας ἐπ' ὀλέθρῳ, εἰπέ μοι, Γάιε, ζητεῖς ἀθανασίας μεταλαχεῖν, ἵνα μὴ ὀλιγοχρονίους καὶ ἐφημέρους ἀλλὰ ἀθανάτους ἀπεργάσῃ συμφορᾶς; ἐγὼ δὲ νομίζω τοὐναντίον, εἰ καί τις ἔδοξας γεγενῆσθαι θεός, πάντως ἄν σε μεταβαλεῖν ἕνεκα τῶν πονηρῶν ἐπιτηδευμάτων εἰς θνητὴν
92 φύσιν· εἰ γὰρ ἀθανατίζουσιν ἀρεταί, πάντως φθείρουσι κακίαι. μήτε οὖν ἐν Διοσκούροις γράφου τοῖς φιλαδελφοτάτοις, ὁ σφαγεὺς καὶ λυμεὼν τῶν ἀδελφῶν γεγονώς, μήτε Ἡρακλέους ἢ Διονύσου τιμῆς κοινοπράγει τῶν τὸν βίον ὀνησάντων, ὁ κακωτὴς καὶ διαφθορεὺς ὧν ἔδρασαν ἐκεῖνοι.
93 (13.) Τοσαύτη δέ τις περὶ αὐτὸν ἦν λύττα καὶ παράφορος καὶ παράκοπος μανία, ὥστε καὶ τοὺς ἡμιθέους ὑπερβὰς ἐπανῄει καὶ ἐπαπε-

---

1 γέγονας καινῶν transp. M γεγονὼς coni. Mang. 2 Ἀσία om. G χορεῖ M 3 κενὰς O καὶ ante λυμεὼν add. G 4 μεταβάλλῃ CO, μεταβάλλει G ἀηδείας CG (v) 5 πᾶσιν L 7 τὰ ἀπὸ τῶν ἑσπερίων om. Richt. (Tauchn.) 8 δ' A 9 ἰοβόροις M; ἐπιβούλοις coni. Mang. 10 ἀντιδοὺς G ὁ C: om. ceteri 10. 11 διόνυσος νέος transp. A 11 ἐφάνης A ἀκμαιοτάτοις A 13 εὐθηνίας Mang.: εὐσθενείας codd.; εὐθενείας Turn. 14 ἠπείρους τε καὶ νήσους CGO: νήσους τε καὶ ἠπείρους ceteri 14. 15 ἀγενέστατος OA (v) 15 εὐστάθιαν (ι corr. in ει) H 16 ἁπάντων κενώσας τὰς πόλεις CGO: κενώσας τὰς πόλεις ἁπάντων ceteri 17 ἐπὶ δὲ C (Turn.): ἐπὶ δὴ MA (Mang.), ἐπειδὴ GOH 17. 18 φθοραῖς C (Turn.) 18 ἃς] αἷς A ὧ ante Γάιε add. v 19 ὀλιγχρονίους (sic) A 20 εἶναι post τοὐναντίον add. A καί om. A 21 ἐπιτηδευμάτων] βουλευμάτων A 21. 22 θνητὴν φύσιν CGOAH (Turn.): κοινὴν φύσιν καὶ θνητήν M (Mang.) 22 αἱ ante ἀρεταί add. A 23 γοῦν A ἐγγράφου A (Mang.) φιλαδελφωτάτοις L 24 τῶν om. CGO μήθ' A τιμῆς Mang.: τιμαῖς codd. (v) 25 ὠνησάντων MA κακωτὴς] κακὸς A ἐκεῖνον M 27 παράκοτος A

δύετο τοῖς τῶν μειζόνων καὶ ἀμφιθαλῶν εἶναι δοκούντων σεβασμοῖς
Ἑρμοῦ καὶ Ἀπόλλωνος καὶ Ἄρεως. Ἑρμοῦ τὸ πρῶτον, κηρυκείοις καὶ 94
πεδίλοις καὶ χλαμύσιν ἐνσκευαζόμενος τάξιν τε ἐν ἀταξίᾳ καὶ τὸ ἀκόλουθον
ἐν συγχύσει καὶ λογισμὸν ἐν φρενοβλαβείᾳ παρεπιδεικνύμενος· εἶτα, ὁπότε 95
δόξειεν αὐτῷ, τὰ μὲν ἀπετίθετο, εἰς δὲ Ἀπόλλωνα μετεμορφοῦτο καὶ
μετεσκευάζετο, στεφάνοις μὲν ἀκτινοειδέσι τὴν κεφαλὴν ἀναδούμενος,
τόξον δὲ τῇ εὐωνύμῳ καὶ βέλη κρατῶν χειρί, χάριτας δὲ τῇ δεξιᾷ
προτείνων, ὡς δέον τὰ μὲν ἀγαθὰ ὀρέγειν ἐξ ἑτοίμου καὶ τετάχθαι τὴν
βελτίονα τάξιν τὴν ἐπὶ δεξιά, τὰς δὲ κολάσεις ὑποστέλλειν καὶ τὴν κατα-
δεεστέραν χώραν κεκληρῶσθαι τὴν ἐπ' εὐώνυμα. χοροί τε εὐθὺς εἱστή- 96
κεσαν συγκεκροτημένοι, παιᾶνας εἰς αὐτὸν ᾄδοντες, οἱ πρὸ μικροῦ Βάκχον
καὶ Εὐήιον καὶ Λυαῖον ὀνομάζοντες καὶ ὕμνοις γεραίροντες, ἡνίκα τὴν
Διονυσιακὴν ἀνελάμβανε σκευήν. πολλάκις δὲ καὶ θώρακα ἐνδυόμενος 97
ξιφήρης προῆει μετὰ κράνους καὶ ἀσπίδος, Ἄρης ἀνακαλούμενος· καὶ
παρ' ἑκάτερα οἱ Ἄρεως τοῦ καινοῦ [καὶ νέου] θεραπευταὶ συμπροῆεσαν,
ἀνδροφόνων καὶ δημοκοίνων θίασος, ὑπηρετήσοντες κακὰς ὑπηρεσίας
φονῶντι καὶ διψῶντι ἀνθρωπείου αἵματος. εἶτα τοῖς ταῦτα ὁρῶσι κατά- 98
πληξις ἦν ἐπὶ τῷ παραλόγῳ, καὶ ἐθαύμαζον, πῶς ὁ τἀναντία δρῶν
οἷς ἰσότιμος εἶναι προαιρεῖται τὰς μὲν ἀρετὰς αὐτῶν ἐπιτηδεύειν οὐκ
ἀξιοῖ, τοῖς δὲ παρασήμοις εἰς ἕκαστον σκευάζεται. καίτοι τὰ περίαπτα
ταῦτα καὶ προκοσμήματα ξοάνοις καὶ ἀγάλμασι προσκαθίδρυται, διὰ συμ-
p. 560 M. βόλων μηνύοντα τὰς ὠφελείας, | ἃς παρέχονται τῷ γένει τῶν ἀνθρώπων
οἱ τιμώμενοι. πέδιλα Ἑρμῆς ὑποδεῖται πτερῶν ταρσοὺς ἔχοντα· διὰ τί; 99
ἆρα οὐχ ὅτι προσήκει τὸν ἑρμηνέα καὶ προφήτην τῶν θείων, ἀφ' οὗ καὶ
Ἑρμῆς ὠνόμασται, τὰ ἀγαθὰ διαγγέλλοντα — κακοῦ γὰρ οὐχ ὅτι θεὸς
ἀλλ' οὐδὲ σοφὸς ἀνὴρ γίνεται μηνυτής — ποδωκέστατόν τε εἶναι καὶ
μόνον οὐ πτηνὸν φέρεσθαι διὰ σπουδὴν ἀνυπέρθετον; ἐπειδὴ τὰ λυσιτελῆ

---

1 τοῖς] τῆς H 2 ἑρμονος M ἀπόλωνος G ἄρεως CO: ἄρεος ceteri
κηρυκίοις CGO 4 λογισμῶν GO φρενοβλαβία GO ἐπιδεικνύμενος A
εἶθ' A 5 δόξει H ἀπόλλωνος M 7 alt. δὲ om. M 8 συντεί-
νων A 9 τὰ ante δεξιά add. M (Mang.) δεξιᾶ CGH (Turn.)
10. 11 εἱστήκεισαν AH 12 εὐήνιον M 13 θόρακα L 15 ἑκατέρου A
ἄρεος MGH καινοῦ] κοινοῦ O καὶ νέου seclusit Dahl; καινοὶ coni. Mang.,
καὶ ἐννεοῦ Matthaei θεοῦ ante θεραπευταὶ add. A 16 δὲ ante καὶ add. A
θιάσους A ὑπηρετίσοντες M, ὑπηρετήσαντες A (Richt. Tauchn.) 17 διψόντι M
ταῦθ' A ὁρῶσιν C 18 τὰ ἐναντία CGO (v) 20. 21 τοῖς — προσ-
α
καθίδρυται in marg. M 20 ἐνσκευάζεται coni. Mang. περίοπτα C, περιοπτὰ G
21 προσκοσμήματα M 23. 24 διὰ τί ἆρα AL 24 ἑρμηνέα] ἑρμέα (sic) A
θείων] θεῶν M (Mang.) 25 προσωνόμασται M (Mang.) διαγγέλοντα M
25. 26 (διαγγέλλον)τα — ποδωκέστατόν om. L 26 ποδωκύτατόν Turn.
27 πτὴν (sic) C

φθάνοντας εὐαγγελίζεσθαι προσήκει, καθάπερ τὰ παλίμφημα μέλλοντας,
100 εἰ μὴ ἐπιτρέποι τις αὐτὰ ἡσυχάζεσθαι. πάλιν κηρύκειον ἀναλαμβάνει
δεῖγμα συμβατηρίων σπονδῶν· πόλεμοι γὰρ ἀνοχὰς καὶ διαλύσεις λαμβά-
νουσι διὰ κηρύκων εἰρήνην καθισταμένων· οἱ δὲ ἀκήρυκτοι συμφορὰς
ἀτελευτήτους ἀπεργάζονται καὶ τοῖς ἐπιφέρουσι καὶ τοῖς ἀμυνομένοις.
101 Γάιος δὲ πρὸς τίνα χρείαν πέδιλα ἀνελάμβανεν; ἢ ἵνα τὰ δύσφημα καὶ
δυσώνυμα, δέον ἡσυχάζεσθαι, βοηδρομῆται τάχει συντόνῳ πάντῃ συνη-
χοῦντα; καίτοι τί κινήσεως ἐπεσπευσμένης ἔδει; μένων γὰρ κακὰ ἐπὶ
κακοῖς ἀμύθητα ὥσπερ ἐξ ἀενάων πηγῶν εἰς ἅπαντα τὰ μέρη τῆς οἰκου-
102 μένης ὤμβρει. τί δὲ δεῖ κηρυκείου τῷ μηδὲν εἰρηναῖόν ποτε μήτε εἰπόντι
μήτε δράσαντι, πᾶσαν δὲ οἰκίαν καὶ πόλιν ἐμφυλίων ἀναπλήσαντι πολέμων
κατά τε τὴν Ἑλλάδα καὶ βάρβαρον; ἀποθέσθω δὴ τὸν Ἑρμῆν, ἀφοσιω-
103 σάμενος τὴν ἀνοίκειον κλῆσιν, ὁ ψευδώνυμος. (14.) τί δὲ τῶν Ἀπολλωνι-
ακῶν ἐμφερές ἐστι παρ' αὐτῷ; στέφανον ἀκτινωτὸν φορεῖ, εὖ πως ἀπομαξα-
μένου τὰς ἡλιακὰς ἀκτῖνας τοῦ τεχνίτου. ἐκείνῳ δὲ ἥλιος ἢ φῶς συνόλως
ἀσπαστόν ἐστιν, ἀλλ' οὐχὶ νὺξ (καὶ σκότος) καὶ εἴ τι σκότους ἀφεγγέστερον εἰς
τὴν τῶν ἐκνόμων ἔργων διάθεσιν; ἐπειδὴ τὰ μὲν καλὰ περιαυγείας μεσημ-
βρινῆς δεῖται πρὸς ἐπίδειξιν, τὰ δὲ αἰσχρά φασιν ἐσχατιᾶς Ταρτάρου,
104 εἰς ὃν ἄξιον συνωθεῖσθαι δεόντως ἐπικρυφθησόμενα. μεταθέτω καὶ τὰ
ἐν ἑκατέρᾳ χειρὶ καὶ μὴ κιβδηλευέτω τὴν τάξιν. τὰ μὲν βέλη καὶ τόξα
τῇ δεξιᾷ προφερέτω· βάλλειν γὰρ καὶ τοξεύειν εὐσκόπως οἶδεν ἄνδρας,
γυναῖκας, συγγενείας ὅλας, εὐανδρούσας πόλεις, ἐπ' ὀλέθρῳ παντελεῖ.
105 τὰς δὲ χάριτας ἢ ῥιψάτω θᾶττον ἢ τῇ εὐωνύμῳ συσκιαζέτω· τὸ γὰρ
κάλλος ἦσχυνεν αὐτῶν, προσοφθαλμιῶν καὶ προσκεχηνὼς ταῖς μεγάλαις
οὐσίαις εἰς ἁρπαγὰς ἀδίκους, αἷς ἐπικατεσφάττοντο οἱ δεσπόται τῆς
106 εὐτυχίας ἕνεκα κακοδαιμονοῦντες. ἀλλὰ καὶ τὴν ἰατρικὴν Ἀπόλλωνος

---

1 φθάνοντας CGOM: φθάνοντα AH (v) εὐαγγελίζασθαι M πάμφημα (sic) G μέλλοντας CGOM: μέλλοντα AH (v) 2 ἐπιτρέπει M κηρύκιον C 3 γὰρ om. A 3. 4 λαμβάνουσιν C 4 δ' A 5 ἀτελευτήτους] ἀπείρους M 7 βοηδρομεῖται C, ει corr. in η M, βοηδρομῆσαι L 8 τί add. H^2 ἐπεσπευσμένης COML: ἐπεσπευασμένης G, ἐπεσπεύμενης H (v), εὐπευσμένης (sic) A μένων] διαμένων vel βρύων vel μὲν οὖν coni. Matthaei 9 ἀενάων CG: ἀεννάων ceteri (v) πάντα A 10 δεῖ κηρυκείου O: κηρύκειον ceteri (v) μηδὲ H ποτε om. AH μήτ' A, om. H 12 τε A (Mang.): γε ceteri (Turn.) ἑλλέδα M ἀποθέσθαι O, L (sed corr.) 14 ἀκτινωτὸν] ἀκτιακὸν CGO πῶς GOM 15 ἐκεῖνο A 16 καὶ σκότος add. Matthaei (cf. 178, 2): om. codd. (v) σκότους] νυκτὸς coni. Mang. 17 περιαυγίας G, περιεργίας M 18 δ' A φησιν A ἐσχατιὰς M; ἐσχατίας Mang., qui in append. ἐσχατιᾶς vel ἐσχατιῶν coni. 19 μεταθέτω] τὸ δὲ τόξον μετατεθέτω (sic) A; μετατιθέτω coni. Mang. 19—21 τὰ ἐν ἑκατέρᾳ — τῇ δεξιᾷ om. A 21 καὶ om. A 23 θᾶττον] κάτω A (mavult Mang.) 24 προσοφθαλμιῶν MA (Mang.): πρὸ ὀφθαλμῶν C, προσοφθαλμῶν H^1, πρὸς ὀφθαλμῶν GOH^2L; προοφθαλμῶν Turn. 25 ἐπικατεσφάτοντο M, ἐπικατασφάττονται A

εὖ πως μετεχάραξεν. ὁ μὲν γὰρ σωτηρίων φαρμάκων εὑρετὴς ἐγένετο
πρὸς ὑγείαν ἀνθρώπων, ἀξιῶν καὶ τὰς ὑφ' ἑτέρων ἐγγινομένας νόσους
αὐτὸς ἰᾶσθαι διὰ τὴν ἐκ φύσεως καὶ ἐπιτηδεύσεως ὑπερβάλλουσαν
p. 561 M. | ἡμερότητα. ὁ δὲ ἔμπαλιν νόσους μὲν τοῖς ὑγιαίνουσι, πηρώσεις δὲ τοῖς 107
ὁλοκλήροις, καὶ συνόλως θανάτους τοῖς ζῶσι χειροποιήτους πρὸ τοῦ μοι-
ριδίου χαλεποὺς ἐπέφερε, πάντα τὰ φθοροποιὰ χορηγίαις ἀφθόνοις παρε-
σκευασμένος, οἷς, εἰ μὴ ἔφθασε προαναιρεθεὶς ὑπὸ τῆς δίκης [χρήσασθαι],
κἂν τὸ ἐν ἑκάστῃ πόλει δοκιμώτατον ἤδη διέφθαρτο. πρὸς τοὺς γὰρ 108
ἐν τέλει καὶ πλουσίους εὐτρεπεῖς ἦσαν αἱ παρασκευαί, καὶ μάλιστα τοὺς
ἐν Ῥωμῃ καὶ τῇ ἄλλῃ Ἰταλίᾳ, παρ' οἷς ἄργυρος καὶ χρυσὸς τεθησαύρισται
τοσοῦτος, ὥστε, εἰ σύμπας ὁ ἐξ ἁπάσης τῆς ἄλλης οἰκουμένης ἀπὸ περά-
των αὐτῶν συνενεχθείη, πολλῷ καταδεέστερος ἂν εὑρεθῆναι. διὰ τοῦτο
ἀπὸ τῆς πατρίδος ὥσπερ ἀφ' ἱερᾶς ἤρχετο τὰ σπέρματα τῆς εἰρήνης
ἀπορρίπτειν, ὁ μισόπολις, ὁ δημοβόρος, ἡ λύμη, τὸ φθοροποιὸν κακόν.
λέγεται μὴ μόνον ἰατρὸς ἀλλὰ καὶ μάντις ἀγαθὸς Ἀπόλλων εἶναι, 109
χρησμοῖς προλέγων τὰ μέλλοντα πρὸς ὠφέλειαν ἀνθρώπων, ἵνα μή τις
ἐπισκιασθεὶς αὐτῶν περὶ τὸ ἄδηλον ἀπροοράτως καθάπερ τυφλὸς τοῖς
ἀβουλήτοις ὡς λυσιτελεστάτοις ἐπιτρέχων ἐπεμπίπτῃ, προμαθὼν δὲ τὸ
μέλλον ὡς ἤδη παρὸν καὶ βλέπων αὐτὸ τῇ διανοίᾳ οὐχ ἧττον ἢ τὰ ἐν
χερσὶν ὀφθαλμοῖς σώματος φυλάττηται, προνοούμενος τοῦ μηδὲν ἀνήκεστον
παθεῖν. ἆρα ἄξιον τούτοις ἀντιθεῖναι τὰ παλίμφημα Γαΐου λόγια, δι' 110
ὧν πενίαι καὶ ἀτιμίαι καὶ φυγαὶ καὶ θάνατοι προεμηνύοντο τοῖς παντα-
χοῦ τῶν ἐν τέλει καὶ δυνατῶν; τίς οὖν κοινωνία πρὸς Ἀπόλλωνα τῷ
μηδὲν οἰκεῖον ἢ συγγενὲς ἐπιτετηδευκότι; πεπαύσθω καὶ ὁ ψευδώνυμος
Παιὰν τὸν ἀληθῆ Παιᾶνα μιμούμενος· οὐ γὰρ ὥσπερ τὸ νόμισμα παρά-
κομμα καὶ θεοῦ μορφὴ γίνεται. (15.) πάντα γε μὴν ἐλπίσειεν ἄν 111
τις ⟨μᾶλλον⟩ ἢ τοιοῦτον σῶμα καὶ ψυχήν, ἅμφω μαλακὰ καὶ κατεαγότα,
τῇ περὶ ἑκάτερον Ἄρεως ἀλκῇ δυνηθῆναί ποτε ἐξομοιωθῆναι· ὁ δὲ

---

1 πῶς GM μετεχάρᾶεν (sic) H, μετεχάραττεν L 2 ὑγίειαν M ἐγγινο-
μένας ὑφ' ἑτέρων transp. A συγγινομένας M 4 ὑγιαίνουσιν L ὁ ζῶσιν L
6 χαλεπῶς AH (Mang.) 7 ἂν ante ἔφθασε add. A ἔφθασε μὴ transponendum
vid. Mang. ἢ ante χρήσασθαι add. A 8 χρήσασθαι seclusit Cohn κἂν] πᾶν
Mang. γὰρ τοὺς transp. A 10 τοὺς ἐν ante τῇ add. M (Mang.) τεθησαύριστο
A (mavult Mang.) 11 ὥστ' A οἰκομένης M 12 αὐτῶν om. H συν-
ενεγχθείη M καταδεέστερον H vel καταδεέστερον vel εὑρεθείη coni. Mang.
13 ἱεροῦ A 14 ἀπορρίπτων coni. Mang. δημοβόρος] δημάδης H¹, δημώδης H²,
δημόδης L; δημοκόπος Turn. (in append.) 17 ἐπισκιασθεὶς] ἐπικλασθεὶς A αὐτῶν
scripsi: τῶν codd. (om. v) 18 ἐπεμπίπτει GO 20 ὀφθαλμοὶ A 21 ἄρ' ἄξια A
ἀνατιθέναι A 22 προυμηνύοντο A τοῖς] τῆς M 22. 23 πανταχοῦ CGO:
ἁπανταχοῦ ceteri; πανταχοῦ ⟨δοκιμωτάτους⟩ coni. Cohn coll. § 144 23 τῷ] τὸ G,
corr. in τῶ O 24 εἰς ante οἰκεῖον add. A οἰκεῖον] ὅμοιον coni. Mang. 26 γε
om. M ἐλπίσει L 27 μᾶλλον supplevit Turn. (v): om. codd. 28 ἄρεος GMH

ὥσπερ ἐπὶ σκηνῆς ἐναλλάττων πολυειδῆ προσωπεῖα φαντασίαις ψευδέσιν
112 ἡπάτα τοὺς ὁρῶντας. φέρε δ' οὖν, μηδὲν τῶν περὶ σῶμα καὶ ψυχὴν
ἐξεταζέσθω διὰ τὴν ἐν πάσαις σχέσεσι καὶ κινήσεσιν ἀλλοτριότητα πρὸς
τὸν εἰρημένον δαίμονα· τὴν Ἄρεως οὖν, οὐχὶ τοῦ μεμυθευμένου, τοῦ
δὲ ἐν τῇ φύσει λόγου, ὃν ἀνδρεία κεκλήρωται, δύναμιν οὐκ ἴσμεν ἀλε-
ξίκακον οὖσαν καὶ βοηθὸν καὶ παραστάτιν ἀδικουμένων, ὡς καὶ αὐτό που
113 δηλοῖ τοὔνομα; παρὰ γὰρ τὸ ἀρήγειν, ὅπερ βοηθεῖν ἐστι, κατὰ γλῶτταν
Ἄρης ὠνομάσθαι μοι δοκεῖ, καθαιρετικὸς πολέμων, δημιουργὸς εἰρήνης,
ἧς ἐχθρὸς μὲν ἦν ἕτερος, ἑταῖρος δὲ πολέμων, τὴν εὐστάθειαν εἰς
ταραχὰς καὶ στάσεις μεθαρμοζόμενος.

114 (16.) | Ἆρά γε ἤδη μεμαθήκαμεν ἐκ τούτων, ὅτι οὐδενὶ θεῶν ἀλλ' p. 562 M.
οὐδὲ ἡμιθέων ἐξομοιοῦσθαι δεῖ Γάιον, μήτε φύσεως μήτε οὐσίας ἀλλὰ
μηδὲ προαιρέσεως τετυχηκότα τῆς αὐτῆς; τυφλὸν δέ, ὡς ἔοικεν, ἡ ἐπι-
θυμία, καὶ μάλισθ' ὅταν προσλάβῃ κενοδοξίαν ὁμοῦ καὶ φιλονεικίαν μετὰ
τῆς μεγίστης ἐξουσίας, ὑφ' ἧς ἡμεῖς οἱ πρότερον εὐτυχεῖς ἐπορθούμεθα.
115 μόνους γὰρ Ἰουδαίους ὑπεβλέπετο, ὡς δὴ μόνους τἀναντία προηρημένους
καὶ δεδιδαγμένους ἐξ αὐτῶν τρόπον τινὰ σπαργάνων ὑπὸ γονέων καὶ
παιδαγωγῶν καὶ ὑφηγητῶν καὶ πολὺ πρότερον τῶν ἱερῶν νόμων καὶ ἔτι
τῶν ἀγράφων ἐθῶν ἕνα νομίζειν τὸν πατέρα καὶ ποιητὴν τοῦ κόσμου
116 θεόν. οἱ μὲν γὰρ ἄλλοι πάντες, ἄνδρες, γυναῖκες, πόλεις, ἔθνη, χῶραι,
κλίματα γῆς, ὀλίγου δέω φάναι πᾶσα ἡ οἰκουμένη, καίτοι στένοντες ἐπὶ
τοῖς γινομένοις, οὐδὲν ἧττον ἐκολάκευον αὐτὸν ἀποσεμνύνοντες πλέον τοῦ
μετρίου καὶ τὸν τῦφον συναύξοντες. ἔνιοι δὲ καὶ τὸ βαρβαρικὸν ἔθος εἰς
Ἰταλίαν ἤγαγον, τὴν προσκύνησιν, τὸ εὐγενὲς τῆς Ῥωμαϊκῆς ἐλευθερίας
117 παραχαράττοντες. ἓν δὲ μόνον ἔθνος ἐξαίρετον τῶν Ἰουδαίων ὅποπτον
ἦν ἀντιπράξειν, εἰωθὸς ἐκουσίους ἀναδέχεσθαι θανάτους ὥσπερ ἀθανασίαν,
ὑπὲρ τοῦ μηδὲν τῶν πατρίων περιιδεῖν ἀναιρούμενον, εἰ καὶ βραχύτατον εἴη,

---

1 ἐναλάττων H 2 δ' om. L (v) 3 ἐξεταζέσθω Mang.: ἐξετάζεσθαι codd.; ἐξετάζεται Turn. δι (sic) C ἀλλοτριώτητα H 4 τὴν Turn. (v): τῆς CGOH, τῇ M, τοῦ A ἄρεος GMH¹ (corr. H²) L 5 δ' A ἀνδρία M (v), ἀνδρεία A οὐκ om. C 6 παραστάτην MH 7 γὰρ om. A 8 ὠνόμασται G; προσωνομάσθαι coni. Mang. 9 ἕτερος ἑταῖρος Mang: ἕτερος om. MAH, ἑταῖρος om. CGOL; ἕτερος ἕτερος Turn. δὲ om. CGO 10 στάσεις] τάξεις M 11 ἀρά GA: ἄρα ceteri ἐκ om. Turn. ἀλλ' om. A 12 οὐδ' A 13 τυφλὸς Turn. δ' A ἡ om. C 14 μάλιστα MGO καινοδοξίαν M 15 εὐτυχεῖς Mang.: ἀτυχεῖς codd. (v) 16 alt. μόνους] μόνα A προειρημένους GL, ει corr. in η OH² 17 δεδιγμένους (sic) M 20 γὰρ om. A καὶ ante γυναῖκες add. A πόλεις om. AH 21 κλήματα G φάναι om. M 22 γενομένοις H 23 ἔθος A 24 εὐγενὲς Mang. (Dahl): συγγενὲς codd. (v) 25 ἔθος M ἐξαίρετον τῶν (τὸ O) Ἰουδαίων CGO (Turn.): τῶν Ἰουδαίων ἐξαίρετον M, τὸ τῶν Ἰουδαίων ἐξαίρετον A, τὸ Ἰουδαίων ἐξαίρετον H τῶν] τὸ τῶν Mang. 26 ἀντιπράττειν H εἰωθὼς M 27 εἰ — εἴη om. A

διὰ τὸ καθάπερ ἐπὶ τῶν οἰκοδομημάτων ὑφαιρέσει ἑνὸς καὶ τὰ ἔτι παγίως ἑστάναι δοκοῦντα συμπίπτειν πρὸς τὸ κενωθὲν χαλώμενα καὶ καταρρέοντα. μικρὸν δὲ οὐκ ἦν τὸ κινούμενον, ἀλλὰ τὸ μέγιστον τῶν 118
ὄντων, ἀνθρώπου γενητὴν καὶ φθαρτὴν φύσιν εἰς ἀγένητον καὶ ἄφθαρτον ὅσα τῷ δοκεῖν θεοπλαστῆσαι, ὅπερ ἀσεβημάτων ἔκρινεν εἶναι χαλεπώτατον — θᾶττον γὰρ ἂν εἰς ἄνθρωπον θεὸν ἢ εἰς θεὸν ἄνθρωπον μεταβαλεῖν —, δίχα τοῦ καὶ τὰς ἄλλας τὰς ἀνωτάτω κακίας ἀναδέξασθαι, ἀπιστίαν ὁμοῦ καὶ ἀχαριστίαν πρὸς τὸν τοῦ κόσμου παντὸς εὐεργέτην, ὃς τῇ αὐτοῦ δυνάμει τοῖς μέρεσι πᾶσι τοῦ παντὸς ἀφθόνους περιουσίας ἀγαθῶν ἐκδίδωσιν.

(17.) Μέγιστος οὖν καὶ ἀκήρυκτος πόλεμος ἐπὶ τῷ ἔθνει συνε- 119
κροτεῖτο. τί γὰρ ἂν εἴη δούλῳ βαρύτερον κακὸν ἢ δεσπότης ἐχθρός; δοῦλοι δὲ αὐτοκράτορος οἱ ὑπήκοοι, καὶ εἰ μηδενὸς ἑτέρου τῶν προτέρων διὰ τὸ σὺν ἐπιεικείᾳ καὶ μετὰ νόμων ἄρχειν, ἀλλά τοι Γαΐου πᾶσαν ἐκτετμημένου τῆς ψυχῆς ἡμερότητα καὶ παρανομίαν ἐζηλωκότος — νόμον γὰρ ἡγούμενος ἑαυτὸν τοὺς τῶν ἑκασταχοῦ νομοθετῶν ὡς κενὰς ῥήσεις ἔλυεν —· ἡμεῖς δὲ οὐ μόνον ἐν δούλοις ἀλλὰ καὶ δούλων τοῖς ἀτιμο-
p. 563 M. τάτοις ἐγραφόμεθα τοῦ ἄρχοντος τρέποντος εἰς δεσπότην. (18.) | ὅπερ 120
συναισθόμενος ὁ Ἀλεξανδρέων μιγὰς καὶ πεφορημένος ὄχλος ἐπέθετο ἡμῖν, καιρὸν ἐπιτηδειότατον παραπεπτωκέναι ὑπολαβών, καὶ τὸ τυφόμενον ἐκ μακρῶν χρόνων μῖσος ἀνέφηνε πάντα κυκῶν καὶ συνταράττων. ὡς 121
γὰρ ἐκδοθέντας εἰς ὁμολογουμένας καὶ τὰς ἀνωτάτω συμφορὰς ὑπὸ τοῦ αὐτοκράτορος ἢ πολέμῳ κατακρατηθέντας ἐκμανέσι καὶ θηριωδεστάταις ὀργαῖς κατειργάζοντο, ταῖς οἰκίαις ἐπιτρέχοντες, τοὺς δεσπότας αὐταῖς

---

1 ἐπὶ] ὑπὸ H 3 κενούμενον A 4 δὲ ante γενητὴν add. A γεννητὴν Turn. καὶ φθαρτὴν φύσιν CGO: φύσιν καὶ φθαρτὴν transp. ceteri 5 ἔκρινεν (scil. τὸ τῶν Ἰουδαίων ἔθνος)] κρίνω coni. Mang., ἔοικεν Ernesti χαλεπώτατον CGO: χαλεπώτερον ceteri 6 ἂν om. MH 7 καὶ ante δίχα add. M ἀναδείξασθαι coni. Mang. 8 αὐτοῦ v: αὐτοῦ codd. 10 ἐκδίδωσιν CL: ἐκδίδωσι ceteri (v) 12 δούλου H 13 προτέρων C: πρότερον ceteri 14 πᾶσαν γαΐου transp. A 16 τοὺς] τὰς A 18 ἐγγραφόμεθα A; ἐνεγραφόμεθα coni. Mang. τοῦ ἄρχοντος A (Mang): τὸν ἄρχοντα ceteri (Turn.) τρέποντες CGO (Turn.); τραπέντος coni. Wendl. 19 ὁ om. A συμπεφορημένος A (Mang.) 20 ἐπιτηδει≡τατον C, ἐπιτηδειότητος H (Turn.) ἐντυφόμενον vel ὑποτυφόμενον coni. Mang. 21 ἀνεφάνη coni. Matthaei ταράττων A; συνταράττον coni. Matthaei 23 κατακρατηθέντας scripsi: κατακριθέντας C, κρατηθέντας ceteri (v) ἐκμανέσιν L θηριώδεσιν H 24 ὀργαῖς CGOMH (Turn.): ὁρμαῖς A (Mang.) κατειργάζοντο] κατηναγκάζοντο H ἐπιτρέχοντας H^1, corr. H^2

---

12 DR fol. 160r τοῦ αὐτοῦ: τί ἂν εἴη δούλῳ βαρύτερον κακὸν ἢ δεσπότης ἐχθρός;

122 γυναιξὶ καὶ τέκνοις ἐλαύνοντες, ὡς κενὰς οἰκητόρων ἀποφῆναι. ἔπιπλα καὶ κειμήλια οὐκέτι ὡς λῃσταὶ νύκτα καὶ σκότος ἐπιτηροῦντες διὰ φόβον ἁλώσεως ἔκλεπτον, ἀλλὰ φανερῶς μεθ' ἡμέραν ἐξεφόρουν ἐπιδεικνύμενοι τοῖς ἁπαντῶσιν, ὥσπερ οἱ κεκληρονομηκότες ἢ πριάμενοι παρὰ τῶν κυρίων. εἰ δὲ καὶ πλείους συνέθεντο κοινοπραγῆσαι τῶν ἁρπαγῶν, τὴν λείαν ἐν ἀγορᾷ μέσῃ διενέμοντο, πολλάκις ἐν ὄψεσι τῶν δεσποτῶν, κατακερτο-
123 μοῦντες καὶ ἐπιχλευάζοντες. δεινὰ μὲν οὖν καθ' ἑαυτὰ καὶ ταῦτα· πῶς γὰρ οὔ; πένητας ἐκ πλουσίων καὶ ἀπόρους ἐξ εὐπόρων γεγενῆσθαι μηδὲν ἀδικοῦντας ἐξαίφνης καὶ ἀνοίκους καὶ ἀνεστίους, ἐξεωσμένους καὶ πεφυγαδευμένους τῶν ἰδίων οἰκιῶν, ἵνα μεθ' ἡμέραν καὶ νύκτωρ ὕπαιθροι διατελοῦντες ἢ ταῖς ἀφ' ἡλίου φλογώσεσιν ἢ νυκτεριναῖς περιψύξεσι
124 διαφθαρῶσι. κουφότερα δὲ τῶν μελλόντων λέγεσθαι ταῦτα· συνελάσαντες γὰρ τοσαύτας μυριάδας ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν καὶ τέκνων καθάπερ βοσκήματα καὶ θρέμματα ἐξ ἁπάσης τῆς πόλεως εἰς μοῖραν ἐλαχίστην οἷά τινα σηκόν, ᾠήθησαν ὀλίγαις ἡμέραις σωροὺς ἀθρόων νεκρῶν ἐφευρήσειν ἢ λιμῷ διαφθαρέντων διὰ σπάνιν τῶν ἀναγκαίων, οὐ προευτρεπισμέ-
125 νων τὰ ἐπιτήδεια κατὰ μαντείαν τῶν ἐξαπιναίων κακοπραγιῶν, ἢ δι' ὠθισμὸν καὶ πνῖγος, μηδεμιᾶς εὐρυχωρίας προσφερομένης, ἀλλὰ καὶ τοῦ πέριξ ἀέρος κακωθέντος καὶ ὅσον ἦν ἐν αὐτῷ ζωτικὸν ταῖς ἀναπνοαῖς, εἰ δὲ δεῖ τὸ ἀληθὲς εἰπεῖν, τοῖς ἐκπνεόντων ἄσθμασιν ὑποβαλόντος, ὑφ' ὧν φλεγόμενος καὶ τρόπον τινὰ καταβολῇ πυρετοῦ πιεσθεὶς θερμὸν καὶ ἄτοπον πνεῦμα διὰ μυκτήρων καὶ στόματος εἰσέπεμπε, τὸ λεγόμενον
126 κατὰ τὴν παροιμίαν πῦρ ἐπιφέρων πυρί. τῶν γὰρ ἐντὸς σπλάγχνων ἡ δύναμις ἐκ φύσεως φλογωδεστάτη καθέστηκεν, ἣν ὅταν μὲν αἱ θύραθεν αὖραι μετρίως ψυχραὶ καταπνέωσιν, εὐοδεῖ τὰ τῆς ἀναπνοῆς ὄργανα ταῖς εὐκρασίαις, ὅταν δὲ μεταβάλωσι πρὸς τὸ θερμότερον, ἀνάγκη δυσοδεῖν
127 πυρὸς ἐπεισρέοντος πυρί. (19.) μηκέτι οὖν ὑπομένειν τὴν δυσχωρίαν
p. 564 M. | οἷοί τε ὄντες ἐξεχέοντο εἰς ἐρημίας καὶ αἰγιαλοὺς καὶ μνήματα, γλιχό-

---

1 ἐλαύνοντας A ὡς CGO: ἀς ceteri (v) ἀποφῆναι O: ἀπέφηναν ceteri (v)
2 σκότος A: σκότον ceteri (v) φόβου A 3 ἔκλεπτον] ἔβλεπον H
4 ἁπατῶσιν G 5 συνέθετο L ἐν om. CG 6 ὄψεσιν L
9 ἀοίκους A 11 φλογώδεσιν AL 15 σωροὺς GA (coni. Mang.): σώους O, σοροὺς ceteri (v) ἀθρόον O, ἀθρόως A; ἀθρόους coni. Mang. 16 οὐ] μὴ A
16. 17 προηυτρεπισμένων H (v) 17 κακῶν ὁ πραγιῶν (sic) M
18 τῶν ἰδίων κακοπραγιῶν ante μηδεμιᾶς add. A προσφερομένης A (Mang.): προφερομένης ceteri (Turn.) 19 ἐν om. A 20 τὸ ἀλεθὲς G, ταληθὲς AH ἄσμασιν L ὑπερβάλλοντος A, ὑποβαλλόντος (sic) L; ἀποβαλόντος v
22 ἄτοπον] ἐντυφόμενον coni. Mang. 23 ἐπιφέρον L 25 εὐοδεῖ CGO^{1}H^{2}L (Turn.): εὐωδεῖ O^{2}MAH^1 (Mang.); εὐοδοῖ in append. Mang. 26 μεταβάλλωσι OAH δυσοδεῖν CO^{1}H^2 (Turn., in append. Mang.): δυσωδεῖν GO^{2}MAH^1 (Mang.)
27 ἐπεισπνέοντος A γοῦν G 28 τ' A ἐρημίας codd. (mavult Mang.): ἐρημίαν v καὶ αἰγιαλοὺς om. H

μενοι σπάσαι καθαροῦ καὶ ἀβλαβοῦς ἀέρος. εἰ δέ τινες ἢ προκατελήφθησαν ἐν τοῖς ἄλλοις μέρεσι τῆς πόλεως ἢ ἀγνοίᾳ τῶν κατασκηψάντων κακῶν ἀγρόθεν παρεγένοντο, πολυτρόπων ἀπέλαυον συμφορῶν, ἢ καταλευόμενοι ἢ κεράμῳ τιτρωσκόμενοι ἢ πρίνου κλάδοις καὶ δρυὸς τὰ
5 καιριώτατα μέρη τοῦ σώματος καὶ μάλιστα κεφαλὴν ἄχρι θανάτου καταγνύμενοι. περικαθήμενοι δὲ ἐν κύκλῳ τινὲς τῶν ἀργεῖν καὶ σχολάζειν 128
εἰωθότων τοὺς συνεληλαμένους καὶ συνεωσμένους εἰς ἐσχατιᾶς βραχύ τι μέρος, ὡς ἔφην, καθάπερ τοὺς τειχήρεις γεγονότας ἐπετήρουν, μή τις ὑπεξέλθῃ λαθών. ἔμελλον δὲ ἄρα οὐχ ὀλίγοι διὰ σπάνιν τῶν ἀναγκαίων
10 ἀλογήσαντες τῆς ἰδίας ἀσφαλείας ἐξιέναι, δέει τοῦ μὴ λιμῷ πανοίκιοι παραπολέσθαι. τούτων τὰς διαλύσεις καραδοκοῦντες ἐπετήρουν καὶ τοὺς συλληφθέντας εὐθὺς διέφθειρον αἰκιζόμενοι πάσαις αἰκίαις. ἕτερος δὲ 129
λόχος ἦν ἐφεδρεύων τοῖς τοῦ ποταμοῦ λιμέσι πρὸς ἁρπαγὴν τῶν καταγομένων Ἰουδαίων καὶ ὧν κατ' ἐμπορίαν ἐκόμιζον· ἐπεισβαίνοντες γὰρ
15 ταῖς ναυσὶ τὸν φόρτον ἐν ὄψεσι τῶν κυρίων ἐξεφόρουν καὶ αὐτοὺς ἐξαγκωνίζοντες ἐνεπίμπρασαν, ὕλῃ χρώμενοι πηδαλίοις, οἴαξι, κοντοῖς καὶ ταῖς ἐπὶ τῶν καταστρωμάτων σανίσι. τοῖς δὲ ἐν μέσῃ τῇ πόλει κατα- 130
καιομένοις οἰκτρότατος ἦν ὄλεθρος· σπάνει γὰρ ἔστιν ὅτε ξύλων φρύγανα συνεφόρουν καὶ ταῦτα ἀνάψαντες ἐπερρίπτουν τοῖς ἀθλίοις· οἱ δὲ ἡμί-
20 φλεκτοι καπνῷ τὸ πλέον ἢ πυρὶ διεφθείροντο, τῆς φρυγανώδους ὕλης πῦρ μὲν ἀμενηνὸν καὶ καπνῶδες ἐξαπτούσης καὶ αὐτίκα σβεννυμένης, ἀνθρακοῦσθαι δὲ διὰ κουφότητα μὴ δυναμένης. πολλοὺς δὲ ἔτι ζῶντας 131
ἱμάσι καὶ βρόχοις περιβαλόντες καὶ ἐπισφίγξαντες τὰ σφυρὰ διὰ μέσης κατέσυρον ἀγορᾶς ἐναλλόμενοι καὶ μηδὲ νεκρῶν ἀπεχόμενοι τῶν σωμά-
25 των· διαρτῶντες γὰρ αὐτὰ κατὰ μέλη καὶ μέρη καὶ πατοῦντες οἱ καὶ τῶν ἀτιθάσων θηρίων ὠμότεροι καὶ ἀγριώτεροι πᾶσαν ἰδέαν ἐξανήλισκον, ὡς μηδὲ λείψανον γοῦν ὃ δυνήσεται ταφῆς ἐπιλαχεῖν ὑπολιπέσθαι.

---

1. 2 προκατελείφθησαν A, προκατελείφθησαν L (Mang.) 3 ἀπέλαυον OA: ἀπήλαυον C, ἀπήλαυνον L, ἀπέλαυνον M, ἀπήλαυον GH (v) 4 κεράμοις coni. Mang. 5 καιριώτατα scripsi (cf. 132,13. 161,17): κυριώτατα CGOMH (v), κυριώτερα A 6 δ' A 7 συνεληλασμένους H^1, corr. H^2, ἐληλασμένους A 9 ὑπεξέλθῃ CGO: ὑπεξέλθοι ceteri (v) δ' A 10 ἀλογήσαντες OMH: ἀλογήσοντες CG, ἀμελήσαντες A 11 διελεύσεις A; διαδύσεις v εὐθὺς ante ἐπετήρουν add. A 12 συληφθέντας M εὐθὺς CGO: εὐθέως (γράφεται εὐθύς M in marg.) ceteri (v) οἰκίαις H 12. 13 λόχος δὲ ἕτερος transp. O 13 λόχος A 13. 14 κατεχομένων A 14 ἐνόμιζον G 17 σανίσιν L μέση A (Mang.): μέσῳ CGOMH (Turn.) 18 ὅτι G 19 τοὺς ἀθλίους A (Mang., sed in append. praefert τοῖς ἀθλίοις) 20 τὸ] καὶ M 22 pr. δὲ] καὶ C κουφότητος H (Turn.) 23 ἱμάσι καὶ] ἱμάσιν ἢ A (Mang.) περιβάλλοντες CGOA ἐπισφίξαντες M 24 ἀγορᾶς om. H 25 διαρτῶντες codd. (Turn. in append.): διαρταμῶντες v γὰρ] δὲ A μέλη] τὰ μέλη G μέρη καὶ μέλη transp. A 26 ἀτιθάσσων MA (v) 27 ὑπολείπεσθαι L

132 (20.) Τοῦ δὲ ἐπιτρόπου τῆς χώρας, ὃς μόνος ἐδύνατο βουληθεὶς ὥρᾳ μιᾷ τὴν ὀχλοκρατίαν καθελεῖν, προσποιουμένου ἅ τε ἑώρα μὴ ὁρᾶν καὶ ὧν ἤκουε μὴ ἐπακούειν, ἀλλ' ἀνέδην ἐφιέντος πολεμοποιεῖν καὶ τὴν εἰρήνην συγχέοντος, ἔτι μᾶλλον ἐξοτρυνόμενοι πρὸς ἀναισχύντους καὶ θρασυτέρας ὥρμησαν | ἐπιβουλὰς καὶ συνταξάμενοι στίφη πολυανθρωπότατα p. 565 M.
τὰς προσευχάς — πολλαὶ δέ εἰσι καθ' ἕκαστον τμῆμα τῆς πόλεως — 6
τὰς μὲν ἐδενδροτόμησαν τὰς δὲ αὐτοῖς θεμελίοις κατέσκαψαν, εἰς ἃς δὲ
καὶ πῦρ ἐμβαλόντες ἐνέπρησαν, ὑπὸ λύττης καὶ μανίας ἔκφρονος ἀλογήσαντες καὶ τῶν πλησίον οἰκιῶν· πυρὸς γάρ, ὁπότε λάβοιτο ὕλης, οὐδὲν
133 ὠκύτερον. καὶ σιωπῶ τὰς συγκαθαιρεθείσας καὶ συμπρησθείσας τῶν 10
αὐτοκρατόρων τιμὰς ἀσπίδων καὶ στεφάνων ἐπιχρύσων καὶ στηλῶν καὶ ἐπιγραφῶν, δι' ἃ καὶ τῶν ἄλλων ὤφειλον ἀνέχειν· ἀλλ' ἐθάρρουν ἅτε τὴν ἐκ Γαΐου τίσιν οὐ δεδιότες, ὃν εὖ ἠπίσταντο μῖσος ἄλεκτον ἔχοντα πρὸς Ἰουδαίους, ὡς ὑπονοεῖν, ὅτι οὐδεὶς οὐδὲν αὐτῷ χαρίζοιτο μεῖζον ἢ
134 πάσας κακῶν ἰδέας ἐπιφέρων τῷ ἔθνει. βουλόμενοι δὲ καινοτέραις κολα- 15
κείαις ὑπελθόντες αὐτὸν ἀνυπευθύνοις χρῆσθαι κατὰ τὸ παντελὲς ταῖς εἰς ἡμᾶς ἐπηρείαις τί ποιοῦσι; προσευχὰς ὅσας μὴ ἐδυνήθησαν ἐμπρήσεσι καὶ κατασκαφαῖς ἀφανίσαι διὰ τὸ πολλοὺς καὶ ἀθρόους πλησίον οἰκεῖν Ἰουδαίους ἕτερον τρόπον ἐλυμήναντο μετὰ τῆς τῶν νόμων καὶ ἐθῶν ἀνατροπῆς· εἰκόνας γὰρ ἐν ἁπάσαις μὲν ἱδρύοντο Γαΐου, ἐν δὲ τῇ με- 20
γίστῃ καὶ περισημοτάτῃ καὶ ἀνδριάντα χαλκοῦν ἐποχούμενον τεθρίππῳ.
135 καὶ τοσοῦτον ἦν τὸ τάχος καὶ τὸ σύντονον τῆς σπουδῆς, ὥστε οὐκ ἔχοντες ἐν ἑτοίμῳ καινὸν τέθριππον ἐκ τοῦ γυμνασίου παλαιότατον ⟨ἑκόμιζον⟩ ἰοῦ γέμον, ἠκρωτηριασμένον ὦτα καὶ οὐρὰς καὶ βάσεις καὶ ἕτερα οὐκ ὀλίγα, ὡς δέ φασί τινες καὶ ὑπὲρ γυναικὸς ἀνατεθὲν τῆς ἀρχαίας Κλεοπάτρας, 25
136 ἥτις ἦν προμάμμη τῆς τελευταίας. ἡλίκην μὲν οὖν καθ' αὑτὸ τοῦτο τοῖς ἀναθεῖσιν ἐπέφερε κατηγορίαν, παντί τῳ δῆλον. τί γάρ, εἰ ⟨καὶ⟩ καινὸν γυναικός; τί δέ, εἰ παλαιὸν ἀνδρός; τί δέ, εἰ συνόλως ἐπιφημισθὲν ἑτέρῳ;

---

1 δ' A (v) ἠδύνατο A 2 ὀχλοκρατίαν v: ὀχλοκρατειαν (sic) C, ὀχλοκρασίαν ceteri (praefert Mang.) ὥρα A 3 ἤκουεν G ἀναίδην CG alt. καὶ om. CO 4. 5 καὶ θρασυτέρας om. A 5 ἐπιβολὰς vel βουλὰς (sic Ven. 41) coni. Mang. καὶ A: om. ceteri πολυανθρωπότητα M 6 τὰς προσευχάς scripsi: ταῖς (καὶ ταῖς G) προσευχαῖς codd.; τῶν προσευχῶν v εἰσι≡ C; εἰσιν Mang. τμῆμα] μνῆμα GO 8 ἐμβαλλόντες (sic) H 10 καὶ συμπρισθείσας ss. M, καὶ συμπληρωθείσας A 11 αὐτοκρατορικῶν coni. Mang. 14 ἦ] ἢ ὁ O 16. 17 τῆς — ἐπηρείας O 17 ἠδυνήθησαν A ἐμπρήσεσιν L 18 alt. καὶ om. CGO (Turn.) πλησίον om. A 20 μὲν ante γὰρ transp. A ἱδρύσαντο A 21 παρασημοτάτῃ A 22 alt. τὸ om. H (v) 23 ἐν] μὲν A ἐκ] καὶ L ἐκόμιζον add. Cohn: om. codd. (v); ἐπορίσαντο add. Wendl. 24 ἠκροτηριασμένον H τὰ ante ὦτα add. A οὐρὰν A 27 ἀνατεθεῖσιν H^1, τε exp. H^2 ἐπέφερεν H 27 καὶ addidi: om. codd. (v) 28 εἰ παλαιὸν ἀνδρός] κἂν ἀνδρός, εἰ παλαιόν coni. Mang. παλαιὸν codd.: καὶ παλαιὸν v alt. δέ] οὖν A ὅλως H

τοὺς τοιοῦτον ἀνατιθέντας ὑπὲρ αὐτοκράτορος οὐκ εἰκὸς ἦν εὐλαβηθῆναι,
μή τις γένηται μήνυσις τῷ πάντα σεμνοποιοῦντι τὰ καθ' αὑτὸν διαφε-
ρόντως; οἱ δέ γε ἐκ πολλοῦ τοῦ περιόντος ἤλπιζον ἐπαινεθήσεσθαι καὶ 137
μειζόνων καὶ λαμπροτέρων ἀπολαύσειν ἀγαθῶν ἕνεκα τοῦ καινὰ τεμένη
προσαναθεῖναι Γαΐῳ τὰς προσευχάς, οὐχ ἕνεκα τιμῆς τῆς εἰς ἐκεῖνον,
ἀλλ' ὑπὲρ τοῦ πάντα τρόπον ἐμφορεῖσθαι τῶν ἐπὶ τῷ ἔθνει κακοπραγιῶν.
p. 566 M. ἐναργεῖς δὲ πίστεις | λαβεῖν ἔστι· πρῶτον μὲν ἀπὸ τῶν βασιλέων· δέκα 138
που σχεδὸν ἢ καὶ πλειόνων ἐν τριακοσίοις ἔτεσιν ἑξῆς γενομένων, ἀνά-
θεσιν εἰκόνων ἢ ἀνδριάντων ἐν προσευχαῖς οὐδεμίαν ἐποιήσαντο, καίτοι
γε οἰκείων ὄντων καὶ συγγενῶν, οὓς θεοὺς καὶ ἐνόμιζον καὶ ἔγραφον καὶ
ἐκάλουν. τί δὲ οὐκ ἔμελλον ἀνθρώπους γε ὄντας οἱ κύνας καὶ λύκους 139
καὶ λέοντας καὶ κροκοδείλους καὶ ἄλλα πλείονα θηρία καὶ ἔνυδρα καὶ
χερσαῖα καὶ πτηνὰ θεοπλαστοῦντες, ὑπὲρ ὧν βωμοὶ καὶ ἱερὰ καὶ ναοὶ
καὶ τεμένη κατὰ πᾶσαν Αἴγυπτον ἵδρυνται; (21.) τάχα που νῦν φήσουσι 140
τότε οὐκ ἂν εἰπόντες — τὰς γὰρ τῶν ἀρχόντων εὐπραγίας μᾶλλον ἢ
τοὺς ἄρχοντας αὐτοὺς εἰώθασι θεραπεύειν —, ὅτι μείζους μὲν οἱ αὐτο-
κράτορες τὰ ἀξιώματα καὶ τὰς τύχας τῶν Πτολεμαίων εἰσί, μειζόνων δὲ
καὶ τιμῶν τυγχάνειν ὀφείλουσιν. εἶτα, ὦ πάντων ἀνθρώπων, ἵνα μηδὲν 141
ἀναγκασθῶ βλάσφημον εἰπεῖν, εὐηθέστατοι, διὰ τί τὸν πρὸ Γαΐου Τιβέριον,
ὃς κἀκείνῳ τῆς ἡγεμονίας αἴτιος γέγονε, τρία πρὸς τοῖς εἴκοσιν ἔτη γῆς
καὶ θαλάσσης ἀναψάμενον τὸ κράτος καὶ μηδὲ σπέρμα πολέμου μήτε
κατὰ τὴν Ἑλλάδα μήτε κατὰ τὴν βάρβαρον ὑποτυφόμενον ἐάσαντα, τὴν
δὲ εἰρήνην καὶ τὰ τῆς εἰρήνης ἀγαθὰ παρασχόμενον ἄχρι τῆς τοῦ βίου
τελευτῆς ἀφθόνῳ καὶ πλουσίᾳ χειρὶ καὶ γνώμῃ, τῆς ὁμοίας τιμῆς οὐκ
ἠξιώσατε; τὸ γένος ἦν ἐλάττων; ἀλλ' εὐγενέστατος κατ' ἀμφοτέρους 142
τοὺς γονεῖς. ἀλλὰ τὴν παιδείαν; καὶ τίς ἦν φρονιμώτερος ἢ λογιώτερος
ἐκείνου τῶν κατ' αὐτὸν ἀκμασάντων; ἀλλὰ τὴν ἡλικίαν; καὶ ποῖος μᾶλλον

---

1 τοιούτους A 2 μήνυσις τῷ] μῆνις αὐτῷ A πάντων H καθ' αὑτὸν A (coni. Mang.): κατ' αὐτὸν ceteri (v) 3 οἱ δέ] οὐδέ Turn. (sic primitus C) 4 ἀπολαύσεις H (Turn.) 5 προσαναθῆναι H εἰς] πρὸς A 7 ἐστιν A ⟨ὧν⟩ δέκα coni. Cohn 8 τριακοσίοις] τ̄ C οἱ ante ἀνάθεσιν add. v; οἷς coni. Mang. (Dahl) 11 γε] τε GO, corr. in γε C 12 κροκωδείλους C πλείονα CG: πλείω ceteri 14 καὶ τεμένη om. A φήσουσιν L 15 ἂν om. CGO ἀρχόντων] ἐχόντων G 16 εἰώθασιν L 17 εἰσίν CL 19 τοῦ ante Γαΐου add. A (v) 20 γέγονεν L εἴκοσι M (v), κ̄ CL 21 θαλάσσης CGO: θαλάττης ceteri (v) μὴ δὲ CGO: μηδὲν ceteri (v) σπέρματα M; ζώπυρον vel ἐμπύρευμα coni. Mang. 23 ἄχρι] πρὸ A τοῦ om. H 24 πλουσίᾳ codd.: πλουσίῳ v 25 ἦν] οὖν M 26 λογιώτερος A (Mang.): λογικώτερος (κ exp. G) ceteri (Turn.)

---

15. 16 DK fol. 191r (post locum ad p. 161, 26 adlatum) ἐκ τῆς αὐτῆς: τὰς τῶν — θεραπεύειν οἱ πλεῖστοι. eadem DV p. 564 (cf. Harris p. 79 sq., qui haec sub Clementis nomine in DP ferri testatur).

ἢ βασιλέων ἢ αὐτοκρατόρων εὐγήρως; οὐ μὴν ἀλλὰ καὶ ἔτι νέος ὢν ὁ πρεσβύτης ἐλέγετο δι' αἰδῶ τὴν περὶ τὴν ἀγχίνοιαν. οὗτος οὖν ὁ τοιοῦ-
143 τος καὶ τοσοῦτος ὑμῖν παρώφθη καὶ παρεσύρη. τί δέ; ὁ τὴν ἀνθρωπίνην φύσιν ὑπερβαλὼν ἐν ἁπάσαις ταῖς ἀρεταῖς, ὁ διὰ μέγεθος ἡγεμονίας αὐτοκρατοῦς ὁμοῦ καὶ καλοκαγαθίας πρῶτος ὀνομασθεὶς Σεβαστός, οὐ διαδοχῇ γένους ὥσπερ τι κλήρου μέρος τὴν ἐπωνυμίαν λαβών, ἀλλ' αὐτὸς γενόμενος ἀρχὴ σεβασμοῦ καὶ τοῖς ἔπειτα; ὁ τοῖς μὲν πράγμασι τεταραγμένοις καὶ συγκεχυμένοις ἐπιστάς, ὅτε εὐθὺς παρῆλθεν ἐπὶ τὴν
144 τῶν κοινῶν ἐπιμέλειαν; νῆσοι γὰρ πρὸς ἠπείρους καὶ ἤπειροι πρὸς νήσους περὶ πρωτείων ἀντεφιλονείκουν ἡγεμόνας ἔχουσαι καὶ προαγωνιστὰς Ρωμαίων τοὺς ἐν τέλει δοκιμωτάτους· καὶ αὖθις τὰ μεγάλα τμήματα τῆς οἰκουμένης, Ἀσία πρὸς Εὐρώπην καὶ Εὐρώπη πρὸς Ἀσίαν, ἠμιλλῶντο περὶ κράτους ἀρχῆς, τῶν Εὐρωπαίων καὶ Ἀσιανῶν ἐθνῶν ἀπὸ ἐσχάτων γῆς ἀναστάντων καὶ βαρεῖς πολέμους | ἀντεπιφερόντων διὰ πάσης γῆς p. 567 M.
καὶ θαλάττης πεζομαχίαις ⟨καὶ ναυμαχίαις⟩, ὡς μικροῦ σύμπαν τὸ ἀνθρώπων γένος ἀναλωθὲν ταῖς ἀλληλοκτονίαις εἰς τὸ παντελὲς ἀφανισθῆναι, εἰ μὴ δι' ἕνα ἄνδρα καὶ ἡγεμόνα, τὸν Σεβαστόν [οἶκον],
145 ὃν ἄξιον καλεῖν ἀλεξίκακον. οὗτός ἐστιν ὁ Καῖσαρ, ὁ τοὺς καταρράξαντας πανταχόθι χειμῶνας εὐδιάσας, ὁ τὰς κοινὰς νόσους Ἑλλήνων καὶ βαρβάρων ἰασάμενος, αἳ κατέβησαν μὲν ἀπὸ τῶν μεσημβρινῶν καὶ ἑῴων, ἔδραμον δὲ καὶ μέχρι δύσεως καὶ πρὸς ἄρκτον, τὰ μεθόρια χωρία καὶ
146 πελάγη κατασπείρασαι τῶν ἀβουλήτων· οὗτός ἐστιν ὁ τὰ δεσμά, οἷς κατέζευκτο καὶ ἐπεπίεστο ἡ οἰκουμένη, παραλύσας, οὐ μόνον ἀνείς· οὗτος ὁ καὶ τοὺς φανεροὺς καὶ ἀφανεῖς πολέμους διὰ τὰς ἐκ λῃστῶν ἐπιθέσεις ἀνελών· οὗτος ὁ τὴν θάλατταν πειρατικῶν μὲν σκαφῶν κενὴν
147 ἐργασάμενος, φορτίδων δὲ πληρώσας· οὗτος ὁ τὰς πόλεις ἁπάσας εἰς ἐλευθερίαν ἐξελόμενος, ὁ τὴν ἀταξίαν εἰς τάξιν ἀγαγών, ὁ τὰ ἄμικτα

---

1 ἀγήρως M 2 τὴν περὶ τὴν ἀγχίνοιαν] τῆς περιττῆς ἀγχινοίας coni. Mang. περὶ] παρὰ H 2. 3 τοσοῦτος καὶ τοιοῦτος transp. A 3 ὑμῖν CGO: αὐτοῖς ceteri παρεώφθη GO 4 ἡγεμονίας] εὐδαιμονίας C (εὐδαιμονίας Turn.) 5 ὠνομασθεὶς H^1, corr. H^2 6 κλήρου μέρος MAH (Mang.): κληρούμενος CGO (Turn.) 7 ὁ] καὶ A πράγμασιν L 8 συκεχυμένοις M ὅτ' A εὐθὺς ὅτε transp. Mang. (Dahl) παρῆλθον M 10 ἀντεφιλονίκουν v 13 τῶν] τῆς M 14 ἀναστάντων — γῆς om. H^1, add. H^2 15 καὶ ναυμαχίαις add. Mang.: om. codd. (Turn.) μικροῦ codd.: σμικροῦ v 16 παντελὲς] σύμπαν A 17 οἶκον] ἦκον ἐπὶ τὸ βέλτιον A (Mang.): οἶκον seclusi 18 ἐστιν ὁ A: ἐστι ceteri (v) καταράξαντας O, κατάρξαντας A 19 πανταχόθεν A 21 pr. καὶ om. M πρὸς ἄρκτον CGO (Turn.): ἄρκτου ceteri (Mang.) ὡς ante τὰ add. A (Mang.) χωρία om. A 22 κατασπείρασαι] καταπειρᾶσθαι A (Mang.) 23 πεπίεστο A ἀνείς Turn. (v): ἀνιείς codd. 24 pr. καὶ om. M 25 θάλατταν CG: θάλασσαν ceteri μὲν om. A 26. 27 φορτίδων — ἐξελόμενος om. A

ἔθνη καὶ θηριώδη πάντα ἡμερώσας καὶ ἁρμοσάμενος, ὁ τὴν μὲν Ἑλλάδα Ἕλλασι πολλαῖς παραυξήσας, τὴν δὲ βάρβαρον ἐν τοῖς ἀναγκαιοτάτοις τμήμασιν ἀφελληνίσας, ὁ εἰρηνοφύλαξ, ὁ διανομεὺς τῶν ἐπιβαλλόντων ἑκάστοις, ὁ τὰς χάριτας ἀταμιεύτους εἰς μέσον προθείς, ὁ μηδὲν ἀπο-
5 κρυψάμενος ἀγαθὸν ἢ καλὸν ἐν ἅπαντι τῷ ἑαυτοῦ βίῳ. (22.) τοῦτον 148
οὖν τὸν τοσοῦτον εὐεργέτην ἐν τρισὶ καὶ τεσσαράκοντα ἐνιαυτοῖς, οὓς ἐπεκράτησεν Αἰγύπτου, παρεκαλύψαντο, μηδὲν ἐν προσευχαῖς ὑπὲρ αὐτοῦ, μὴ ἄγαλμα, μὴ ξόανον, μὴ γραφὴν ἱδρυσάμενοι. καὶ μὴν εἴ τινι καινὰς 149
καὶ ἐξαιρέτους ἔδει ψηφίζεσθαι τιμάς, ἐκείνῳ προσῆκον ἦν, οὐ μόνον
10 ὅτι τοῦ Σεβαστοῦ γένους ἀρχή τις ἐγένετο καὶ πηγή, οὐδὲ ὅτι πρῶτος καὶ μέγιστος καὶ κοινὸς εὐεργέτης, ἀντὶ πολυαρχίας ἑνὶ κυβερνήτῃ παραδοὺς τὸ κοινὸν σκάφος οἰακονομεῖν ἑαυτῷ, θαυμασίῳ τὴν ἡγεμονικὴν ἐπιστήμην — τὸ γὰρ „οὐκ ἀγαθὸν πολυκοιρανίη“ λέλεκται δεόντως, ἐπειδὴ πολυτρόπων αἴτιαι κακῶν αἱ πολυψηφίαι —, ἀλλ' ὅτι καὶ πᾶσα
15 ἡ οἰκουμένη τὰς ἰσολυμπίους αὐτῷ τιμὰς ἐψηφίσαντο. καὶ μαρτυροῦσι 150
ναοί, προπύλαια, προτεμενίσματα, στοαί, ὡς ὅσαι τῶν πόλεων, ἢ νέα ἢ παλαιά, ἔργα φέρουσι μεγαλοπρεπῆ, τῷ κάλλει καὶ μεγέθει τῶν Καισαρείων παρευημερεῖσθαι, καὶ μάλιστα κατὰ τὴν ἡμετέραν Ἀλεξάνδρειαν. οὐδὲν 151
γὰρ τοιοῦτόν ἐστι τέμενος, οἷον τὸ λεγόμενον Σεβαστεῖον, ἐπιβατηρίου
20 Καίσαρος νεώς, ⟨ὃς⟩ ἀντικρὺ τῶν εὐορμοτάτων λιμένων μετέωρος ἵδρυται
p. 568 M. μέγιστος καὶ ἐπιφανέστατος καὶ | οἷος οὐχ ἑτέρωθι κατάπλεως ἀναθημάτων, [ἐν] γραφαῖς καὶ ἀνδριάσι καὶ ἀργύρῳ καὶ χρυσῷ περιβεβλημένος ἐν κύκλῳ, τέμενος εὐρύτατον στοαῖς, βιβλιοθήκαις, ἀνδρῶσιν, ἄλσεσι, προ-
πυλαίοις, εὐρυχωρίαις, ὑπαίθροις, ἅπασι τοῖς εἰς πολυτελέστατον
25 κόσμον ἠσκημένον, ἐλπὶς καὶ ἀναγομένοις καὶ καταπλέουσι σωτήριος. (23.) ἔχοντες οὖν τοιαύτας ἀφορμὰς καὶ τοὺς πανταχοῦ πάντας ὁμογνώ- 152

---

1 καὶ θηριώδη ἔθνη transp. H μὲν om. A 6 τεσσαράκοντα] μ̄ C οὓς] ἃς M; οἷς coni. Dahl 9 ψηφίσασθαι O 10 σεβαστοῦ H: σεβαστείου A, σεβαστίου ceteri (v) ἀρχή τις CGOM: ἀρχέτης A, ἀρχὴ H 11 alt. καὶ A (Mang.): om. ceteri (Turn.) 12 κοινὸν] οἰκεῖον O οἰακονομῶν A θαυμασίῳ C: θαυμασίως ceteri; ⟨τῷ⟩ θαυμασίῳ coni. Cohn 13 λέγεται A 15 οἰκουμενικὴ M ἐψηφίσαντο codd.: ἐψηφίσατο v μαρτυροῦσι A (Mang.): om. ceteri (Turn.) 16 ναοὺς Turn., καὶ ναοὶ Mang. (ναοὶ in append.) στοὰς Turn. ὡς CGOH²L (Turn.): om. H¹, καὶ M, ὥστε καὶ A; ὥστε Mang. ὅσα Turn. pr. ἢ om. A 16. 17 ἢ νέαι ἢ παλαιαὶ A (Mang.) 17 ἔργα φέρουσι μεγαλοπρεπῆ A (Mang.): om ceteri (Turn.) καισαρείων OA (Mang.): καισαρίων ceteri (Turn.) 18 ἡμέραν C οὐδὲ H (Turn.) 19 ἐστὶν C σεβάστειον AH: σεβάστιον ceteri (v) 20 ὃς add. Dahl: om. codd. (v) ἀντικρὺ A: ἄντικρυς ceteri 22 ἐν seclusi ἀναγραφαῖς (pro ἐν γραφαῖς) coni. Mang., ἐγγραφαῖς Dahl pr. καὶ H¹, ἐν H²L 23 ἀνδριάσιν A 25 ἠσκημένοις A (mavult Mang.)

3—5 D^R fol. 113^r ἐκ τῆς αὐτῆς: ὁ τῆς εἰρήνης φύλαξ — ἢ κακὸν ἐν — βίῳ.
13 Hom. Il. *B* 204.

μονας οὔτε περὶ τὰς προσευχὰς ἐνεωτέρισαν καὶ καθ' ἕκαστον ⟨τὸ⟩ νόμιμον ἐφύλαξαν· ἤ τινα σεβασμὸν παρέλιπον τῶν ὀφειλομένων Καίσαρι; καὶ τίς ἂν εὖ φρονῶν εἴποι; διὰ τί οὖν ἐστέργησαν; ἐγὼ φράσω μηδὲν ὑποστει-
153λάμενος. ἤδεσαν αὐτοῦ τὴν ἐπιμέλειαν καὶ ὅτι τοσαύτην ποιεῖται τῆς βεβαιώσεως τῶν παρ' ἑκάστοις πατρίων, ὅσην καὶ τῶν Ῥωμαϊκῶν, καὶ ὅτι δέχεται τὰς τιμὰς οὐκ ἐπὶ καθαιρέσει τῶν παρ' ἐνίοις νομίμων τυφοπλαστῶν ἑαυτόν, ἀλλὰ τῷ μεγέθει τῆς τοσαύτης ἡγεμονίας ἑπόμενος,
154ἢ διὰ τῶν τοιούτων πέφυκε σεμνοποιεῖσθαι. τοῦ δὲ μὴ ταῖς ὑπερόγκοις τιμαῖς δεθῆναι καὶ φυσηθῆναί ποτε πίστις ἐναργεστάτη τὸ μηδέποτε θεὸν ἑαυτὸν ἐθελῆσαι προσειπεῖν, ἀλλὰ κἂν εἴ λέγοι τις δυσχεραίνειν, καὶ τὸ τοὺς Ἰουδαίους ἀποδέχεσθαι, οὓς ἀκριβῶς ἤδει πάντα ἀφο-
155σιουμένους τὰ τοιαῦτα. πῶς οὖν ἀπεδέχετο τὴν πέραν τοῦ Τιβέρεως ποταμοῦ μεγάλην τῆς Ῥώμης ἀποτομήν, ἣν οὐκ ἠγνόει κατεχομένην καὶ οἰκουμένην πρὸς Ἰουδαίων; Ῥωμαῖοι δὲ ἦσαν οἱ πλείους ἀπελευθερωθέντες· αἰχμάλωτοι γὰρ ἀχθέντες εἰς Ἰταλίαν ὑπὸ τῶν κτησαμένων ἠλευθερώ-
156θησαν, οὐδὲν τῶν πατρίων παραχαράξαι βιασθέντες. ἠπίστατο οὖν καὶ προσευχὰς ἔχοντας καὶ τυνιόντας εἰς αὐτάς, καὶ μάλιστα ταῖς ἱεραῖς ἑβδόμαις, ὅτε δημοσίᾳ τὴν πάτριον παιδεύονται φιλοσοφίαν. ἠπίστατο καὶ χρήματα συνάγοντας ἀπὸ τῶν ἀπαρχῶν ἱερὰ καὶ πέμποντας εἰς
157Ἱεροσόλυμα διὰ τῶν τὰς θυσίας ἀναξόντων. ἀλλ' ὅμως | οὔτε ἐξῴκισε p. 569 M.
τῆς Ῥώμης ἐκείνους οὔτε τὴν Ῥωμαϊκὴν αὐτῶν ἀφείλετο πολιτείαν, ὅτι 21
καὶ τῆς Ἰουδαϊκῆς ἐφρόντιζον, οὔτε ἐνεωτέρισεν εἰς τὰς προσευχὰς οὔτε ἐκώλυσε συνάγεσθαι πρὸς τὰς τῶν νόμων ὑφηγήσεις οὔτε ἠναντιώθη τοῖς ἀπαρχομένοις, ἀλλ' οὕτως ὡσίωτο περὶ τὰ ἡμέτερα, ὥστε μόνον οὐ πανοίκιος ἀναθημάτων πολυτελείαις τὸ ἱερὸν ἡμῶν ἐκόσμησε, προστάξας

---

1 ἐνεωτέρισαν καὶ A (Mang.): om. ceteri (Turn.) καθέκαστον] καθέστατον C: καθ' ἕκαστα coni. Matthaei τὸ add. Matthaei: om. codd. (v) 2 ἤ τινα] εἴτα τινὰ A (Mang.); εἴτα τίνα Dahl σεβαστὸν M παρέλειπον G
3 ἐστέργησαν suspectum; ὑστέργησαν coni. Mang. (Matthaei), ⟨τιμῆς⟩ ἐστέργησαν Wendl.
4 ἤδεισαν (ἤδησαν O) codd. (v) 7 τυφοπλαστῶν CA (Turn. in append., prob. Mang.): τυφλοπλαστῶν GOMH (v) ἀλλὰ COA: ἀλλὰ καὶ GMH (v) ἑπόμενος] ἐπαιρόμενος coni. Mang. 8 ἢ M 9 δεθῆναι corruptum; οἰδηθῆναι coni. Mang., θεωθῆναι aut θειωθῆναι Matthaei, διαρθῆναι Cohn, ἐπαρθῆναι Wendl. μηδέποτ' A, δὲ μήποτε M; μὴ δεσπότην μήτε ν, μηδέποτε δεσπότην (deleto subsequenti θεὸν) coni. Mang. 10 ἐθελῆσαι θεὸν ἑαυτὸν transp. A κἂν] καὶ O λέγοι CA: λέγοιτό GOMH (v) 11 ἀποδέχεσθαι] προσίεσθαι A 12 τιβέρεως C: τιβέριος ceteri
13 ἣν deleri vult Mang. interrogandi signo post ἀπεδέχετο posito κατερχομένην M
14 δ' AL 19 συνάγοντας M: συναγαγόντας ceteri (v) 20 ἀναγόντων O (coni. Mang.), ἀναξάντων H ὅμως] ὁ μὲν A (Richt. Tauchn.): ὁ μὴν Mang.
οὔτ' A 22 ἐφρόντιζον C: ἐφρόντιζεν ceteri (v) οὔτ' A οὔτ' A
23 ἐκώλυσεν O, ἐκώλησε M οὔτ' A 24 ἀπερχομένοις CG μονονοὺ H^2, μοῦ H^1 25 ἡμῖν H ἐκόσμησεν C

καὶ διαιωνίους ἀνάγεσθαι θυσίας ἐντελεχεῖς ὁλοκαύτους καθ' ἑκάστην ἡμέραν ἐκ τῶν ἰδίων προσόδων ἀπαρχὴν τῷ ὑψίστῳ θεῷ, αἳ καὶ μέχρι νῦν ἐπιτελοῦνται καὶ εἰς ἅπαν ἐπιτελεσθήσονται, μήνυμα τρόπων ὄντως αὐτοκρατορικῶν. οὐ μὴν ἀλλὰ κἀν ταῖς μηνιαίοις τῆς πατρίδος διανομαῖς,158
ἀργύριον ἢ σῖτον ἐν μέρει παντὸς τοῦ δήμου λαμβάνοντος, οὐδέποτε τοὺς Ἰουδαίους ἠλάττωσε τῆς χάριτος, ἀλλ' εἰ καὶ συνέβη τῆς ἱερᾶς ἑβδόμης ἐνεστώσης γενέσθαι τὴν διανομήν, ὅτε οὔτε λαμβάνειν οὔτε διδόναι ἢ συνόλως τι πράττειν τῶν κατὰ βίον καὶ μάλιστα τὸν ποριστὴν ἐφεῖται, προσετέτακτο τοῖς διανέμουσι ταμιεύειν τοῖς Ἰουδαίοις εἰς τὴν ὑστεραίαν τὴν κοινὴν φιλανθρωπίαν.

(24.) Τοιγαροῦν οἱ πανταχοῦ πάντες, εἰ καὶ φύσει διέκειντο πρὸς159
Ἰουδαίους οὐκ εὐμενῶς, εὐλαβῶς εἶχον ἐπὶ καθαιρέσει τινὸς τῶν Ἰουδαϊκῶν νομίμων προσάψασθαι· καὶ ἐπὶ Τεβερίου μέντοι τὸν αὐτὸν τρόπον, καίτοι τῶν ἐν Ἰταλίᾳ παρακινηθέντων, ἡνίκα Σηιανὸς ἐσκευώρει τὴν ἐπίθεσιν. ἔγνω γάρ, εὐθέως ἔγνω μετὰ τὴν ἐκείνου τελευτήν, ὅτι τὰ160
κατηγορηθέντα τῶν ὠκηκότων τὴν Ῥώμην Ἰουδαίων ψευδεῖς ἦσαν διαβολαί, πλάσματα Σηιανοῦ τὸ ἔθνος ἀναρπάσαι θέλοντος, ὅπερ ἢ μόνον ἢ μάλιστα ἤδει βουλαῖς ἀνοσίοις καὶ πράξεσιν ἀντιβησόμενον ὑπὲρ τοῦ παρασπονδηθῆναι κινδυνεύσαντος αὐτοκράτορος. καὶ τοῖς πανταχόσε161
χειροτονουμένοις ὑπάρχοις ἐπέσκηψε παρηγορῆσαι μὲν τοὺς κατὰ πόλεις τῶν ἀπὸ τοῦ ἔθνους, ὡς οὐκ εἰς πάντας προβάσης τῆς ἐπεξελεύσεως, ἀλλ' ἐπὶ μόνους τοὺς αἰτίους — ὀλίγοι δὲ ἦσαν —, κινῆσαι δὲ μηδὲν τῶν ἐξ ἔθους, ἀλλὰ καὶ παρακαταθήκην ἔχειν τούς τε ἄνδρας ὡς εἰρηνικοὺς τὰς φύσεις καὶ τὰ νόμιμα ὡς ἀλείφοντα πρὸς εὐστάθειαν.

(25.) Ὁ δὲ Γάιος ἑαυτὸν ἐξετύφωσεν, οὐ λέγων μόνον ἀλλὰ καὶ162
οἰόμενος εἶναι θεός. εἶτα οὐδένας εὗρεν οὔτε Ἑλλήνων οὔτε βαρβάρων ἐπιτηδειοτέρους Ἀλεξανδρέων εἰς τὴν τῆς ἀμέτρου καὶ ὑπὲρ φύσιν ἀνθρωπίνην ἐπιθυμίας βεβαίωσιν· δεινοὶ γάρ εἰσι τὰς κολακείας καὶ γοητείας
p. 570 M. καὶ ὑποκρίσεις, παρεσκευασμένοι μὲν θῶπας λόγους, ἀνειμένοις | δὲ

---

1 διαιωνίους] δι' αἰῶνος C (v) ἐνδελεχεῖς A (Mang.) 3 τοῦ ante νῦν add. A (Mang.) καὶ — ἐπιτελεσθήσονται om. A 4 κἀν] καὶ H μηνιαίαις A διανομίαις G πατρίδος suspectum; σπυρίδος coni. Mendelssohn 8 τὸν ante βίον add. A καὶ μάλιστα om. A ποριστὸν M ἐφίεται coni. Mang. 11 πάντες om. H 12 καθαιρέσεως A τινὸς post νομίμων transp. O 13 νόμων A 14 παρακιθέντων (sic) M 15 alt. ἔγνω om. C (Turn.) 17 ἔθος H¹, corr. H² θέλοντες G 18 ἤδει] ἔδει A 19 αὐτοκράτορος κινδυνεύσαντος transp. A πανταχόσε C: πανταχόθεν ceteri 20 χειροτονημένοις O ἐνέσκηψε A 21 ὡς — ἐπεξελεύσεως A (Mang.): om. ceteri (Turn.) εἰς A: ἐπὶ Mang. 22 δ' A 23 τ'A 25 ἐξετύφλωσεν OA 26 pr. οὔτε] οὔθ' A alt. οὔτε] εἴτε H¹, corr. H² 28 εἰσὶν CL (v) πρὸς vel περὶ ante τὰς deesse putat Mang. 29 παρασκευασμένοι M μὲν om. O

163 στόμασι καὶ ἀχαλίνοις πάντα φύροντες. θεοῦ κλῆσις οὕτως ἐστὶ σεμνὸν παρ' αὐτοῖς, ὥστε καὶ ἴβεσι καὶ ἰοβόλοις ἀσπίσι ταῖς ἐγχωρίοις καὶ πολλοῖς ἑτέροις τῶν ἐξηγριωμένων αὐτῆς θηρίων μεταδεδώκασιν· ὥστε εἰκότως ἀταμιεύτοις χρώμενοι ταῖς εἰς θεὸν τεινούσαις προσηγορίαις ἀπατῶσι μὲν τοὺς ὀλιγόφρονας καὶ ἀπείρους τῆς Αἰγυπτιακῆς ἀθεότητος, ἁλίσκονται δὲ ὑπὸ τῶν ἐπισταμένων τὴν πολλὴν αὐτῶν ἠλιθιότητα, μᾶλλον
164 δὲ ἀσέβειαν. ἧς ἄπειρος ὢν Γάιος ὑπελάμβανε τῷ ὄντι νομίζεσθαι παρ' Ἀλεξανδρεῦσι θεός, ἐπειδήπερ οὐ πλαγίως ἀλλ' ἄντικρυς ἅπασιν ἐχρῶντο κατακόρως τοῖς ὀνόμασιν, ὅσα τοῖς ἄλλοις ἔθος ἐπιφημίζεσθαι θεοῖς.
165 εἶτα καὶ τὴν περὶ τὰς προσευχὰς νεωτεροποιίαν ἀπὸ καθαροῦ τοῦ συνειδότος καὶ τῆς εἰς αὐτὸν ἀκραιφνοῦς τιμῆς ᾤετο γεγενῆσθαι, τῇ μὲν ταῖς ὑπομνηματικαῖς ἐφημερίσιν, ἃς ἀπὸ τῆς Ἀλεξανδρείας διεπέμποντό τινες, προσέχων — ἥδιστον γὰρ ἦν ἀνάγνωσμα τοῦτο αὐτῷ, ὡς καὶ τὰ τῶν ἄλλων συγγραφέων καὶ ποιητῶν ἀηδέστατα συγκρίσει τῆς ἐν τούτοις χάριτος νομίζεσθαι —, τῇ δὲ καὶ δι' ἐνίους οἰκέτας τοὺς τωθάζοντας ἀεὶ καὶ χλευάζοντας σὺν αὐτῷ.
166 (26.) Τούτων ἦσαν οἱ πλείους Αἰγύπτιοι, πονηρὰ σπέρματα, κροκοδείλων καὶ ἀσπίδων τῶν ἐγχωρίων ἀναμεμαγμένοι τὸν ἰὸν ὁμοῦ καὶ θυμὸν ἐν ταῖς ψυχαῖς. ἡγεμὼν δὲ οἷά τις ἦν χοροῦ τοῦ Αἰγυπτιακοῦ θιάσου παντὸς Ἑλικών, ἐπάρατον καὶ ἐξάγιστον ἀνδράποδον παρεισφθαρὲν εἰς τὴν
167 αὐτοκρατορικὴν οἰκίαν· ἀπεγεύσατο γὰρ τῶν ἐγκυκλίων κατὰ φιλοτιμίαν τοῦ προτέρου δεσπότου, ὃς αὐτὸν ἐδωρήσατο Τιβερίῳ Καίσαρι. τότε μὲν οὖν οὐδεμιᾶς ἐτύγχανε προνομίας, ὅσα μειρακιώδη χαριεντίσματα Τιβερίου διαμεμισηκότος, ἐπειδὴ πρὸς τὸ σεμνότερόν τε καὶ αὐστηρότερον
168 σχεδὸν ἐκ πρώτης ἡλικίας ἐπικλινῶς εἶχεν. ἐπεὶ δὲ ὁ μὲν ἐτελεύτησε, Γάιος δὲ τὴν ἡγεμονίαν διεδέξατο, νέῳ δεσπότῃ παρεπόμενος εἰς ἀνέσεις καὶ τρυφὴν τὴν διὰ πάσης αἰσθήσεως ἐπιχαλῶντι „σός" εἶπε „νῦν ὁ καιρός ἐστιν, Ἑλικών, ἐπέγειρε σαυτόν· ἔχεις πρὸς ἐπίδειξιν ἀκροατὴν

---

1 φέροντες A ἐστὶν C σεμνὸν] ἄσεμνον sive συχνὸν coni. Matthaei
1. 2 παρ' αὐτοῖς σεμνὸν transp. A 2 ἰοβόλοις ἀσπίσι καὶ ἴβεσι transponenda vid. Mang.
3 αὐτῆς CO: αὐτοῖς ceteri θηρίων αὐτῆς transponendum vid. Mang. (Dahl)
νομί
ὥστ' A 7 δὲ] δὲ καὶ A (Mang.) ὑπελάμβανεν L θαυμάζεσθαι M
παρ'] τοῖς A; παρὰ Mang. 8. 9 ἐχρῶντο — ὀνόμασιν om. A 11 αὐτὸν] αὐτὸν codd. (v) 12 ἀπὸ τῶν ἀλεξανδρέων A 13 γὰρ] μὲν γὰρ M (Mang.)
ἀνάγνωστον G αὐτῶ τοῦτο transp. O καὶ A (Mang.): om. ceteri (Turn.)
14 ἀηδεστάτη H^1, corr. H^2 17 πονηροῦ coni. Cohn coll. Dem. XXV 48
σπέρματα] θηρία coni. Mang., θρέμματα Matthaei 17. 18 κροκωδείλων (ο ex α) C
20 ἑλίκων C (v) 23 οὖν om. H μειρακειώδη C 24 μεμισηκότος A
τε om. CGO 25 ἐπειδὴ δ' A ἐτελεύτησεν C 27 ἐπιχαλῶντι CGOAH
(mavult Mang.): ἐπικαλοῦντι M (v) εἶπεν CA νῦν om. A 28 ἑλίκων
C (v) ἐπέγειραι CG σαυτόν] δὲ αὐτόν A ἔχειν A

καὶ θεατὴν τὸν πάντων ἄριστον· εὔθικτος εἶ τὴν φύσιν· σκώπτειν καὶ χαριεντίζεσθαι δύνασαι μᾶλλον ἑτέρων· ἀθύρματα καὶ παιδιὰς ληρώδεις καὶ παρασεσυρμένας οἶδας· τῶν ἐγκυκλίων οὐχ ἧττον πεπαίδευσαι τὰ ἀχόρευτα· πρόσεστί σοι καὶ τὸ στωμύλον οὐκ ἀτερπές. ἐὰν ἔτι κέντρον 169
ἐγκαταμίξῃς τοῖς τωθασμοῖς ὑποκακόηθες, ὡς μὴ γέλωτα κινεῖν μόνον
p. 571 M. ἀλλὰ καὶ πικρίαν ἐκ τοῦ καχυπόνου, τὸν δεσπότην ὅλον ἥρπακας | εὐφυῶς διακείμενον πρὸς ἀκρόασιν τῶν μετὰ χλεύης ἐγκλημάτων· ἀναπέπταται γὰρ αὐτοῦ, ὡς οἶδας, τὰ ὦτα καὶ ἀνωρθίασται πρὸς τοὺς ἐπιτετηδευκότας συνυφαίνειν τὸ βλασφημεῖν τῷ συκοφαντεῖν. ὕλας δὲ μὴ ζήτει περιττο- 170
τέρας· ἔχεις τὰς κατὰ Ἰουδαίων καὶ τῶν Ἰουδαϊκῶν ἐθῶν διαβολάς, αἷς ἐνετράφης· ἐξ ἔτι σπαργάνων ἀνεδιδάχθης αὐτάς, οὐ παρ' ἑνὸς ἀνδρὸς ἀλλὰ τοῦ γλωσσαργοτάτου μέρους τῆς Ἀλεξανδρέων πόλεως· ἐπίδειξαι τὰ μαθήματα." (27.) τούτοις τοῖς παραλόγοις καὶ ἐπαράτοις λογισμοῖς 171
ἐπάρας καὶ συγκροτήσας ἑαυτὸν συνεῖχε καὶ περιεῖπε τὸν Γάιον, οὐ νύκτωρ, οὐ μεθ' ἡμέραν ἀφιστάμενος, ἀλλὰ πανταχοῦ συμπαρών, ἵνα ταῖς ἐρημίαις καὶ ἀναπαύλαις αὐτοῦ καταχρῆται πρὸς τὰς κατὰ τοῦ ἔθνους αἰτίας, ἡδονὰς κινῶν τὰς διὰ σκωμμάτων ὁ πανουργότατος, ἵνα τιτρώσκωσιν αἱ διαβολαί· τὸν γὰρ ἐπ' εὐθείας κατήγορον οὔτε ὡμολόγει οὔτε ὁμολογεῖν ἐδύνατο, πλαγιάζων δὲ καὶ τεχνιτεύων χαλεπώτερος καὶ βαρύ- 172
τερος ἦν ἐχθρὸς τῶν ἐπιγεγραμμένων ἄντικρυς τὴν δυσμένειαν. φασὶ δὲ ὅτι καὶ τῶν Ἀλεξανδρέων οἱ πρέσβεις εὖ τοῦτο εἰδότες ἀφανῶς ἐμεμίσθωντο αὐτὸν μεγάλοις μισθοῖς, οὐ διὰ χρημάτων μόνον ἀλλὰ καὶ τῶν ἐπὶ τιμαῖς ἐλπίδων, ἃς ὑπέσπειραν αὐτῷ παρέξειν οὐκ εἰς μακράν, ἐπειδὰν ἀφίκηται Γάιος εἰς Ἀλεξάνδρειαν. ὁ δὲ τὸν καιρὸν ἐκεῖνον 173
ὀνειροπολῶν, ἐν ᾧ παρόντος τοῦ δεσπότου καὶ σὺν αὐτῷ σχεδόν τι τῆς οἰκουμένης — οὐ γὰρ ἦν ἄδηλον, ὅτι κατὰ θεραπείαν Γαΐῳ συνεισβαλεῖ τὸ δοκιμώτατον καὶ ὅσον τῶν πόλεων ὄψις ἐστὶν ἀναστὰν ἀπὸ περάτων αὐτῶν — ὑπὸ τῆς μεγίστης καὶ ἐνδοξοτάτης πόλεως τιμηθήσεται, πάντα

---

1 τῶν OA εὔθικτος Turn. (ν): εὔθηκτος codd. σκόπτειν G, ὡς σκώπτειν A
2 χαριεντίζειν δύνασθαι A 4 τὸ om. C στωμύλιον A ἔτι Turn.: εἴ τι CGOMH, οὖν τι A (Mang.) 5 ὑποκακόηθες Turn. (ν): ὑπὸ κακοήθη CGOMH¹, ὑπὸ κακοηθείας AH²L
6 καχυπόνου] κακόνου coni. Mang., καχυπόπτου Wendl. 7 μετὰ] κατὰ G 8 αὐτῶ L
9 τὸ] τῶ A τῶ CH: τὸ GOA, καὶ M μὴ om. A 9. 10 περισσοτέρας M
10 κατὰ om. Mang. διαβολὰς (vel καταβοὰς coni.) Mang.: καταβολὰς codd. (ν)
11 ἀνετράφης C ἐδιδάχθης A 12 γλωσσαργοτάτου CGMH¹: γλωσσαλγοτάτου A, γλωσσαλγοτάτου OH²L (ν) 13 παθήματα M 15 ἀφιστάμενον A
ἵνα om. ν 16 καταχρῆται codd.: κατεχρῆτο ν 17 κινῶν τὰς] κινοῦντας C
17. 18 τιτρώσκουσιν GO 18 οὔθ' A ὡμολόγει οὔτε om. C οὔθ' A
19 ἠδύνατο AH δὲ] τε GO 20 ἐπιγεγραμμένων Matthaei: ἀπογεγραμμένων codd. (ν) 21 δ' A ἀφανῶς] ἐμφανῶς Ven. 41 (prob. Mang.) 22 ἐμισθοῦντο A
26 συνεισβαλεῖ Turn. (ν): συνεισβάλλει codd. 27 ὅσων G ἀναστὰς A
28 ἐνδοξοτάτου H

174 ὑπισχνεῖτο. μέχρι μὲν οὖν τινος τὸν ἐμφωλεύοντα ἔνδον πολέμιον ἀγνοοῦντες ἐφυλαττόμεθα τοὺς ἔξω μόνους· ἐπεὶ δὲ ἠσθόμεθα, διηρευνῶμεν περιβλεπόμενοι πάσας ὁδούς, εἴ πως δυνησόμεθα μαλθάξαι καὶ τιθασεῦσαι τὸν ἄνθρωπον ἐξ ἅπαντος τρόπου καὶ τόπου βάλλοντα καὶ
175 τοξεύοντα ἡμᾶς εὐσκόπως. καὶ συνεσφαίριζε γὰρ καὶ συνεγυμνάζετο καὶ συνελούετο καὶ συνηρίστα καὶ μέλλοντι κοιμᾶσθαι παρῆν Γαΐῳ, τὴν τοῦ κατακοιμιστοῦ καὶ κατ' οἰκίαν ἀρχισωματοφύλακος τεταγμένος τάξιν, ὅση μηδενὶ προσῆν ἄλλῳ, ὡς μόνος ἔχειν εὐκαιρούσας καὶ σχολαζούσας ἀκοὰς αὐτοκράτορος τῶν ἔξω διαφειμένας θορύβων εἰς ἀκρόασιν ὧν
176 μάλιστα ἐπόθει. διασυρμοὶ δὲ ἦσαν ἀνακεκραμένοι κατηγορίαις, ἵνα τοῖς μὲν ἡδονὰς κινῇ, ἡμᾶς δὲ τὰ μέγιστα βλάπτῃ· τὸ μὲν γὰρ προηγούμενον ἔργον εἶναι δοκοῦν, ὁ διασυρμός, πάρεργον ἦν αὐτῷ, τὸ δὲ φαινόμενον
177 πάρεργον, αἱ κατηγορίαι, μόνον καὶ πρῶτον ἔργον. πάντα δὴ κάλων ἀνασείων, ὡς οἱ πνεῦμα δεξιὸν κατ' οἰάκων ἔχοντες, ἐφέρετο πλησίστιος οὐριοδρομῶν, ἄλλας | ἐπ' ἄλλαις συντιθεὶς καὶ συνείρων αἰτίας. τοῦ δὲ p. 572 M.
ἐνετυποῦτο ἡ διάνοια παγιώτερον, ὡς ἄληστον εἶναι τὴν τῶν ἐγκλημάτων μνήμην.

178 (28.) Ἐν ἀπόροις δὲ καὶ ἐν ἀμηχάνοις ὄντες, ἐπειδὴ πάντα λίθον κινοῦντες ὑπὲρ τοῦ τὸν Ἑλικῶνα ἐξευμενίσασθαι πάροδον οὐδεμίαν ἀνευρίσκομεν, μηδενὸς μήτε εἰπεῖν μήτε προσελθεῖν τολμῶντος ἕνεκα τῆς ἀλαζονείας καὶ βαρύτητος, ᾗ πρὸς πάντας ἐκέχρητο, καὶ ἅμα διὰ τὸ ἀγνοεῖν, εἴ τίς ἐστιν αὐτῷ πρὸς τὸ Ἰουδαίων γένος ἀλλοτρίωσις ἀλείφοντι τὸν δεσπότην ἀεὶ καὶ συγκροτοῦντι κατὰ τοῦ ἔθνους, τὸ μὲν ἔτι πονεῖσθαι περὶ τοῦτο τὸ μέρος εἰάσαμεν, τοῦ δὲ ἀναγκαιοτέρου περιειχόμεθα·
179 γραμματεῖον γὰρ ἔδοξεν ἀναδοῦναι Γαΐῳ κεφαλαιώδη τύπον περιέχον ὧν τε ἐπάθομεν καὶ ὧν τυχεῖν ἠξιοῦμεν. ἦν δὲ σχεδὸν τοῦτο ἐπιτομή τις ἱκετείας μακροτέρας, ἣν ἐπεπόμφειμεν πρὸ ὀλίγου δι' Ἀγρίππα τοῦ βασιλέως· ἐκ τύχης γὰρ ἐπεδήμησε τῇ πόλει μέλλων εἰς Συρίαν κατὰ

---

1 ὑπισχνεῖται A φωλεύοντα CGO 2 μόνους] νόμους G ἠσθώμεθα C
4 τιθασσεῦσαι A (v) 5 pr. καὶ om. v συνεσφαίριζε] συνεφέδριζε CO, corr. G
6 συνελούετο] συνεβουλεύετο A τὴν] τῶ O 7 τοῦ om. A κοιμιστοῦ O
ἄχρι σωματοφύλακος MH 8 μόνος CGO: μόνας ceteri 9 διαφειδομένας M, διαφθειρομένων O 10 μάλιστ' A δ' A τοῖς] τῷ coni. Cohn
11 κ≡ινῆ (o eras.) C; κινῆν (sic) Turn. ἡμᾶς CA: ἡμῖν GOMH γὰρ om. A
13 πρῶτον καὶ μόνον transp. H (v) δὴ] δὲ δὴ coni. Mang. κάλον CG, corr. O 15 οὐριοδετομῶν A ἐπ' ἄλλαις CA: ἐπ' ἀλλήλαις GOMH τοῦ] Γαΐου conicio 17 μνήμην A (Mang.): γνώμην ceteri (Turn.)
18 δὲ] οὖν A (Mang.) 19 τὸν] τῶν A ἐξευμενίσασθαι] ἐξιλεώσασθαι H
19. 20 εὑρίσκομεν OH 20 pr. μήτε] μήτ' A 22 εἴ τις A, ἤτις GO
23 δὲ ante τὸν add. M 24 περὶ] κατὰ M εἰάσαμεν om. A δ' A
26 τ' A ἐπιτίμη M 27 μακροτέρα CGO πρὸ ὀλίγου sine causa suspectum dicit Mang. διὰ γρίππου G, δι' ἀγρίππου O

τὴν δοθεῖσαν αὐτῷ βασιλείαν ἀπαίρειν. * * * ἐλελήθειμεν δὲ ἄρα ἔτι ἀπα- 180
τῶντες ἑαυτούς· καὶ γὰρ πρότερον, ὅτε εὐθὺς ἠρξάμεθα πλεῖν οἰόμενοι
πρὸς κριτὴν ἀφίξεσθαι τευξόμενοι τῶν δικαίων. ὁ δὲ ἦν ἐχθρὸς ἄσπονδος,
δελεάζων ὅσα τῷ δοκεῖν φαιδρῷ τῷ βλέμματι καὶ ἱλαρωτέραις ταῖς
προσρήσεσι. δεξιωσάμενος γὰρ ἡμᾶς ἐν τῷ πρὸς Τιβέρει πεδίῳ τὸ 181
πρῶτον — ἔτυχε δὲ ἐκ τῶν μητρώων ἐξιὼν κήπων — ἀντιπροσηγόρευσε
καὶ τὴν δεξιὰν χεῖρα κατέσεισεν αἰνιττόμενος εὐμένειαν καὶ τὸν ἐπὶ τῶν
πρεσβειῶν, Ὅμιλον ὄνομα, προσπέμψας „αὐτὸς“ ἔφη „τῆς ὑμετέρας
ὑποθέσεως ἀκούσομαι προσευκαιρήσας“, ὥστε τοὺς ἐν κύκλῳ πάντας
συνήδεσθαι καθάπερ ἤδη νενικηκόσι καὶ τῶν ἡμετέρων ὅσοι ταῖς ἐπι-
πολαίοις παράγονται φαντασίαις. ἐγὼ δὲ φρονεῖν τι δοκῶν περιττότερον 182
καὶ δι' ἡλικίαν καὶ τὴν ἄλλην παιδείαν εὐλαβέστερος ἦμην ἐφ' οἷς ἔχαιρον
οἱ ἄλλοι. „διὰ τί γάρ“ ἔφασκον ἀνακινῶν τὸν ἐμαυτοῦ λογισμόν, „το-
σούτων ὄντων πρεσβευτῶν σχεδὸν ἀπὸ πάσης γῆς ἀφιγμένων, ἡμῶν εἷπε
τότε μόνων ἀκούσεσθαι; τί βουλόμενος; οὐ γὰρ ἠγνόει γε ὄντας Ἰουδαίους,
οἷς ἀγαπητὸν τὸ μὴ ἐλαττοῦσθαι. τὸ δὲ δὴ καὶ προνομίας οἴεσθαι τυγχά- 183
νειν παρ' ἀλλοεθνεῖ καὶ νέῳ καὶ αὐτεξουσίῳ δεσπότῃ μὴ καὶ μανίας
p. 573 M. ἐγγύς ἐστιν; ἀλλ' ἔοικε τῇ τῶν ἄλλων Ἀλεξανδρέων | μερίδι προσκεῖσθαι,
ᾗ διδοὺς προνομίαν θᾶττον ὑπέσχετο δικάσειν, ἐὰν ἄρα μὴ τὸν ἴσον καὶ
κοινὸν ἀκροατὴν ὑπερβὰς ἀντὶ δικαστοῦ γένηται τῶν μὲν συναγωνιστής,
ἡμῶν δὲ ἀντίπαλος.“

(29.) Ταῦτα λογιζόμενος ἐσφάδαζον καὶ οὔτε μεθ' ἡμέραν οὔτε 184
νύκτωρ ἠρέμουν. ἀθυμοῦντος δέ μου καὶ τὴν ἀνίαν στέγοντος — οὐδὲ
γὰρ ἀνενεγκεῖν ἀσφαλὲς ἦν —, ἕτερον κατασκήπτει βαρύτατον ἐξαπιναίως
ἀπροσδόκητον κακόν, οὐχ ἑνὶ μέρει τοῦ Ἰουδαϊκοῦ τὸν κίνδυνον ἐπάγον,
ἀλλὰ συλλήβδην ἅπαντι τῷ ἔθνει. ἀφίγμεθα μὲν γὰρ ἀπὸ Ῥώμης εἰς 185
Δικαιάρχειαν ἐπακολουθοῦντες Γαΐῳ· κατεληλύθει δὲ ἐπὶ θάλατταν καὶ
διέτριβε περὶ τὸν κόλπον, ἀμείβων τὰς ἰδίας ἐπαύλεις πολλὰς καὶ πο-

---

1 ἐλελύθειμεν M lacunam statuit Cohn ἄρα ἔτι Turn. (v): ἄρα CGOMA, ἔτι H
2 ὅτε CH, ὅτε corr. vid. in οὔτε O: ὅτ' A, οὔτε GM 3 κρϊ (sic) M τευξόμεθα οἱ (sic) G
4 ταῖς om. CGO 5 προσρήσεσιν L δεξάμενος O τιβέριν H² τὸ] τῶ O, om. A
6 δ' MA 8 ὅμιλος A ὄνομα om. G 10 ἤδη om. A
10. 11 ἐπιπολεοῖς C; ἐπιβολαῖς Turn. 11 φαντασίας G (Turn.) δοκῶ A
12 ἦμην] corr. ex ἡμῖν H²; ἦν coni. Cohn 14 πρεσβευτῶν CGO: πρέσβεων ceteri
σχεδὸν C ἀ≡φιγμένων C εἶπεν CL 15 μόνων CA: μόνον ceteri
16 τὸ δὲ] τότε Turn. 17 μανίας] μαγείας vel μαγγανείας coni. Matthaei
19 ὑπέχετο H 20 τῶ C 21 ἡμῶν δὲ] τῶν δὲ ἥτοι ἡμῶν H 23 ἀνίαν
Mang. (Dahl): ἄνοιαν CGOMH, ἄγνοιαν A (v); ἀπορίαν conicio στέγοντος Mang.
(Dahl): στένοντος codd. (v) 24 ἀσφαλὲς ἦν CGO: ἦν ἀσφαλὲς ceteri ἑτέρως
C, ἑτέρῳ GO 25 ⟨καὶ⟩ ἀπροσδόκητον coni. Mang. ἀκροδόκητον Turn.
26 συλήβδην M μὲν CGO: om. ceteri 27 δικαιάρχειαν C²MH: δικαιάρχιαν
C¹GO, δικαίαρχον A δ' A 28 διέτριβεν C

186 λυτελῶς ἠσκημένας. φροντίζουσι δὲ ἡμῖν τῆς ὑποθέσεως — ἀεὶ γὰρ κληθήσεσθαι προσεδοκῶμεν — προσέρχεταί τις ὕφαιμόν τι καὶ ταραχῶδες ὑποβλεπόμενος, ἄσθματος μεστός, καὶ μικρὸν ἀπὸ τῶν ἄλλων ἀπαγαγών — πλησίον γὰρ ἦσάν τινες — „ἠκούσατε“ ἔφη „τὰ καινά;“ καὶ μέλλων
187 ἀπαγγέλλειν ἐπεσχέθη, δακρύων ἀθρόας φορᾶς ἐνεχθείσης. καὶ πάλιν ἀρξάμενος δεύτερον ἐπεσχέθη καὶ τρίτον. ἅπερ ὁρῶντες ἡμεῖς ἐπτοήμεθα καὶ παρεκαλοῦμεν μηνῦσαι τὸ πρᾶγμα, οὗ χάριν ἐλθεῖν ἔφασκεν· „οὐ γὰρ ἕνεκα τοῦ διὰ μαρτύρων κλαίειν· εἰ δὲ ἄξια δακρύων ἐστί, μὴ μόνος
188 ἀπόλαυε τῆς λύπης· ἐθάδες γεγόναμεν ἤδη κακοπραγιῶν.“ ὁ δὲ μόλις μὲν ἀναλύζων δὲ ὅμως κεκομμένῳ τῷ πνεύματί φησιν· „οἴχεται ἡμῶν τὸ ἱερόν· ἀνδριάντα κολοσσιαῖον ἐσωτάτω τῶν ἀδύτων ἀνατεθῆναι
189 Γάιος προσέταξε Διὸς ἐπίκλησιν αὐτοῦ.“ θαυμασάντων δὲ τὸ λεχθὲν καὶ πεπηγότων ὑπ' ἐκπλήξεως καὶ μηδὲ προελθεῖν ἔτι δυναμένων — ἀχανεῖς γὰρ εἱστήκειμεν ὀλιγοδρανοῦντες καὶ καταρρέοντες περὶ αὑτοῖς, τῶν σωματικῶν τόνων ἐκνενευρισμένων —, ἕτεροι παρῆσαν τὰς αὐτὰς
190 φέροντες ὠδῖνας. ἔπειτα συγκλεισάμενοι πάντες ἀθρόοι ἰδίας ὁμοῦ καὶ κοινὰς τύχας ἐθρηνοῦμεν καὶ οἷα ὑπέβαλλεν ὁ νοῦς διεξῇμεν — λαλίστατον γὰρ ἄνθρωπος ἀτυχῶν —· ἀγωνιάσωμεν ὑπὲρ τοῦ μὴ εἰς ἅπαν ταῖς ἀνιάτοις παρανομίαις ἀφεθῆναι. χειμῶνος μέσου διεπλεύσαμεν ἀγνοοῦντες, ὅσος χειμὼν ἔφεδρός ἐστιν ὁ κατὰ γῆν ἀργαλεώτερος πολλῷ τοῦ κατὰ θάλατταν· τοῦ μὲν γὰρ ἡ φύσις αἰτία διακρίνουσα τοὺς ἐτησίους καιρούς, φύσις δὲ σωτήριον· ἐκείνου δὲ ἄνθρωπος οὐδὲν φρονῶν ἀνθρώπινον, νέος καὶ

---

1 φορτίζουσι G 2 κεκλήσεσθαι A τι om. CGO (Turn.); τε Dahl 4 κενά L (Turn.) 5 ἀπεσχέθη M 8 δ' A ἐστὶν C, εἰσὶ O 9 ἐθάδες] ἐνθάδε LD 10 ἀναλύζων GH: ἀναβλύζων A, ἀνολύζων COM 11 ἀνδριάντι A ἐσωτάτω CO: ἐστῶτα G, εἴσω ceteri; εἰσωτάτω v 12 προσέταξεν C Διὸς] δοὺς A 13 πεπηγότων H: πεπληγότων ceteri ὑπ' CA: ὑπὸ OMH, ὑπὲρ G προελθεῖν Turn. (v): προσελθεῖν codd. (coni. Mang.) 14 ὀλιγαδρανοῦντες H^1, corr. H^2, ὀλιδρανοῦντες A παραρρέοντες O αὐτοῖς H^2: αὐτοῖς CGOMH^1, αὐτῶν A; αὐτοὺς coni. Mang. ὡ ϊ 15 τόνων] ὄγκων A 16 ὀδύνας A, ὀδύνας OH καὶ ante ἔπειτα add. CGO (v) συγκλεισάμενοι] συναλισάμενοι coni. Matthaei 17 ὑπέλαβεν A; ὑπέβαλεν v διεξῇμεν Cohn: διέξιμεν codd.; διέξειμεν v 18 ἀγωνιάσωμεν CGOMA: ἀγωνισάμενος H^1, ἀγωνιζόμενος H^2L; ἀγωνιαζόμενοι (v) interpunctione mutata antecedentibus adiunxit Mang. εἰς ἅπαν ταῖς OH^{2}L: εἰς ἅπαντας (vel εἰς ἅπαν τὰς) CGMAH^1; εἰς ἅπαντας ταῖς v, εἰς ἅπαν τὰς coni. Mang., ἡμᾶς ἅπαντας ταῖς coni. Dahl (εἰς ἅπαντα ταῖς in textu) ἀνιάτοις (sive ἀνηκέστοις sive ἀκολάστοις coni.) Dahl: ἐν αὐτοῖς codd. (v); ἐν ἀστοῖς vel ἀνηκέστους coni. Mang. 19 παρανομίας A (coni. Mang.) δὲ ante μέσου add. H^2L 20 ἀργαλαιότερος G 21 διακρίνουσα C (Mang.): διακρίνασα ceteri (Turn.) 22 ἐκείνου AH^{2}L (Mang.): ἐκείνους COMH^1 (Turn.), ἐκεῖνος G σωτήριος G οὐδὲ H^1, corr. H^2, μηδὲν A

---

17. 18 D^K fol. 178^r ἐκ τῆς αὐτῆς: λαλίστατον ἄνθρωπος ἀτυχῶν. praecedit Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβείας: ἐνθάδε γεγόναμεν κακοπραγιῶν (lin. 9).

p. 574 M. νεωτεροποιὸς ἀνημμένος τὴν ἐφ' ἅπασιν | ἀνυπεύθυνον ἀρχήν· νεότης δὲ μετ' ἐξουσίας αὐτοκρατοῦς ὁρμαῖς ἀκαθέκτοις χρωμένη κακὸν δύσμαχον. ἐξέσται δὲ προσελθεῖν ἢ διᾶραι τὸ στόμα περὶ προσευχῶν τῷ λυμε- 191
ῶνι τοῦ πανιέρου; δῆλον γὰρ ὡς οὐ φροντιεῖ τῶν ἀφανεστέρων καὶ τιμῆς
5 ἐλάττονος ἠξιωμένων ὁ τὸν περισημότατον καὶ ἐπιφανέστατον νεών, εἰς ὃν ἀνατολαὶ καὶ δύσεις ἀποβλέπουσιν ἡλίου τρόπον πανταχόσε λάμποντα, καθυβρίζων. εἰ δὲ καὶ γένοιτό τις ἄδεια προσόδου, τί χρὴ προσδοκᾶν 192
ἢ θάνατον ἀπαραίτητον; ἀλλ' ἔστω, τεθνηξόμεθα· ζωὴ γάρ τίς ἐστιν ὁ ὑπὲρ φυλακῆς νόμων εὐκλεέστατος θάνατος. εἰ δὲ ἐκ τῆς ἡμετέρας τελευτῆς
10 γενήσεται μηδὲν ὄφελος, οὐ μανία παραπολέσθαι, καὶ ταῦτα πρεσβεύειν δοκοῦντας, ὡς τῶν πεμψάντων μᾶλλον ἢ τῶν ὑπομενόντων εἶναι τὴν συμφοράν; οὐ μὴν ἀλλὰ καὶ ὅσοι τὰς φύσεις μισοπονηρότατοι τῶν ὁμο- 193
φύλων ἀσέβειαν ἡμῶν κατηγορήσουσιν ὡς, ἐν ἐσχάτῳ κινδύνῳ τῶν ὅλων σαλευόντων, ἐπιμνησθέντων ὑπὸ φιλαυτίας ἰδίου τινός· τοῖς γὰρ μεγάλοις
15 τὰ βραχέα καὶ τοῖς κοινοῖς τὰ ἴδια ὑποστέλλειν ἀναγκαῖον, ὧν οἰχομένων ἔρρει καὶ ἡ πολιτεία. ποῦ γὰρ ὅσιον ἢ θεμιτὸν ἄλλως ἀγωνίζεσθαι, 194
δεικνύντας ὡς ἐσμὲν Ἀλεξανδρεῖς, οἷς ὁ περὶ τῆς καθολικωτέρας πολιτείας ἐπικρέμαται κίνδυνος τῆς Ἰουδαίων; ἅμα γὰρ τῇ τοῦ ἱεροῦ καταλύσει
δέος, μὴ καὶ τὸ κοινὸν τοῦ ἔθνους ὄνομα συναφανισθῆναι κελεύσῃ ὁ
20 νεωτεροποιὸς καὶ μεγαλουργὸς ἄνθρωπος. ἀμφοτέρων οὖν τῶν ὑποθέσεων 195
δι' ἃς ἐστάλημεν οἰχομένων, ἴσως φήσει τις· τι οὖν, οὐκ ᾔδεσαν πραγματεύεσθαι τὴν μετὰ ἀσφαλείας ἐπάνοδον; πρὸς ὃν εἴποιμι ἄν· ἢ οὐκ ἔχεις ἀνδρὸς εὐγενοῦς πάθος γνήσιον ἢ οὐκ ἐνετράφης οὐδὲ ἐνησκήθης
τοῖς ἱεροῖς γράμμασιν. ἐλπίδων εἰσὶ πλήρεις οἱ ὄντως εὐγενεῖς, καὶ οἱ
25 νόμοι τοῖς ἐντυγχάνουσι μὴ χείλεσιν ἄκροις ἐλπίδας ἀγαθὰς δημιουργοῦσιν. ἴσως ἀπόπειρα ταῦτα τῆς καθεστώσης γενεᾶς ἐστι, πῶς ἔχει πρὸς ἀρετὴν 196
καὶ εἰ πεπαίδευται φέρειν τὰ δεινὰ λογισμοῖς ἰσχυρογνώμοσιν οὐ προκαταπίπτουσα. τὰ μὲν οὖν ἐξ ἀνθρώπων ἅπαντα καὶ ἔρρει καὶ ἐρρέτω·

---

5 νεών CG: ναόν ceteri 7 ἄδεια] χρεία A 8 ζῶν GO τίς ἐστιν ὁ Turn. (ν): τις ὁ GM, ἐστιν ὁ C, τις OH, τις καὶ A 9 ἐκ] καὶ ἐκ A 10 μηδὲν CGOH²L: οὐδὲν MAH¹ 15 κενοῖς C 16 ποῦ] πῶς coni. Mang. 17 δεικνύντες CG 19 τοῦ κοινοῦ O 19. 20 μὴ — νεωτεροποιὸς καὶ] ὡς ἐξαφανίσει τὸ ἔθνος A 20 οὖν] αὖ A 21 ᾔδεσαν] ᾔδεισαν codd. (ν); ᾔδεις ἂν coni. Mang. 22 μετ' O εἴποιμ' A 22. 23 εἴποιμι — οὐδὲ om. H¹, add. H² 23 ἐνησκήθεις C 24 ὄντες M 25 ἐντυγχάνουσιν CD^CL δημιουργεῖν CGO 26 ἐστιν CM 27 ἰσχυρογνώμοσι G 27. 28 προκαταπίπτουσι (-ιν L) H (Turn.)

---

1. 3 D^R fol. 214^v ἐκ τῶν πρὸς Γάϊον fol. 116^v τοῦ αὐτοῦ Anton. Mel. II 2 Col. 1012 20 Col. 1061 Φίλωνος: νεότης μετ' ἐξουσίας — δύσμαχον γίνεται. eadem in Georgidis cod. Laur. VIII 15 fol. 70v. 24. 25 D^C fol. 201^v Φίλωνος ἐκ τῆς πρὸς Γάϊον πρεσβείας D^R fol. 187^v Φίλωνος: τοῖς ἐντυγχάνουσι μὴ χείλεσιν ἄκροις οἱ θεῖοι νόμοι ἐλπίδας ἀγαθὰς δημιουργοῦσιν.

μενέτω δὲ ἐν ταῖς ψυχαῖς ἀκαθαίρετος ἡ ἐπὶ τὸν σωτῆρα θεὸν ἐλπίς,
ὃς πολλάκις ἐξ ἀμηχάνων καὶ ἀπόρων περιέσωσε τὸ ἔθνος.
197 (30.) Ταῦτα ἅμα μὲν ὀλοφυρόμενοι τὰς ἀπροσδοκήτους ἀτυχίας
ἅμα δὲ καὶ παρηγοροῦντες ἑαυτοὺς ἐλπίδι μεταβολῆς γαληνοτέρας διεξῆμεν.
μικρὸν δὲ ἐπισχόντες πρὸς τοὺς ἀπαγγείλαντας | „τί καθ' ἡσυχίαν“ εἴ- p. 575 M.
πομεν „κάθησθε, σπινθῆρας αὐτὸ μόνον τοῖς ὠσὶν ἡμῶν ἐνιέντες, ὑφ' 6
ὧν καιόμεθα καὶ πυρπολούμεθα, δέον προσεξηγεῖσθαι καὶ τὰ κεκινηκότα
198 τὸν Γάιον;“ οἱ δέ· „τὴν μὲν ἀνωτάτω καὶ πρώτην αἰτίαν ἴστε, ἣν καὶ
πάντες ἴσασιν ἄνθρωποι· θεὸς βούλεται νομίζεσθαι, ὑπείληφε δὲ μόνους
Ἰουδαίους μὴ πείσεσθαι, οἷς μεῖζον οὐδὲν ἂν προστρίψαιτο κακὸν ἢ 10
λυμηνάμενος τὴν τοῦ ἱεροῦ σεμνότητα. κατήχηται δέ, ὅτι καὶ πάντων
ἱερῶν τῶν πανταχοῦ κάλλιστόν ἐστιν ἐξ ἀπείρων χρόνων ἀπαύστοις καὶ
ἀφειδέσι δαπάναις ἀεὶ προσκοσμούμενον· δύσερις δὲ καὶ φιλόνεικος ὢν
199 σφετερίσασθαι τοῦτο εἰς ἑαυτὸν διανοεῖται. παρατέθηκται δὲ νῦν μᾶλλον
ἢ πρότερον ἐξ ἐπιστολῆς, ἣν ἔπεμψε Καπίτων. φόρων ἐκλογεὺς ὁ Καπί- 15
των ἐστὶ τῶν τῆς Ἰουδαίας, ἔχει δέ πως πρὸς τοὺς ἐγχωρίους ἐγκότως·
πένης γὰρ ἀφιγμένος καὶ ἐξ ὧν νοσφίζεται καὶ παρεκλέγει ποικίλον τινὰ
καὶ πολὺν πλοῦτον ἠθροικώς, εἶτα εὐλαβηθείς, μή τις αὐτοῦ γένηται
κατηγορία, τέχνην ἐπενόησεν, ᾗ διαβολαῖς τῶν ἀδικηθέντων διακρούσεται
200 τὰς αἰτίας. ἀφορμὴν δὲ αὐτῷ δίδωσιν εἰς ὅπερ ἐβούλετο συντυχία τις 20
τοιαύτη. τὴν Ἰάμνειαν — πόλις δέ ἐστι τῆς Ἰουδαίας ἐν τοῖς μάλιστα
πολυάνθρωπος — [ταύτην] μιγάδες οἰκοῦσιν, οἱ πλείους μὲν Ἰουδαῖοι,
ἕτεροι δέ τινες ἀλλόφυλοι παρεισφθαρέντες ἀπὸ τῶν πλησιοχώρων, οἳ
τοῖς τρόπον τινὰ αὐθιγενέσιν ὄντες μέτοικοι κακὰ καὶ πράγματα παρέ-
201 χουσιν, ἀεί τι παραλύοντες τῶν πατρίων Ἰουδαίοις. οὗτοι παρὰ τῶν 25
ἐπιφοιτώντων ἀκούοντες, ὅσῃ σπουδῇ κέχρηται Γάιος περὶ τὴν ἰδίαν
ἐκθέωσιν καὶ ὡς ἀλλοτριώτατα διάκειται πρὸς ἅπαν τὸ Ἰουδαϊκὸν γένος,
καιρὸν ἐπιτήδειον εἰς ἐπίθεσιν παραπεπτωκέναι νομίζοντες αὐτοσχέδιον
ἀνιστᾶσι βωμὸν εἰκαιοτάτης ὕλης, πηλὸν σχηματίσαντες εἰς πλίνθους,

---

1 δ' A 3 ταῦθ' A 4 διεξῆμεν] διέξημεν (η corr. in ι) O, διέξιμεν ceteri; διέξειμεν v 5 δ' A ἐπαγγείλαντας L 6 κάθησθε C: καθέζεσθε MA, καθέζεσθαι H, καθίζεσθαι G, αι corr. in ε O αὐτὸ] αὔτως C, αὕτως G, οὕτως O ἐνιέντες COH²L: ἐνιέντας G, ἐνέντες MA, ἐνιόντες H¹ 7 προσηγεῖσθαι CGO 9 δὲ A (Mang.): om. ceteri (Turn.) 10 μὴ πείσεσθαι A (Mang.): om. ceteri (Turn.) 11 κατέχηται δ' A 12 ἀπαύστοις om. O 15. 16 ὁ Καπίτων ἐστὶ glossema esse putat Mang. 16 ἐστὶν C (v). Ἰουδαίας] Ἰαμνείας coni. Schürer coll. Joseph. Ant. XVIII 6, 3 εἶχε O ἐγκόπως M 18 εἶτ' A αὐτῷ A 19 ᾗ CGH²L: ᾗ O, εἰ MH¹, ὡς A διακρούεται G, διακρούσηται A 20 αὐτοῦ M 21 ἰάμνειαν CGH: ἰάμνιαν OMA τοῖς codd.: ταῖς v 22 πολυανθρώποις coni. Mang. (Dahl) ταύτην seclusi 23 πλ☰σιοχώρων C 26 περὶ] παρὰ H 27 Ἰουδαϊκὸν γένος] Ἰουδαίων ἔθνος A (prob. Mang.) 28 εἰς] πρὸς A 29 ἀνιστᾶσι] παριστῶσι A, ἀνιστῶσι ceteri (v)

ὑπὲρ τοῦ μόνον ἐπιβουλεύειν τοῖς συνοικοῦσιν· ἤδεσαν γὰρ οὐκ ἀνεξομένους
καταλυομένων τῶν ἐθῶν, ὅπερ καὶ ἐγένετο. θεασάμενοι γὰρ καὶ δυσανα- 202
σχετήσαντες ἐπὶ τῷ τῆς ἱερᾶς χώρας τὸ ἱεροπρεπὲς ὄντως ἀφανίζεσθαι
καθαιροῦσι συνελθόντες· οἱ δὲ εὐθὺς ἐπὶ τὸν Καπίτωνα ἦκον, ὃς ἦν τοῦ
δράματος ὅλου δημιουργός. ἕρμαιον δὲ εὑρηκέναι νομίσας, ὅπερ ἐκ
πολλῶν χρόνων ἀνεζήτει, γράφει Γαΐῳ διαίρων τὰ πράγματα καὶ
μετεωρίζων. ὁ δὲ διαναγνοὺς πλουσιώτερον καὶ μεγαλοφρονέστερόν τι ἀντὶ 203
τοῦ πλινθίνου βωμοῦ τοῦ κατ' ἐπήρειαν ἀνασταθέντος ἐν Ἰαμνείᾳ κελεύει
p. 576 M. | κολοσσιαῖον ἀνδριάντα ἐπίχρυσον ἐν τῷ τῆς μητροπόλεως ἱερῷ καθ-
ιδρυθῆναι, συμβούλοις χρησάμενος τοῖς ἀρίστοις καὶ σοφωτάτοις, Ἑλικῶνι
τῷ εὐπατρίδῃ δούλῳ, σπερμολόγῳ, περιτρίμματι, καὶ Ἀπελλῇ τινι
τραγῳδῷ, ὃς ἀκμῇ μὲν τῆς πρώτης ἡλικίας, ὡς φασιν, ἐκαπήλευσε τὴν
ὥραν, ἔξωρος δὲ γενόμενος ἐπὶ τὴν σκηνὴν παρῆλθεν. ὅσοι δὲ σκηνο- 204
βατοῦσιν ἐμπορευόμενοι θεαταῖς καὶ θεάτροις, αἰδοῦς εἰσι καὶ σωφροσύνης
ἀλλ' οὐκ ἀναισχυντίας καὶ ἀκοσμίας ἐρασταὶ τῆς ἀνωτάτω; διὰ ταῦτα
εἰς τὴν τοῦ συμβούλου τάξιν ὁ Ἀπελλῆς παρῆλθεν, ἵνα βουλεύσηται
Γάιος μεθ' οὗ μὲν ὡς σκωπτέον, μεθ' οὗ δὲ ὡς ᾀστέον, ὑπερβὰς τὰς
περὶ τῶν ὅλων σκέψεις, ὡς εἰρηνεύεσθαι καὶ ἡρεμεῖσθαι τὰ πανταχοῦ
πάντα. ὁ μὲν οὖν Ἑλικών, σκορπιῶδες ἀνδράποδον, τὸν Αἰγυπτιακὸν 205
ἰὸν εἰς Ἰουδαίους ἧφιεν, ὁ δὲ Ἀπελλῆς τὸν ἀπὸ Ἀσκάλωνος· ἦν γὰρ
ἐκεῖθεν· Ἀσκαλωνίταις δὲ ἀσύμβατός τις καὶ ἀκατάλλακτος δυσμένεια
πρὸς τοὺς τῆς ἱερᾶς χώρας οἰκήτορας Ἰουδαίους ἐστὶν οὐσιν ὁμόροις.“
ταῦτα ἀκούοντες ἐφ' ἑκάστου ῥήματος καὶ ὀνόματος ἐτιτρωσκόμεθα τὰς 206
ψυχάς. ἀλλ' οἱ μὲν καλῶν πράξεων καλοὶ σύμβουλοι μικρὸν ὕστερον τὰ
ἐπίχειρα εὗρον τῆς ἀσεβείας, ὁ μὲν ὑπὸ Γαΐου σιδήρῳ δεθεὶς ἐφ' ἑτέραις

---

2 ἐθνῶν G, pr. ν exp. L 5 ὅλος M 6 τὰ πράγματα C: τὸ πρᾶγμα ceteri (mavult Mang.) 7 διαναγνοὺς Mang.: διαγνοὺς codd. (v) μεγαλοπρεπέστερον coni. Mang. τι ante καὶ transp. A 7. 8 ἀντὶ τοῦ C: om. ceteri 8 ἀνασταθέντος] ἀνιστωθέντος (sic) coni. Mang. ἰαμνία OMA 9 κολοσιαῖον OL 9. 10 καθιδρυσθῆναι M 10 ἑλικῶνι OMAH: ἑλίκωνι CG (v) 11 εὐπατρίδι OL; ἀνδραποδώδει coni. Mang. 12 ἀκμῇ CGO: ἐν ἀρχῇ ceteri; ⟨ἐν⟩ ἀκμῇ coni. Matthaei ὡς φασιν ante ἐκαπήλευσε CGO: ὡς φασιν post ὥραν (13) transp. ceteri 14 θεταῖς (sic) A εἰσι om. Turn. 16 ὁ om. GA βουλεύσηται CG: βουλεύηται ceteri 17 pr. ὡς] οὓς A ᾀστέον] ἀστείου A ὑπερβὰς CGOH: ὑπὲρ MA τὰς MH²L: τῆς A, om. CGOH¹ 18 περὶ om. A ὅλων] ὅχλων A σκέψεις ὡς MH: σκεψ (sic, sed post ψ spatium 5 fere litt. vacuum) C, σκεψείας (sic) GO, κατασκήψεως ὡς A ὡς ⟨δοκεῖν⟩ coni. Cohn ἡρεμεῖσθαι A (mavult Mang.): εὐνομεῖσθαι ceteri (v) 19 ὁ] διὸ CG, διὸ ὁ O οὖν om. O ἑλίκων C (v) 20 ἧφιεν codd. (cf. Crönert, Mem. Graec. Herc. 258): ἠφίει Cohn ἀπ' A 20. 21 ἦν γὰρ ἐκεῖθεν om. C 22 τῆς om. G ἐστὶν om. A 23 ταῦτ' A 25 εὗρον MAH: εὑρόν≡ C, εὑρόντες GO ἀσεβείας C: εὐσεβείας GOMH, εὐσεβείας A σιδήρῳ δεθεὶς CGO: σιδηρωθεὶς ceteri

αἰτίαις καὶ στρεβλούμενος καὶ τροχιζόμενος ἐκ περιτροπῆς, ὥσπερ ἐν ταῖς περιοδιζούσαις νόσοις, ὁ δὲ Ἑλικὼν ὑπὸ Κλαυδίου Γερμανικοῦ Καίσαρος ἀναιρεθείς, ἐφ' οἷς ἄλλοις ὁ φρενοβλαβὴς ἠδίκησεν. ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο.

207 (31.) Ἡ δὲ περὶ τῆς ἀναθέσεως τοῦ ἀνδριάντος ἐπιστολὴ γράφεται, καὶ οὐχ ἁπλῶς ἀλλ' ὡς οἷόν τε ἦν περιεσκεμμένως εἰς ἀσφάλειαν. κελεύει γὰρ Πετρωνίῳ τῷ τῆς Συρίας ἁπάσης ὑπάρχῳ, πρὸς ὃν καὶ τὴν ἐπιστολὴν ἐγεγράφει, τῆς παρ' Εὐφράτῃ στρατιᾶς, ἣ τὴν διάβασιν τῶν ἑῴων βασιλέων καὶ ἐθνῶν παρεφύλαττε, τὴν ἡμίσειαν ἄγειν ἐπὶ τῆς Ἰουδαίας τὸν ἀνδριάντα παραπέμψουσαν, οὐχ ἵνα σεμνοποιήσῃ τὴν
208 ἀνάθεσιν, ἀλλ' ἵνα, εἰ διακωλύοι τις, εὐθὺς ἀπόληται. τί λέγεις, ὦ δέσποτα; προειληφὼς οὐκ ἀνεξομένους, ἀλλ' ὑπερασπιοῦντας τοῦ νόμου καὶ προαποθανουμένους τῶν πατρίων πολεμοποιεῖς; οὐ γὰρ ἔοικας δι' ἄγνοιαν ὧν εἰκὸς ἦν ἀποβήσεσθαι τοῦ περὶ τὸ ἱερὸν ἅψασθαι νεωτερισμοῦ, προμαθὼν δὲ ἀκριβῶς τὰ μέλλοντα ὡς ἤδη παρόντα καὶ τὰ γενησόμενα ὡς χειριζόμενα | τὴν στρατιὰν εἰσάγειν προσέταξας, ἵνα θυσίαις ἐναγέσι p. 577 M.
πρώταις καθιερωθῇ τὸ ἀφίδρυμα, σφαγαῖς ἀθλίων ἀνδρῶν ὁμοῦ καὶ
209 γυναικῶν. ὁ μὲν οὖν Πετρώνιος τὰ ἐπισταλέντα διαναγνοὺς ἐν ἀμηχάνοις ἦν, οὔτε ἐναντιοῦσθαι δυνάμενος διὰ φόβον — ἤδει γὰρ ἀφόρητον οὐ μόνον κατὰ τῶν τὰ κελευσθέντα μὴ πραξάντων, ἀλλὰ καὶ κατὰ τῶν μὴ εὐθύς — οὔτε ἐγχειρεῖν εὐμαρῶς· ἤδει γὰρ ἀνθ' ἑνὸς θανάτου μυρίους ἄν, εἴπερ δυνατὸν ἦν, ἐθελήσοντας ὑπομεῖναι μᾶλλον ἢ περιιδεῖν τι
210 τῶν ἀπειρημένων δρώμενον. ἅπαντες γὰρ ἄνθρωποι φυλακτικοὶ τῶν ἰδίων ἐθῶν εἰσι, διαφερόντως δὲ τὸ Ἰουδαίων ἔθνος· θεόχρηστα γὰρ λόγια τοὺς νόμους εἶναι ὑπολαμβάνοντες καὶ τοῦτο ἐκ πρώτης ἡλικίας τὸ μάθημα

---

2 περιοδιζούσαις AH: περιοριζούσαις COM, alt. ρ corr. in δ G Ἑλίκων v; sine accentu C
6 καὶ CGOH: ὅτι A, om. M τ' A 7 τῷ om. A 8 ἐγεγράφει CGO (Turn.): ἐγράφει L, ἐγγράφει MAH: ἔγραφε Mang. (Dahl) εὐφράτῃ CGOMA: εὐφράτου H; Εὐφράτην v ἣ τὴν A: ἥτις CGO (v), ἣ τὴν MH 9. 10 τῆς Ἰουδαίας CG: τοὺς Ἰουδαίους ceteri (v) 10 παραπέμψουσιν G 11 διακωλύοι Matthaei: διακωλύῃ C, διακωλύει ceteri (v) ἀπολεῖται G λέγῃς C 12 δέσποτα] σπουδαῖε coni. Mang. προϋπειληφὼς A αὐξομένους M τοῦ νόμου A: τοῖς νόμοις ceteri (v); τῶν νόμων coni. Mang. 15 δ' A 16 χειριζόμενα scripsi: χειριούμενα CGOMH (v), ἐν χειρὶ ἐσόμενα A; ἐν ἀκαρεῖ ἐσόμενα coni. Mang. εἰσάγειν] προσάγειν A (Mang.) ἐναγέσι Richt. (Tauchn.): εὐαγέσι codd. (v); ἀναγέσι coni. Mang. 17 πρώτως A; πρῶτον coni. Cohn, καὶ ἐπαράτοις coni. Mang. ὁμοῦ ἀνδρῶν transp. H
18 διαναγνοὺς CGO: διαγνοὺς ceteri 19 ἐναντιοῦσθαι δυνάμενος CGOH²L: ἐναντιούμενος MAH¹ ἤδη G ἀφόρητα A; fort. Γάιον excidit οὐ] μὴ M
21 οὔτ' GMA ἐγχειρῶν A 23 ἅπαν L φυλακτικοὶ Turn.: φυλακτοὶ CGOMH, φυλακταὶ A (Mang.) 24 εἰσιν CL (v) Ἰουδαίων COMAH: Ἰουδαῖον G (v) λόγια om. A 25 πάθημα G

---

23. 24 DK fol. 249v ἐκ τῆς πρὸς Γάιον πρεσβείας: ἅπαντες ἄνθρωποι φύλακες τῶν ἰδίων ἐθνῶν (sic) εἰσιν.

παιδευθέντες ἐν ταῖς ψυχαῖς ἀγαλματοφοροῦσι τὰς τῶν διατεταγμένων
εἰκόνας· εἶτα ἐναργεῖς τύπους καὶ μορφὰς αὐτῶν καθορῶντες ἀεὶ τοῖς 211
λογισμοῖς αὑτῶν τεθήπασι· καὶ τοὺς μὲν τιμητικῶς ἔχοντας ἀλλοφύλους
αὐτῶν οὐχ ἧττον τῶν ἰδίων ἀποδέχονται πολιτῶν, τοῖς δὲ ἢ καθαιροῦ-
σιν ἢ χλευάζουσιν ὡς πολεμιωτάτοις ἀπέχθονται· καὶ πεφρίκασι μὲν
ἕκαστον τῶν διηγορευμένων οὕτως, ὡς ἅπασαν τὴν παρ' ἀνθρώποις εἴτε
εὐτυχίαν εἴτε εὐδαιμονίαν χρὴ καλεῖν μηδέποτ' ἂν ὑπὲρ παραβάσεως
καὶ τοῦ τυχόντος ἂν ὑπαλλάξασθαι. περιττοτέρα δὲ καὶ ἐξαίρετός ἐστιν 212
αὐτοῖς ἅπασιν ἡ περὶ τὸ ἱερὸν σπουδή. τεκμήριον δὲ μέγιστον· θάνα-
τος ἀπαραίτητος ὥρισται κατὰ τῶν εἰς τοὺς ἐντὸς περιβόλους παρελθόν-
των — δέχονται γὰρ εἰς τοὺς ἐξωτέρω τοὺς πανταχόθεν πάντας — τῶν
οὐχ ὁμοεθνῶν. εἰς δὴ ταῦτα ἀφορῶν ὁ Πετρώνιος βραδὺς ἦν ἐγχειρη- 213
τής, ὅσον τόλμημα μεγαλουργεῖται σκεπτόμενος, καὶ συγκαλέσας ὡς ἐν
συνεδρίῳ τοὺς τῆς ψυχῆς ἅπαντας λογισμοὺς τὴν ἑκάστου γνώμην διηρεύνα
καὶ πάντας εὗρισκεν ὁμογνωμονοῦντας περὶ τοῦ μηδὲν κινεῖν τῶν ἐξ
ἀρχῆς καθωσιωμένων, πρῶτον διὰ τὸ φύσει δίκαιον καὶ εὐσεβές, ἔπειτα
διὰ τὸν ἐπικρεμάμενον κίνδυνον, οὐκ ἐκ θεοῦ μόνον ἀλλὰ καὶ τῶν
ἐπηρεαζομένων. ἔννοιά τε αὐτὸν εἰσῄει τοῦ ἔθνους, ὅσον ἐστὶν ἐν 214
πολυανθρωπίᾳ, ὅπερ οὐκ ἐδέξατο καθάπερ τῶν ἄλλων ἕκαστον μιᾶς
χώρας τῆς ἀποκεκληρωμένης αὐτῷ μόνῳ περίβολος, ἀλλ' ὀλίγου δέω
φάναι πᾶσα ἡ οἰκουμένη· κέχυται γὰρ ἀνά τε τὰς ἠπείρους καὶ νήσους
ἁπάσας, ὡς τῶν αὐθιγενῶν μὴ πολλῷ τινι δοκεῖν ἐλαττοῦσθαι. τοσαύ- 215
τας μυριάδας ἐφέλκεσθαι πολεμίων ἄρ' οὐ σφαλερώτατον; ἀλλὰ μήποτε
γένοιτο συμφρονήσαντας τοὺς ἑκασταχοῦ πρὸς ἄμυναν ἐλθεῖν· ἄμαχόν
τι συμβήσεται χρῆμα· δίχα τοῦ καὶ τοὺς τὴν Ἰουδαίαν κατοικοῦντας
p. 578 M. | ἀπείρους τε εἶναι τὸ πλῆθος καὶ τὰ σώματα γενναιοτάτους καὶ τὰς ψυχὰς
εὐτολμοτάτους καὶ προαποθνήσκειν αἱρουμένους τῶν πατρίων ὑπὸ φρονή-
ματος, ὡς μὲν ἔνιοι τῶν διαβαλλόντων εἴποιεν ἄν, βαρβαρικοῦ, ὡς δὲ
ἔχει τἀληθές, ἐλευθερίου καὶ εὐγενοῦς. ἐφόβουν δὲ αὐτὸν καὶ αἱ πέραν 216

---

1 τῶν διατεταγμένων] διὰ τῶν τεταγμένων G 2 αὐτῶν om. A 3 αὑτῶν] αὐτῶν codd. (v) 4 ἢ MAH (Dahl): ἤδη CGO (v); ἤ δὴ coni. Mang. 5 πολεμιωτάτους MH¹ (corr. H²) ἀπέχθονται] ἀπομάχονται A πεφρίκασιν (μὲν om.) A 6 ἅπασιν H¹, corr. H² παρὰ CG εἴτ' A 7 εἴτ' A μηδέποτε H 9 τὸ ἱερὸν] τῶν ἱερῶν A 11 ἐξωτέρους (ου corr. ex ω) C τοὺς πανταχόθεν CGO: om. ceteri 12 οὐχ om. Turn. ταῦτ' A 15 ηὕρισκεν GOM ὁμογνομονοῦντας Turn. 16 καθοσιωμένων G καὶ om. M 18 αὐτῶν M 19 ἐδέξατο AH: ἐξεδέξατο CGOM (v) 20 περίβολος A: περίβολον ceteri 21 ἡ οἰκουμένη] ἠκουμένη M 22 τινι] τι A 23 πολεμίων] δυναμένων H ἄρ' ÇA: ἆρα GOMH σφαλερώτερον A 24 γένοιτο om. CGO (Turn.) 25 τοῦ om. H κατοικοῦντας CGO: οἰκοῦντας ceteri 26 γενναιότατοι H¹, corr. H² 27 αἱρομένους (sic) M τῶν πατρίων αἱρουμένους transp. A 28 δὲ CGO: δ' ceteri 29 ἐλευθέρου CO (Turn.) δ' A

Εὐφράτου δυνάμεις· ἤδει γὰρ Βαβυλῶνα καὶ πολλὰς ἄλλας τῶν σατραπειῶν ὑπὸ Ἰουδαίων κατεχομένας, οὐχ ἀκοῇ μόνον ἀλλὰ καὶ πείρᾳ· καθ' ἕκαστον γὰρ ἐνιαυτὸν ἱεροπομποὶ στέλλονται χρυσὸν καὶ ἄργυρον πλεῖστον κομίζοντες εἰς τὸ ἱερὸν τὸν ἀθροισθέντα ἐκ τῶν ἀπαρχῶν, δυσβάτους καὶ ἀτριβεῖς καὶ ἀνηνύτους ὁδοὺς περαιούμενοι, ἃς λεωφόρους εἶναι
217 νομίζουσιν, ὅτι πρὸς εὐσέβειαν ἄγειν δοκοῦσι. περιδεὴς οὖν ὡς εἰκὸς ἦν, μὴ πυθόμενοι τὴν καινουργουμένην ἀνάθεσιν ἐπιφοιτήσωσιν ἐξαίφνης καὶ περίσχωσιν, οἱ μὲν ἔνθεν οἱ δὲ ἔνθεν, κύκλος γενόμενοι, καὶ συνάψαντες ἀλλήλοις τοὺς ἐναπολειφθέντας μέσους δεινὰ ἐργάσωνται. τοιούτοις μὲν
218 λογισμοῖς χρώμενος ἀπώκνει. πάλιν δὲ ὑπὸ τῶν ἐναντίων ἀνθείλκετο, „δεσπότου" λέγων „ἡ πρόσταξίς ἐστι καὶ νέου καὶ ὅ τι ἂν βουληθῇ τοῦτο συμφέρον κρίνοντος καὶ τὸ γνωσθὲν ἅπαξ ἐπιτελεσθῆναι, κἂν ἀλυσιτελέστατον ᾖ καὶ φιλονεικίας καὶ ἀλαζονείας γέμον, ὅς γε καὶ ὑπερπηδήσας τὸν ἄνθρωπον ἐν θεοῖς ἤδη γράφει ἑαυτόν. ἐπικρέμαται δή μοι κίνδυνος ὁ περὶ ψυχῆς καὶ ἐναντιωθέντι καὶ εἴξαντι, ἀλλ' εἴξαντι μὲν
219 μετὰ πολέμου καὶ τάχα ἀμφίβολος καὶ οὐ πάντως ἀποβησόμενος, ἐναντιωθέντι δὲ ἀπαραίτητος καὶ ὁμολογούμενος ἐκ Γαΐου." συνελάμβανον δὲ τῇ γνώμῃ ταύτῃ πολλοὶ τῶν συνδιεπόντων τὰ κατὰ Συρίαν αὐτῷ Ῥωμαίων, εἰδότες ὅτι καὶ ἐπ' αὐτοὺς πρώτους αἱ ἀπὸ Γαΐου χωρήσουσιν ὀργαὶ καὶ τιμωρίαι ὡς συναιτίους τοῦ τὸ κελευσθὲν μὴ γενέσθαι.
220 παρέσχε δὲ εἰς ἀκριβεστέραν σκέψιν ἀναχώρησιν ἡ κατασκευὴ τοῦ ἀνδριάντος· οὔτε γὰρ ἀπὸ τῆς Ῥώμης διεπέμψατο — θεοῦ μοι προνοίᾳ δοκῶ τὴν χεῖρα τῶν ἀδικουμένων ἀφανῶς ὑπερέχοντος — οὔτε τῶν κατὰ Συρίαν ὅστις ἂν ἄριστος εἶναι δοκιμασθῇ μετακομίζειν προσέταξεν,
221 ἐπεὶ κἂν τῷ τάχει τῆς παρανομίας ταχὺς ἐξήφθη ὁ πόλεμος. καιρὸν οὖν σχὼν εἰς τὴν τοῦ συμφέροντος διάσκεψιν | — τὰ γὰρ αἰφνίδια καὶ p. 579 M.
μεγάλα, ὅταν ἀθρόα προσπέσῃ, κατακλᾷ τὸν λογισμόν — προστάττει
222 τὴν κατασκευὴν ἔν τινι τῶν ὁμόρων ποιεῖσθαι. μεταπεμψάμενος οὖν ὁ Πετρώνιος δημιουργοὺς τῶν ἐν Φοινίκῃ τοὺς φρονιμωτάτους δίδωσι

---

1. 2 σατραπιῶν GO; ⟨ἄνω⟩ σατραπειῶν coni. Mang. 3 ἱεροπομποί] προπομποὶ coni. Mang. 6 δοκοῦσιν CL 7 πειθόμενοι A καινουργημένην H^1, κεκαινουργημένην H^2 ἀθέτησιν O 8 περισχῶσι L, παραστῶσιν A δ' A κύκλος δὲ O, κύκλω A (coni. Mang.), κύκλοις L 9 ἐναπολειφθέντας GH, ἐναπολειφθέντας A ἐργάσονται GOH 11 ἡ πρόσταξίς ἐστι C: ἐστὶν ἡ πρ. ceteri 12 ἐπιτελεσθῆναι] ἐπιτελέσοντος coni. Mang., ⟨ἀξιοῦντος⟩ ἐπιτελεσθῆναι coni. Cohn 13 ἀλαζονίας M γεννῶν GO; γέμοντος coni. Mang. 16 τάχ' A 17 συνελάμβανον] συνέβαλον A 19 πρώτους] πρότερον L 20 τοῦ τὸ] τοῦτο CG 21 παρέσχεν C ἀναχωρήσασιν M 22 διεπέμψατο CGOA (mavult Mang.): διεπέμψαντο MH (v) προνοίᾳ μοι transp. Mang. 23 ὑπ≡έχοντος H 24 προσέτατε L 25 παρανομίας] παραπομπῆς coni. Mang. 26 γοῦν A σχὼν Turn. (v): σχόντος codd. διάσκηψιν G, σκέψιν O 27 προπέσῃ H^1, corr. H^2 29 δημιουργὸς L φρονιμωτάτους] δοκιμωτάτους coni. Mang.

τὴν ὕλην· οἱ δὲ ἐν Σιδῶνι εἰργάζοντο. μεταπέμπεται δὲ καὶ τοὺς ἐν τέλει τῶν Ἰουδαίων ἱερεῖς τε καὶ ἄρχοντας, ἅμα μὲν δηλώσων τὰ ἀπὸ Γαΐου, ἅμα δὲ καὶ συμβουλεύσων ἀνέχεσθαι τῶν ὑπὸ τοῦ δεσπότου προσταττομένων καὶ τὰ δεινὰ πρὸ ὀφθαλμῶν λαμβάνειν· εὐτρεπεῖς γὰρ εἶναι τῶν κατὰ Συρίαν στρατιωτικῶν δυνάμεων τὰς μαχιμωτέρας, αἳ πᾶσαν τὴν χώραν καταστορέσουσι νεκρῶν. ᾤετο γάρ, εἰ προμαλάξειε 223
τούτους, δυνήσεσθαι δι' αὐτῶν καὶ τὴν ἄλλην πληθὺν ἅπασαν ἀναδιδάξαι μὴ ἐναντιοῦσθαι· γνώμης δέ, ὡς εἰκός, διημάρτανε. πληχθέντας γάρ φασιν ὑπὸ τῶν πρώτων ῥημάτων εὐθὺς αὐτοὺς ἀήθους κακοῦ διηγήσει καταπαγῆναι καὶ ἀχανεῖς γενομένους φοράν τινα δακρύων ὥσπερ ἀπὸ πηγῶν ἀθρόαν ἐκχεῖν, τὰ γένεια καὶ τὰς τρίχας τῆς κεφαλῆς τίλλοντας καὶ τοιαῦτα ἐπιλέγοντας· „πολλὰ εἰσηνέγκαμεν εἰς εὐγήρω 224
βίον οἱ λίαν εὐτυχεῖς, ἵνα δ μηδεὶς πώποτε εἶδε τῶν προγόνων ἡμεῖς θεασώμεθα· τίσιν ὀφθαλμοῖς; ἐκκοπήσονται πρότερον μετὰ τῆς ἀθλίας ψυχῆς καὶ τῆς ἐπωδύνου ζωῆς ἢ τοιοῦτον ὄψονται κακόν, ἀθέατον θέαν, ἣν οὔτε ἀκοῦσαι θέμις οὔτε νοῆσαι."

(32.) Καὶ οἱ μὲν τοιαῦτα ὠλοφύροντο. πυθόμενοι δὲ οἱ κατὰ 225
τὴν ἱερόπολιν καὶ τὴν ἄλλην χώραν τὸ κινούμενον, ὥσπερ ἀφ' ἑνὸς συνθήματος συνταξάμενοι, τοῦ κοινοῦ πάθους τὸ σύνθημα δόντος, ἐξεληλύθεσαν ἀθρόοι καὶ κενὰς τὰς πόλεις καὶ κώμας καὶ οἰκίας ἀπολιπόντες μιᾷ ῥύμῃ συνέτεινον εἰς Φοινίκην· ἐκεῖ γὰρ ὢν ἐτύγχανεν ὁ Πετρώνιος. ἰδόντες δὲ τῶν Πετρωνίου τινὲς ὄχλον ἀμύθητον φερόμενον ἐβοηδρόμουν 226
ἀπαγγέλλοντες, ἵνα φυλάττηται, πόλεμον προσδοκήσαντες. ἔτι δὲ διηγουμένων, ὁ μὲν ἀφροούρητος ἦν, ἡ δὲ τῶν Ἰουδαίων πληθὺς ἐξαπιναίως ὥσπερ νέφος ἐπιστᾶσα πᾶσαν Φοινίκην ἐπέσχε, καταπληξιν τοῖς οὐκ εἰδόσι τὴν τοῦ ἔθνους πολυανθρωπίαν ἐργασαμένη. καὶ βοὴ μὲν τοσαύτη 227
τὸ πρῶτον ἤρθη μετὰ κλαυθμῶν καὶ στερνοτυπιῶν, ὡς ἂν μηδὲ τὰς ἀκοὰς τῶν παρόντων χωρεῖν τὸ μέγεθος· οὐδὲ γὰρ ἐπαύσατο παυσαμένων, ἀλλ' ἡσυχασάντων ἔτι συνήχει. ἔπειτα πρόσοδοι καὶ δεήσεις, οἵας ὁ καιρὸς ὑπέβαλλε· διδάσκαλοι γὰρ τοῦ παρόντος αὐταὶ αἱ συμφοραί. εἰς τάξεις δὲ ἓξ διενεμήθησαν, πρεσβυτῶν, νέων, παίδων, πάλιν ἐν μέρει πρεσβυτίδων, γυναικῶν τῶν ἐν ἡλικίᾳ, παρθένων. ἐπεὶ δὲ ὁ 228

---

2 Ἰουδαίων] ἱερέων (sic) A 3 καὶ CGO: om. ceteri συμβουλευσον (sic) C 4 γὰρ om. A 6 καταστορέσουσιν L (Mang.) 7. 8 ἀναδιδάξαι Wendl.: ἀναδιδάξειν codd. (v) 8 διημάρτανεν C 9 φησιν ML ἀήθους Mang.: ἀληθοῦς codd. (v) 10 καταπαγῆναι Cohn: καταπλαγῆναι codd. (v); καταπεπηγέναι coni. Mang. 12 τοιαῦτ' A πολλαῖς ἠνέγκαμεν G εὐγήρω CGO: εὐγήρων ceteri (v) 13 εὐτυχεῖς] ἀτυχεῖς A ἴδε G 15 ἐποδύνου G 16 pr. οὔτ' A 17 τοιαῦτ' A 18 ἱεράπολιν OA 19. 20 ἐξεληλύθεισαν (-ησαν G) codd. (v) 20 καὶ κώμας om. H 21 συνέτειναν GM 25 τοῖς om. O 26 εἰδόσιν L 27 τὸ C: om. ceteri 28 οὐδὲ] οὐ M 30 παρόντος suspectum; πρέποντος coni. Mang. αὗται A

Πετρώνιος ἐξ ἀπόπτου κατεφάνη, πᾶσαι αἱ τάξεις καθάπερ | κελευσθεῖσαι p. 580 M.
προσπίπτουσιν εἰς ἔδαφος ὁλολυγὴν θρηνώδη τινὰ μεθ' ἱκετηριῶν ἀφιεῖσαι. παραινέσαντος δὲ ἀνίστασθαι καὶ προσελθεῖν ἐγγυτέρω, μόλις ἀνίσταντο καὶ καταχεάμενοι πολλὴν κόνιν καὶ ῥεόμενοι δακρύοις, τὰς χεῖρας ἀμφοτέρας εἰς τοὐπίσω περιαγαγόντες τρόπον ἐξηγκωνισμένων, προσῄεσαν.
229 εἶτα ἡ γερουσία καταστᾶσα τοιάδε ἔλεξεν· „ἄοπλοι μέν ⟨ἐσμεν⟩, ὡς ὁρᾷς, παραγενομένους δὲ αἰτιῶνταί τινες ὡς πολεμίους. ἃ δὲ ἡ φύσις ἑκάστῳ προσένειμεν ἀμυντήρια μέρη, χεῖρας, ἀπεστρόφαμεν, ἔνθα μηδὲν ἐργάσασθαι δύνανται, παρέχοντες αὑτῶν τὰ σώματα πρὸς εὐσκόπους τοῖς
230 θέλουσιν ἀποκτεῖναι βολάς. γυναῖκας καὶ τέκνα καὶ γενεὰς ἐπηγαγόμεθά σοι καὶ διὰ σοῦ προσεπέσομεν Γαΐῳ μηδένα οἴκοι καταλιπόντες, ἵνα ἢ περισώσητε πάντας ἢ πάντας πανωλεθρίᾳ διαφθείρητε. Πετρώνιε, καὶ τὰς φύσεις ἐσμὲν εἰρηνικοὶ καὶ τὴν προαίρεσιν, καὶ αἱ διὰ παιδοτροφίαν
231 φιλεργίαι τοῦτο ἡμᾶς ἐξ ἀρχῆς ἐπαίδευσαν τὸ ἐπιτήδευμα. Γαΐῳ παραλαβόντι τὴν ἡγεμονίαν πρῶτοι τῶν κατὰ Συρίαν ἁπάντων ἡμεῖς συνήσθημεν, Οὐιτελλίου τότε, παρ' οὗ διεδέξω τὴν ἐπιτροπήν, ἐν τῇ πόλει διατρίβοντος, ᾧ τὰ περὶ τούτων ἐκομίσθη γράμματα, καὶ ἀπὸ τῆς ἡμε-
232 τέρας πόλεως εὐαγγελιουμένη πρὸς τὰς ἄλλας ἔδραμεν ἡ φήμη. πρῶτον τὸ ἡμέτερον ἱερὸν ἐδέξατο τὰς ὑπὲρ τῆς ἀρχῆς Γαΐου θυσίας, ἵνα πρῶτον ἢ καὶ μόνον ἀφαιρεθῇ τῆς θρησκείας τὸ πάτριον; ἐξιστάμεθα τῶν πόλεων, παραχωροῦμεν τῶν οἰκιῶν καὶ κτημάτων, ἐπιπλα καὶ χρήματα καὶ κειμήλια καὶ τὴν ἄλλην ἅπασαν λείαν εἰσοίσομεν ἑκόντες· λαμβάνειν, οὐ διδόναι, ταῦτα νομιοῦμεν. ἓν ἀντὶ πάντων αἰτούμεθα, μηδὲν ἐν τῷ ἱερῷ γενέσθαι νεώτερον, ἀλλὰ φυλαχθῆναι τοιοῦτον, οἷον παρὰ τῶν
233 πάππων καὶ προγόνων παρελάβομεν. εἰ δὲ μὴ πείθομεν, παραδίδομεν ἑαυτοὺς εἰς ἀπώλειαν, ἵνα μὴ ζῶντες ἐπίδωμεν θανάτου χεῖρον κακόν. πυνθανόμεθα πεζὰς καὶ ἱππικὰς δυνάμεις εὐτρεπίσθαι

---

1 κελευθεῖσαι G 2 προπίπτουσιν G, πίπτουσιν A τοὔδαφος A 3 ἐγγύτερον H 4 καταχεόμενοι AH (Mang.) 5 περιαγαγόντες om. A ἐξηγκονισμένων H 6 εἶθ' A τοιάδ' A μέν ⟨ἐσμεν⟩ scripsi: μέν codd.; ἐσμεν v 7 παραγινομένους A 8 ἀποστρόφαμεν G, ἀπεστρώφαμεν M, ἀπεστράφημεν A μηδὲ H^1, corr. H^2 9 αὐτῶν A: αὐτῶν ceteri (v) 10 βολάς CAH^2L (Mang.): βουλάς GMH^1 (Turn.), υ eras. O γενεὰς] συγγενείας coni. Mang. 11 προσεπέσομεν Cohn: προσπεσούμεθα codd. (v) 12 περισώσηται CO ἢ om. H^1, add. H^2, ἡ M πάντας om. H διαφθείρηται CGO 15 πρώτω G 16 οὐϊτελίου O, ἰουτελίου A 17. 18 ἡμετέρας om. A 18 πρὸς τὰς ἄλλας ἔδραμεν ἡ φήμη CGO: ἔδραμεν ἡ φ. πρὸς τὰς ἄλλας ceteri πρῶτον] πρότερον O 19 ἱερὸν om H^1, ss. H^2 20 θρησκείας CGO: θυσίας ceteri 21 οἰκειῶν A χρήματα Mang.: κτήματα codd. (v); καὶ κτήματα seclusit Dahl 22 λείαν] χρείαν coni. Matthaei εἰσοίσωμεν CG 23 ἑνὸς L μηδὲ H^1, corr. H^2 24 περὶ M 25 προγόνων] προπάππων A πείθωμεν C, πείθοιμεν A 25. 26 παραδίδωμεν C, παραδιδόαμεν A (Mang.) 26 αὐτοὺς A μὴ ζῶντες] μείζοντες G θάνατον G, θανάτων A 27 χείρω κακά A καὶ ἱππικὰς δυνάμεις CG: δ. καὶ ἱππικὰς ceteri εὐτρεπεῖσθαι G, ηὐτρεπίσθαι C (v), ηὐ corr. ex εὐ H^2

καθ' ἡμῶν, εἰ πρὸς τὴν ἀνάθεσιν ἀντιβαίημεν. οὐδεὶς οὕτως μέμηνεν,
ὡς δοῦλος ὢν ἐναντιοῦσθαι δεσπότῃ· παρέχομεν ἐν ἑτοίμῳ τὰς σφαγὰς
ἄσμενοι, κτεινέτωσαν, ἱερευέτωσαν, κρεανομείτωσαν ἀμαχεὶ καὶ ἀναιμωτί,
πάντα ὅσα κεκρατηκότων ἔργα δράτωσαν. τίς δὲ χρεία στρατιᾶς; αὐτοὶ 234
p. 581 M. κατάρξομεν | τῶν θυμάτων οἱ καλοὶ ἱερεῖς, παραστησόμενοι τῷ ἱερῷ
6 γυναῖκας οἱ γυναικοκτόνοι, ἀδελφοὺς καὶ ἀδελφὰς οἱ ἀδελφοκτόνοι, κούρους
καὶ κόρας, τὴν ἄκακον ἡλικίαν, οἱ παιδοφόνται· τραγικῶν γὰρ ὀνομάτων
δεῖ τοῖς τὰς τραγικὰς συμφορὰς ὑπομένουσιν. εἶτ' ἐν μέσοις στάντες 235
καὶ λουσάμενοι τῷ συγγενικῷ αἵματι — τοιαῦτα γὰρ τὰ λουτρὰ τοῖς εἰς
10 ᾅδου φαιδρυνομένοις — ἀνακερασόμεθα τὸ ἴδιον ἐπικατασφάξαντες αὐτούς.
ἀποθανόντων τὸ ἐπίταγμα γενέσθω· μέμψαιτ' ἂν οὐδὲ θεὸς ἡμᾶς ἀμφο- 236
τέρων στοχαζομένους, καὶ τῆς πρὸς τὸν αὐτοκράτορα εὐλαβείας καὶ τῆς
πρὸς τοὺς καθωσιωμένους νόμους ἀποδοχῆς· γενήσεται δὲ τοῦτο, ἐὰν
ὑπεκστῶμεν ἀβιώτου βίου καταφρονήσαντες. ἀκοὴν ἐδεξάμεθα παλαι- 237
15 τάτην ὑπὸ τῶν κατὰ τὴν Ἑλλάδα λογίων παραδοθεῖσαν, οἳ τὴν τῆς
Γοργόνος κεφαλὴν τοσαύτην ἔχειν δύναμιν ὡμολόγουν, ὥστε τοὺς προσι-
δόντας εὐθὺς λίθους καὶ πέτρους γίνεσθαι. τοῦτο μύθου μὲν πλάσμα
ἔοικεν εἶναι, τὸ δ' ἀληθὲς αἱ μεγάλαι καὶ ἀβούλητοι καὶ ἀνήκεστοι
συντυχίαι ἐπιφέρουσιν. ὀργαὶ δεσπότου θάνατον ἀπεργάζονται ἢ παρα-
20 πλήσιόν τι θανάτῳ. νομίζεις, ὃ μήποτε γένοιτο, παραπεμπόμενον εἰ 238
θεάσαιντό τινες τῶν ἡμετέρων εἰς τὸ ἱερὸν τὸν ἀνδριάντα, οὐκ ἂν εἰς
πέτρους μεταβαλεῖν, παγέντων μὲν αὐτοῖς τῶν ἄρθρων, παγέντων δὲ τῶν
ὀφθαλμῶν, ὡς μηδὲ κινηθῆναι δύνασθαι, ὅλου δὲ τοῦ σώματος τὰς

---

1 ἀντιβαίημεν CGO: ἀντιβαίνοιμεν ceteri οὕτως AD: οὕτω ceteri (v) 2 σφαγὰς] φυγὰς M
3 κρεωνομείτωσαν Turn. ἀμαχεὶ G, ἀμάχως A ἀναιμοτί ML 4 στρατιᾶς
CGOAH²L: στρατείας H¹, ει corr. ex ι M 5 κατάρξωμεν H ἱεροῖς O παραστη-
σόμενοι CG: παραστησάμενοι MAH, παραστησόμεθα O 6 ἀδελφοὺς — ἀδελφοκτόνοι om. A
7 γὰρ CGO: om. ceteri (v) 8 τὰς om. A εἶτα CO 9 γὰρ om. O
10 ἅδου C, ἀιδίου G ἀποκατασφάξαντες GO αὐτούς AH: αὐτοὺς CGO, ἑαυτούς M
11 γενέσθω CGA: γινέσθωOMH (v) μέμψαιτο C, πέμψαιτ' G οὐδὲ θεὸς] οὐδεὶς
coni. Mang. 13 καθοσιωμένους G 14 ἀναβιώτου G 14. 15 παλαιτάτην
CGOH: πάλαι ταύτην MA; παλαιοτάτην L (v) 15 οἳ τὴν] ἢ G 16 ὡμολόγουν]
ἐμυθολόγουν coni. Mang. 17 πέτρας A, O (sed corr.) τοῦτο bis posuit C
τοῦτο μὲν μύθου μὲν (sic) M 18 δὲ CO ἀλληθὲς M μεγάλοι M
ἀνήκεστοι Mang.: μέγιστοι CGO, μέγισται AH (v), μέγισται (α ex o) M; καὶ μέγισται seclusit
Dahl 19 ἐπιφέρουσιν] ἐπιμαρτυροῦσιν coni. Mang. 20 νομίζῃς C 21 θεά-
σαιντό GOMH: θεασωιντό (sic) C, θεάσονταί A 22 πέτρους Cohn: πέτρον codd. (v)
μὲν L αὐτῆς H¹, corr. H² αὐτοῖς — παγέντων δὲ om. L (Turn.)
23 δὲ MAH¹: δὴ H²L, om. CGO τὰς om. H¹, add. H²

---

1. 2 D^{C} fol. 50^{v} D^{K} fol. 183^{v} D^{R} fol. 60^{v} Φίλωνος ἐκ τῆς πρὸς Γάϊον πρεσβείας fol. 160^{r} Φίλωνος D^{M} fol. 138^{v} D^{P} fol. 140 D^{V} p. 448 Anton. Mel. II 24 Col. 1068 Φίλωνος: οὐδεὶς — δεσπότῃ.

φυσικὰς κινήσεις μεταβαλόντος καθ' ἕκαστον τῶν ἐν τῇ κοινωνίᾳ μερῶν
239αὐτοῦ; τελευταίαν δέησιν, ὦ Πετρώνιε, ποιησόμεθα δικαιοτάτην· οὔ φαμεν μὴ δεῖν τὰ κελευσθέντα δρᾶν, ἀλλ' ἀναχώρησιν αἰτούμεθα προσικετεύοντες, ἵνα πρεσβείαν ἑλόμενοι πέμψωμεν τὴν ἐντευξομένην τῷ δεσπότῃ.
240τάχα που πρεσβευσάμενοι πείσομεν, ἢ περὶ θεοῦ τιμῆς πως διεξελθόντες ἢ περὶ νομίμων ἀκαθαιρέτων φυλακῆς ἢ περὶ τοῦ μὴ πάντων καὶ τῶν ἐν ἐσχατιαῖς ἐθνῶν, οἷς τετήρηται τὰ πάτρια, ἔλαττον ἐνέγκασθαι ἢ περὶ ὧν ὁ πάππος αὐτοῦ καὶ πρόπαππος ἔγνωσαν ἐπισφραγιζόμενοι τὰ
241ἡμέτερα ἔθη μετὰ πάσης ἐπιμελείας. ἴσως ταῦτα ἀκούων ἔσται μαλακώτερος· οὐκ ἐν ὁμοίῳ μένουσιν αἱ γνῶμαι τῶν μεγάλων, αἱ δὲ σὺν ὀργῇ καὶ τάχιστα κάμνουσι. διαβεβλήμεθα, τὰς διαβολὰς ἐπίτρεψον
242ἰάσασθαι· ἀκρίτους καταγνωσθῆναι χαλεπόν. ἐὰν δὲ μὴ πείσωμεν, τί λοιπὸν ἐμποδών ἐστιν [ἢ] ταῦτα ἃ καὶ | νῦν διανοῇ πράττειν; ἕως οὐ p. 582 M.
πεπρεσβεύμεθα, μὴ ἀποκόψῃς τὰς ἀμείνους ἐλπίδας μυριάδων τοσούτων, αἷς οὐχ ὑπὲρ κέρδους ἀλλ' ὑπὲρ εὐσεβείας ἐστὶν ἡ σπουδή. καίτοι γε
ἡμάρτομεν τοῦτο εἰπόντες· τί γὰρ ἂν εἴη κέρδος λυσιτελέστερον ὁσιότητος ἀνθρώποις;"
243 (33.) Ταῦτα δὲ διεξῄεσαν ὑπ' ἀγωνίας καὶ περιπαθήσεως ἄσθματι πολλῷ, κεκομμένῳ τῷ πνεύματι, ῥεόμενοι κατὰ τῶν μελῶν ἁπάντων ἱδρῶτι, μετὰ φορᾶς ἀπαύστων δακρύων, ὡς ἤδη συναλγεῖν τοὺς ἀκούοντας καὶ
τὸν Πετρώνιον — ἦν γὰρ καὶ τὴν φύσιν εὐμενὴς καὶ ἥμερος — ὑπὸ τῶν λεχθέντων καὶ ὁρωμένων συνηρπάσθαι· ἐδόκει γὰρ αὐτῷ καὶ τὰ λεγόμενα εἶναι δικαιότατα καὶ οἰκτρά τις ἡ τῶν ὁρωμένων περιπάθησις.
244ἐπεξαναστὰς δὲ μετὰ τῶν συνέδρων ἐβουλεύετο τὰ πρακτέα καὶ ἑώρα τοὺς μὲν πρὸ μικροῦ παντάπασιν ἐναντιουμένους ἐπαμφοτερίζοντας, τοὺς δὲ ἐνδοιαστὰς ἐπιρρέποντας ἤδη τῷ πλείονι μέρει πρὸς ἔλεον· ἐφ' οἷς

---

1 φυσικαὶ H^1, corr. H^2 μεταβαλλόντος L μερῶν AH^2: τῶν μερῶν CGOH^1, τῶν ἡμερῶν M 2 ποιησόμεθα CGOMAH: ποιησώμεθα L (v) δικαιοτάτην CA: δικαιότατον GOMH 3 κελευθέντα G ἀλλὰ GO ἀναχώσειν (sic) C, ἀναχωρήσειν G 4. 5 ἵνα — που om. H^1, in marg. add. H^2 4 ἑλόμενοι] ε μενοι (inter ε et μ spatium 4—5 litt.) M 5 που πρεσβευσάμενοι] παραπρεσβευσάμενοι M πρεσβευσάμενοι H^1, πρεσβευόμενοι H^2, πρεσβευσόμενοι L πῶς CG 6 τοῦ] τὰ G 8 ὁ om. Turn. 9 ταῦτ' A 10 γνῶμαι] ψυχαὶ A 11 κάμνουσιν C 12 ἀκρίτως AD ἐὰν CGO: ἂν ceteri (v) πείσωμεν] ποιήσωμεν Turn. 13 ἐμποδὼν G ἢ seclusi οὐ] οὖ GOA 14 πρεσβεύμεθα A 18 δὲ om. A διεξίεσαν O περιποθήσεως Turn. ἄσθαματι (sic) M 19 κεκομμένῳ GA (Mang.): κεκομμένοι COMH (Turn.) τὸ πνεῦμα C γὰρ ante κατὰ add. H (v) τῶν om. Turn. 21 ἦν C: ἔστι ceteri (v) 22 συνηρπάσθη M 24 δὲ CGO: οὖν A, om. MH 26 δὲ CGO: δ' MAH (v) ἐνδοιαστὰς] ἐνδικαστὰς L; ἐν δικασταῖς Turn. ἐπιρρέποντας] ἐπηρεάζοντας A

---

12 DK fol. 158^v Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβείας: ἀκρίτως καὶ καταγνωσθῆναι χαλεπόν.

ἥδετο, καίτοι τὴν φύσιν εἰδὼς τοῦ προεστῶτος καὶ ὡς ἔστιν ἀπαραίτητος ὀργήν. ἀλλ' εἶχέ τινα καὶ αὐτός, ὡς ἔοικεν, ἐναύσματα τῆς Ἰουδαϊκῆς245 φιλοσοφίας ἅμα καὶ εὐσεβείας, εἴτε καὶ πάλαι προμαθὼν ἕνεκα τῆς περὶ παιδείαν σπουδῆς εἴτε καὶ ἀφ' οὗ τῶν χώρων ἐπετρόπευσεν, ἐν οἷς Ἰουδαῖοι καθ' ἑκάστην πόλιν εἰσὶ παμπληθεῖς, Ἀσίας τε καὶ Συρίας, εἴτε καὶ τὴν ψυχὴν οὕτω διατεθεὶς αὐτηκόῳ καὶ αὐτοκελεύστῳ καὶ αὐτομαθεῖ τινι πρὸς τὰ σπουδῆς ἄξια φύσει. τοῖς δὲ ἀγαθοῖς ἀγαθὰς ὑπηχεῖ ἔοικε γνώμας ὁ θεός, δι' ὧν ὠφελοῦντες ὠφεληθήσονται· ὅπερ κἀκείνῳ συνέβη. τίνες οὖν ἦσαν αἱ γνῶμαι; μὴ κατεπείγειν τοὺς δημιουργούς,246 ἀλλ' ἀναπείθειν εὖ τετεχνιτευμένον ἀπεργάσασθαι τὸν ἀνδριάντα, στοχαζομένους καθ' ὅσον ἂν οἷόν τε ᾖ μὴ ἀπολειφθῆναι τῶν διωνομασμένων ἀρχετύπων εἰς πλείονος χρόνου μῆκος, ἐπειδὴ τὰ μὲν αὐτοσχέδια φιλεῖ πως ἐπιτέμνεσθαι, τὰ δὲ σὺν πόνῳ καὶ ἐπιστήμῃ μῆκος χρόνων ἐπιζητεῖν. ἣν ᾐτήσαντο πρεσβείαν, οὐκ ἐπιτρέπειν· ἀσφαλὲς γὰρ οὐκ εἶναι.247 τοῖς βουλομένοις ἐπὶ τὸν πάντων ἡγεμόνα καὶ δεσπότην ἐκκαλεῖσθαι τὰ πράγματα μὴ ἐναντιοῦσθαι. τῷ πλήθει μήτε ὁμολογεῖν μήτε ἀρνεῖσθαι·
p. 583 M. ἑκάτερον γὰρ φέρειν κίνδυνον. ἐπιστέλλειν | Γαΐῳ μηδὲν μὲν τῶν Ἰουδαίων248 κατηγοροῦντα, μὴ δηλοῦντα δὲ ἐπ' ἀληθείας τὰς ἱκετείας καὶ ἀντιβολίας αὐτῶν, καὶ τῆς περὶ τὴν ἀνάθεσιν βραδυτῆτος αἰτιᾶσθαι τὸ μέν τι τὴν κατασκευὴν χρόνου μεμετρημένου δεομένην, τὸ δέ τι καὶ τὸν καιρὸν διδόντα μεγάλας ἀφορμὰς εἰς ἀναβολὴν εὐλόγους, αἷς συναινέσειν οὐκ ἴσως ἀλλ' ἀναγκαίως καὶ αὐτὸν Γάιον. ἐν ἀκμῇ μὲν γὰρ τὸν τοῦ σίτου249 καρπὸν εἶναι καὶ τῶν ἄλλων ὅσα σπαρτά, δεδιέναι δὲ μὴ κατ' ἀπόγνωσιν

---

1 ἔστιν CGO: εἴη ceteri (v) ἀπαραίτητον H^1, corr. H^2 2 ὀργή G, εἰς ὀργήν A ὡς ἔοικεν om. A ἔναυσμα O, ἐνάσματά A, ἐναύσματι L (Turn.) 3 πάλιν GO 4 τῶν corr. ex τὸν M χώρων GOAH^1, alt. ω corr. (ex ο?) M: χωρῶν CH^2L (v) ἐπετρόπευεν O 7 τὰ] τὰς G δ' A 7. 8 ἔοικεν ὑπηχεῖν transp. A 8 ὠφεληθήσονται CGOAH^2L: ὠφελήσονται MH^1 9 τίνες οὖν H^2L: τινὲς ὧν CGO, τινῶν MAH^1 10 τετευχνητεμένον C, τεχνιτευμένον H 11 ἄν CO: ἐάν ceteri (Turn.) τ' A 13 συντέμνεσθαι A συμπόνῳ GO 14 ἣν CGOMH^1: ἣν δ' AH^2L (v) ἐπιτρέπει CGO 15 τοῖς] τοῖς δὲ A 16 pr. μήτε] μήθ' A alt. μήτε] μήτ' A 17 ἑκάτερα H φέρειν CO: φέρει GMAH μηδὲ Turn. 18 κατηγοροῦνται M δὲ CGO: δ' ceteri ἀληθείας GOA (cf. 166,26): ἀληθεία CMH (v) 18. 19 καὶ ἀντιβολίας αὐτῶν CGO: αὐτῶν καὶ ἀντιβολίας ceteri 20 μεμετρημένου corr. ex μεμετρημένην M 21 ἀναβολὰς H (Mang.) 21. 22 οὐκ ἴσως] οὐχ ἑκουσίως coni. Mang. (Dahl) 23 κατ'] κατὰ codd. (v) ἀπόγνωσιν Turn. (v): πρόγνωσιν codd.

---

7. 8 D^{R} fol. 200^{v} Anton. Mel. II 31 Col. 1077 Φίλωνος: τοῖς ἀγαθοῖς ἀγαθὰς ὑπέχειν ἔοικε γνώμας (γνώμας ἔοικεν Anton.) ὁ θεός — ὠφεληθήσονται. 14—16 D^{C} fol. 50^{v} D^{R} fol. 60^{v} (post locum ad p. 199,1. 2 adlatum) et fol. 114^{r} ἐκ τῆς αὐτῆς (cf. Harris p. 109): οὐκ ἀσφαλὲς τοῖς βουλομένοις ἐπὶ τὸν πάντων ἡγεμόνα καὶ δεσπότην θεὸν ἐκκαλεῖσθαι τὰ πράγματα.

τῶν πατρίων ἄνθρωποι καὶ τοῦ ζῆν καταφρονοῦντες ἢ δῃώσωσι τὰς
ἀρούρας ἢ ἐμπρήσωσι τὴν σταχυηφόρον ὀρεινὴν καὶ πεδιάδα, φυλακῆς
δὲ χρῄζειν εἰς ἐπιμελεστέραν τῶν καρπῶν συγκομιδήν, οὐ μόνον τῶν
250σπειρομένων ἀλλὰ καὶ ὧν ἡ δενδροφόρος παρέχει. διεγνώκει μὲν γάρ,
ὡς λόγος, πλεῖν εἰς Ἀλεξάνδρειαν τὴν πρὸς Αἰγύπτῳ, πελάγει δὲ οὐκ
ἀξιώσει τοσοῦτος ἡγεμὼν διά τε τοὺς κινδύνους καὶ διὰ τὸ πλῆθος τοῦ
παραπέμποντος στόλου καὶ ἅμα διὰ τὴν ἐπιμέλειαν τοῦ σώματος, ἃ δὴ
251πάντα γίνεται ῥᾳδίως τὸν δι' Ἀσίας καὶ Συρίας κύκλον περαιουμένῳ· δυ-
νήσεται γὰρ καθ' ἑκάστην ἡμέραν καὶ πλεῖν καὶ ἀποβαίνειν, καὶ μάλιστα
τὰς πλείστας ναῦς ἐπαγόμενος μακράς, ἀλλ' οὐχ ὁλκάδας, αἷς ὁ παρὰ
252γῆν πλοῦς ἀνυσιμώτερος, ὡς ταῖς φορτίσι διὰ πελάγους ἐστίν. ἀναγκαῖον
οὖν καὶ χιλὸν κτήνεσι καὶ τροφὰς ἀφθόνους ἐν ἁπάσαις ταῖς Συριακαῖς
πόλεσιν εὐτρεπίσθαι, καὶ μάλιστα ταῖς παράλοις. ἀφίξεται γὰρ παμπληθὴς
ὄχλος καὶ διὰ γῆς καὶ διὰ θαλάττης, οὐ μόνον ἀπ' αὐτῆς Ῥώμης καὶ
Ἰταλίας ἀναστάς, ἀλλὰ καὶ ἀπὸ τῶν ἑξῆς ἄχρι Συρίας ἐπικρατειῶν
ἐπηκολουθηκώς, ὁ μὲν τῶν ἐν τέλει, ὁ δὲ στρατιωτικός, ἱππέων, πεζῶν,
τῶν ἐν ταῖς ναυσίν, ὁ δὲ οἰκετικὸς οὐκ ἀποδέων τοῦ στρατιωτικοῦ.
253δεῖ δὲ χορηγιῶν οὐ πρὸς τὰ ἀναγκαῖα συμμεμετρημένων αὐτὸ μόνον,
ἀλλὰ καὶ πρὸς περιττὴν δαψίλειαν, ἣν ἐπιζητεῖ Γάιος. τούτοις ἐὰν ἐντύχῃ
τοῖς γράμμασιν, ἴσως πρὸς τῷ μὴ δυσχεραῖναι καὶ τῆς προνοίας ἡμᾶς
ἀποδέξεται ὡς ποιησαμένους τὴν ὑπέρθεσιν, οὐ χάριτι τῇ τῶν Ἰουδαίων,
ἀλλ' ἕνεκα τῆς τῶν καρπῶν συγκομιδῆς.

254 (34.) Ἀποδεξαμένων δὲ τὴν ἐπίνοιαν τῶν συνέδρων, κελεύει γράφεσθαι
τὰς ἐπιστολὰς καὶ ἐχειροτόνει τοὺς διακομιοῦντας ἄνδρας εὐζώνους,
ἐθάδας δὲ καὶ τῶν κατὰ τὰς ὁδοιπορίας ἐπιτομῶν. καὶ οἱ μὲν ἥκοντες
ἀνέδοσαν τὰς ἐπιστολάς, ὁ δ' ἔτι μὲν ἀναγινώσκων διῴδει | καὶ μεστὸς p. 584 M.
255ἦν ὀργῆς ἐφ' ἑκάστῳ σημειούμενος· ὡς δὲ ἐπαύσατο, συνεκρότει τὰς
χεῖρας „εὖ, Πετρώνιε", φάσκων „οὐκ ἔμαθες ἀκούειν αὐτοκράτορος· αἱ
ἐπάλληλοί σε ἀρχαὶ πεφυσήκασιν· ἄχρι τοῦ παρόντος οὐδὲ ἀκοῇ γνωρίζειν

---

1 πατέρων M δῃώσουσι C (Turn.) 2 ἐμπρήσουσι C (Turn.) σταχυφόρον H
3 μόνων L 4 διεγνώκει μὲν Matthaei: διεγνώκαμεν codd.; διέγνωκε μὲν v
5 σε ante εἰς add. A πελάγῃ Turn. δ' A 6 ἀξιώσει (corr. ex ἀξιοσ
εἰσ) C: ἄξιος εἰς GO, ἀξιώσεις MAH alt. διὰ CGO: om. ceteri 8 ῥᾳδίως AH¹:
ῥᾴως CGOMH²L (v) τὸν ante κύκλον transp. O διὰ GO περαιουμένων M
10 ὁλκάδας M παρὰ CGOH: περὶ MA 10. 11 παρὰ γῆν] παραγκῶ (sic) G
11 φορτίσιν GO 12 κτήνεσιν L (Mang.) 13 ηὐτρεπίσθαι v γὰρ] δὲ O
14 alt. διὰ om. MH θαλάσσης G ἀπ' αὐτῆς] ἀπὸ τῆς G 15 ἑξῆς] ἑξαρχῆς M
16 δὲ] δὲ καὶ Turn. 17 ὁ δὲ CGO (Mang.): ὁ δ' AH, ὃδ' M; ὁ καὶ Turn.
οἰκητικὸς M 18 αὐτὸ Mang.: αὐτῷ codd. (Turn.) μόνον om. A
19 δαψιλίαν G τοιούτοις G 20 γράμμασι O τῷ CAH: τὸ GOM
μὴ om. G 21 ὑπόθεσιν H τῇ om. C (v), τῆς GO 23 ἀποδεξαμένων CGO:
ἀποδεξάμενος ceteri 26 δ' M διώκει G 27 δὲ CGO: δ' ceteri
28 αἱ CGO: om. ceteri 29 ἐπάλληλόν M σε] τε M οὐδὲ CGO: οὐδ' ceteri

μοι δοκεῖς Γάιον, οὐκ εἰς μακρὰν αὐτοῦ πεῖραν ἕξεις. μέλει μὲν γάρ 256
σοι τῶν Ἰουδαϊκῶν νομίμων, ἐχθίστου μοι ἔθνους, ἀλογεῖς δὲ τῶν ἄρ-
χοντος ἡγεμονικῶν προστάξεων. ἐφοβήθης τὸ πλῆθος· εἶτα οὐ παρῆσαν
αἱ στρατιωτικαὶ δυνάμεις, ἃς δέδιεν ἔθνη τὰ ἑῷα καὶ ἡγεμόνες αὐτῶν
Παρθυαῖοι; ἀλλ' ἠλέησας· εἶτα οἴκτῳ μᾶλλον ἐνέδωκας ἢ Γαΐῳ; προφα- 257
σίζου νῦν ἄμητον, τὸν ἀπροφάσιστον οὐκ εἰς μακρὰν ἐνδεξόμενος αὐτὸς
τῇ κεφαλῇ· συγκομιδὴν αἰτιῶ καρπῶν καὶ τὰς εἰς τὴν ἡμετέραν ἄφιξιν
παρασκευάς· εἰ γὰρ ἀφορία παντελὴς ἐπέσχε τὴν Ἰουδαίαν, οὐκ ἦσαν
αἱ πλησιόχωροι τοσαῦται καὶ οὕτως εὐδαίμονες ἱκαναὶ χορηγεῖν τὰ ἐπι-
τήδεια καὶ τὴν μιᾶς ἔνδειαν ἀναπληρῶσαι; ἀλλὰ τί προανίσταμαι τῶν 258
χειρῶν; τί δέ μου τῆς γνώμης προαισθάνονταί τινες; ὁ μέλλων τὰ
ἐπίχειρα καρποῦσθαι γινωσκέτω πρῶτος ἐξ ὧν ἂν πάθῃ. παύομαι λέγων,
φρονῶν δὲ οὐ παύσομαι." καὶ μικρὸν ὅσον ἐπισχών τινι τῶν πρὸς ταῖς 259
ἐπιστολαῖς ὑπέβαλε τὰς πρὸς Πετρώνιον ἀποκρίσεις, ἐπαινῶν αὐτὸν ὅσα
τῷ δοκεῖν εἰς τὸ προμηθὲς καὶ τὴν τοῦ μέλλοντος ἀκριβῆ περίσκεψιν·
σφόδρα γὰρ τοὺς ἐν ἡγεμονίαις εὐλαβεῖτο τὰς πρὸς νεωτεροποιίαν ἀφορμὰς
ὁρῶν ἔχοντας ἐν ἑτοίμῳ, καὶ μάλιστα τοὺς ἐν ταῖς μεγάλαις καὶ μεγάλοις
ἐπιτάττοντας στρατοπέδοις, ἡλίκα τὰ πρὸς Εὐφράτῃ κατὰ Συρίαν ἐστίν.
θεραπεύων οὖν τοῖς ὀνόμασι καὶ γράμμασιν ἄχρι καιροῦ τὸ ἔγκοτον 260
ἐπεσκίαζε βαρύμηνις ὤν. εἶτα ἐπὶ πᾶσι γράφει κελεύων μηδενὸς οὕτω
φροντίζειν ἢ τοῦ θᾶττον ἀνατεθῆναι τὸν ἀνδριάντα· καὶ γὰρ ἤδη τὰ θέρη,
τὴν εἴτε πιθανὴν εἴτε ἀληθῆ πρόφασιν, συγκεκομίσθαι δύνασθαι.

(35.) Μετ' οὐ πολὺ μέντοι παρῆν Ἀγρίππας ὁ βασιλεὺς κατὰ τὸ 261
εἰωθὸς ἀσπασόμενος Γάιον. ἤδει δὲ ἁπλῶς οὐδὲν οὔτε ὧν ἐπεστάλκει
ὁ Πετρώνιος οὔτε ὧν ὁ Γάιος ἢ πρότερον ἢ ὕστερον· ἐτεκμαίρετο μέντοι
διὰ τῆς οὐκ ἐν τάξει κινήσεως καὶ τῆς τῶν ὀμμάτων ταραχῆς ὑποτυ-
φομένην ὀργὴν καὶ ἀνεσκόπει καὶ διηρεύνα ἑαυτὸν πάντῃ καὶ πρὸς πάντα
μικρά τε αὖ καὶ μεγάλα τὸν λογισμὸν ἀποτείνων, μή τι δέδρακεν ἢ εἶπεν

---

1 μέλλει GO 2 σοι ante νομίμων transp. GO 3 ἐφοβήθη A 4 τὰ ante ἔθνη add. M ἑῶνα G 5 παρθιαῖοι L ἠλέησεν A ἔδωκας C (Turn.) 6 νῦν] τοίνυν A ἄμιτον M ἀπροφάσιστον ⟨ὄλεθρον⟩ coni. Matthaei ἐνδεξάμενος M, ἐκδεξόμενος A αὐτὸν A 8 παρασκευάσας M παντελὴς CGO: παντελῶς ceteri 10 τῆς MH ἔνδειαν] pr. ν corr. ex κ C; ἔκδειαν ν 11 προαισθάνονται Turn. (ν): προαίσθονται (προαίσθοντό G) codd. 12 πάθοι A (Mang.) 14 ὑπέβαλλε MH 15 τῷ] τὸ O παράσκεψιν M 16 ηὐλαβεῖτο A 17 ὁρῶν MAH (Mang.): ἀφαιρεῖν CGO (Turn.) 18 τὰ C: τά τε ceteri εὐφράτην H κατὰ CG: καὶ κατὰ A, καὶ ss. O, καὶ τὰ κατὰ MH ἐστὶν CH: ἐστί ceteri 19 γράμμασιν] ῥήμασιν coni. Mang. εὔκοτον GM 20 ἐπισκίαζε G εἶτ' A 21 ἀνατεθῆναι A (mavult Mang.): ἀναθεῖναι ceteri (ν) ἤδει AH 24 ἤδη M ἁπλῶς] συνόλως coni. Mang., ὅλως Cohn ἀπεστάλκει GO 25 pr. ὁ om. OA μέντοι MAH: δὲ CGO (ν) 26 pr. τῆς] τοῦ M ὀμμάτων CGOH: ὀνομάτων MA 27 πάντῃ] πάντα A 28 μή τι COAH: μήτε GM

262 ὧν οὐ χρή. ὡς δὲ συνόλως οὐδὲν εὕρισκεν, ἐτόπασεν, ὅπερ ἦν εἰκός,
ἑτέροις τισὶ πικραίνεσθαι. πάλιν δὲ ὅτε ὑποβλεπόμενον εἶδε καὶ τετα-
κότα τὰς ὄψεις πρὸς μηδένα τῶν παρόντων ἢ μόνον ἐπ' αὐτόν, ἐδεδίει
| καὶ πολλάκις ἐρέσθαι διανοηθεὶς ἐπέσχε, τοιοῦτον λαμβάνων λογισμόν· p. 585 M.
„ἴσως τὴν ἀπειλὴν πρὸς ἑτέρους οὖσαν αὐτὸς ἕλξω περιεργίας ὁμοῦ καὶ
263 προπετείας καὶ θράσους ὑπόληψιν ἐξενεγκάμενος." ἐπτοημένον δ' οὖν
καὶ ἀποροῦντα θεασάμενος αὐτὸν Γάιος — ἦν γὰρ δεινὸς ἐκ τῆς φανερᾶς
ὄψεως ἀφανὲς ἀνθρώπου βούλημα καὶ πάθος συνιδεῖν — „ἀπορεῖς",
264 εἶπεν „Ἀγρίππα; παύσω σε τῆς ἀπορίας. ἐπὶ τοσοῦτόν μοι χρόνον
συνδιατρίψας ἠγνόησας, ὅτι οὐ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τοῖς ὄμμασι
265 φθέγγομαι μᾶλλον ἢ οὐχ ἧττον ἕκαστα διασημαίνων; οἱ καλοί σου καὶ
ἀγαθοὶ πολῖται, παρ' οἷς μόνοις ἐξ ἅπαντος ἀνθρώπων γένους θεὸς οὐ
νομίζεται Γάιος, ἤδη μοι δοκοῦσι καὶ θανατᾶν ἀφηνιάζοντες· ἐμοῦ
κελεύσαντος ἐν τῷ ἱερῷ Διὸς ἀνδριάντα ἀνατεθῆναι, πανδημεὶ συνταξά-
μενοι τῆς πόλεως καὶ τῆς χώρας ὑπεξῆλθον, πρόφασιν ἱκετεύσοντες, τὸ
266 δ' ἀληθὲς ἐναντία τοῖς προστεταγμένοις ἐργασόμενοι." μέλλοντος δὲ
προσεπιφέρειν ἕτερα, ὑπ' ἀγωνίας παντοδαπὰς χρόας ἐνήλλαττεν ἐν ταὐτῷ
267 γινόμενος αἱμωπός, ὠχρός, πελιδνός. ἤδη δὲ καὶ ἀπὸ κεφαλῆς ἄκρας
ἄχρι ποδῶν φρίκη κατέσχητο, τρόμος τε καὶ σεισμὸς πάντα αὐτοῦ τὰ
μέρη καὶ τὰ μέλη συνεκύκα, χαλωμένων τε καὶ ἀνιεμένων τῶν σωμα-
τικῶν τόνων περὶ ἑαυτῷ κατέρρει καὶ τὰ τελευταῖα παρεθεὶς μικροῦ
κατέπεσεν, εἰ μὴ τῶν παρεστώτων τινὲς ὑπέλαβον αὐτόν· καὶ κελευσθέντες
φοράδην οἴκαδε κομίζουσιν οὐδενὸς συναισθανόμενον ὑπὸ κάρου τῶν
268 ἀθρόων κατασκηψάντων κακῶν. ὁ μὲν οὖν Γάιος ἔτι μᾶλλον ἐξετραχύνθη
τὸ κατὰ τοῦ ἔθνους μῖσος ἐπιτείνων· „εἰ γὰρ Ἀγρίππας" ἔφασκεν „ὁ
συνηθέστατος καὶ φίλτατος καὶ τοσαύταις ἐνδεδεμένος εὐεργεσίαις ἥττηται
τῶν ἐθῶν, ὡς μηδὲ ἀκοὴν ἀνέχεσθαι τὴν κατ' αὐτῶν, ἀλλ' ὑπ' ἐκλύσεως
μικροῦ καὶ τελευτῆσαι, τί χρὴ περὶ τῶν ἄλλων προσδοκᾶν, οἷς μηδεμία

---

1 ὡς ante ὅπερ add. M εἰκὸς ἦν transp. A 2 τισὶν L δὲ CGO: δ' ceteri
ὅτε scripsi: ὅταν codd. (v) 2. 3 τεταρακότα (sic) A 4 τὸν ante λογισμόν add. A
(Mang.) 5 περιεργασίας O, περιεργείας H 6 δ' οὖν] γοῦν A (coni. Mang.)
7 ὁ ante Γάιος add. L 8 βούλευμα coni. Mang. 10 ἐνδιατρίψας M μόνη A
ὄμμασιν L 11 καὶ om. L 12 μόνος MH 13 θάνατον G 15 χώρας
καὶ τῆς πόλεως transp. A 16 δ'] δὲ GO προτεταγμένοις M ἐργάσασθαι O,
ἐργασάμενοι M 17 ἐνήλλαττεν ⟨ὁ Ἀγρίππας⟩ coni. Dahl 18. 19 ἄκρας μέχρι]
ἄχρις coni. Jessen 19 ἄχρι H (cf. V 228, 11): μέχρι ceteri (v) 20 καὶ τὰ μέλη
om. C, μέλη καὶ τὰ μέρη transp. O συνεκύκα MAH: συνεκύκων CGO 21 τόμων M
ἑαυτῷ CGOMH (Turn.): αὐτὸν A; ἑαυτὸν Mang. παρειθεὶς C, παρειθεὶς G 23 συν-
αισθάμενον GA 24 ἀθρόων G: ἀθρόως O, ἀθρόον ceteri (v) 26 ἐνδεδεγμένος L
εὐεργεσίαις] ἐργασίαις A 27 ἐθνῶν A, alt. ν exp. L μηδὲ CGO: μηδ' ceteri
ἐνέχεσθαι ML τὴν] τῶν Turn. αὐτὸν Turn.

πρόσεστιν ὀλκὸς δύναμις εἰς τοὐναντίον;" ὁ δὲ Ἀγρίππας τὴν μὲν πρώτην 269
ἡμέραν καὶ τὸ πλεῖστον μέρος τῆς ὑστεραίας ὑπὸ κάρου πιεσθεὶς βαθέος
οὐδὲν ἐγνώριζε τῶν ὄντων, περὶ δὲ δείλην ἑσπέραν μικρὸν ὅσον τὴν
κεφαλὴν ἐπάρας καὶ βεβαρημένους τοὺς ὀφθαλμοὺς ἐπὶ βραχὺ μόλις
διοίξας ἀμαυραῖς καὶ ἀχλυώδεσι ταῖς ὄψεσι τοὺς ἐν κύκλῳ παρεθεᾶτο,
μήπω γνωρίζειν δυνάμενος ἐπ' ἀκριβὲς τὰς ἑκάστων ἰδέας. πάλιν δὲ 270
ὑπενεχθεὶς εἰς ὕπνον ἠρέμει τῆς προτέρας ὑγιεινοτέρᾳ καταστάσει χρώ-
μενος, ὡς ἐνῆν ἔκ τε τῆς ἀναπνοῆς καὶ ἐκ τῆς περὶ τὸ σῶμα σχέσεως
p. 586 M. τεκμήρασθαι. | περιαναστὰς δὲ ὕστερον ἐπυνθάνετο· „ποῦ τὰ νῦν εἰμι; 271
μήτι παρὰ Γαΐῳ; μὴ καὶ αὐτὸς πάρεστιν ὁ δεσπότης;" ἀποκριναμένων
δέ· „θάρρει, παρὰ σαυτῷ διατρίβεις, Γάιος οὐ πάρεστιν· ἱκανῶς ἠρέ- 272
μησας ⟨ὑπενεχθεὶς⟩ εἰς ὕπνον· ἀλλ' ἐπιστραφεὶς καὶ μετεωρίσας σαυτὸν
τὸν ἀγκῶνα πῆξον, γνώρισον τοὺς παρόντας· ἴδιοι πάντες εἰσί, φίλων καὶ
ἀπελευθέρων καὶ οἰκετῶν οἱ μάλιστα τιμῶντες καὶ ἀντιτιμώμενοι" — ὁ δὲ 273
— νήφειν γὰρ ἤρχετο — καθεώρα τὸ παρ' ἑκάστῳ συμπαθές· καὶ
κελευσάντων τοὺς πολλοὺς μεταστῆναι τῶν ἰατρῶν, ἵνα δι' ἀλειμμάτων
καὶ τροφῆς καιρίου τὸ σωμάτιον ἀνακτήσωνται, „πάνυ γὰρ" εἶπε „φρον- 274
τιστέον ὑμῖν ἐπιμελεστέρας τῆς εἰς ἐμὲ διαίτης; οὐ γὰρ ἐξαρκεῖ μοι τῷ
βαρυδαίμονι λιμὸν ἀκέσασθαι διὰ ψιλῆς καὶ εἰς εὐτέλειαν ἀπηκριβωμένης
τῆς τῶν ἀναγκαίων χρήσεως; οὐδ' αὐτὰ δὴ ταῦτα προσηκάμην ἄν, εἰ
μὴ ἕνεκα τελευταίας βοηθείας, ἣν ὀνειροπολεῖ μου ἡ διάνοια τῷ ταλαι-
πώρῳ ἔθνει παρασχεῖν." καὶ ὁ μὲν δεδακρυμένος καὶ ἀναγκοφαγῶν 275
δίχα προσοψήματος οὐδὲ κράματος προσενεχθέντος ἠνέσχετο, ἀλλ' ὕδατος
ἀπογευσάμενος „ἐπέχει μὲν" εἶπεν „ἡ τάλαινα γαστὴρ ὃ ἀπῄτει
δάνειον· ἐμοὶ δὲ τί προσήκει ποιεῖν ἢ δεῖσθαι Γαΐου περὶ τῶν

---

1 τἀναντίον (sic) M δὲ CGOH: δ' A, γὰρ M 2 πιεσθεὶς] βαπτισθεὶς coni. Matthaei 3 οὐδέν' coni. Mang. ἐγνώριζεν L ὄντων] συνόντων vel παρόντων coni. Mang. μικρὸν ὅσον CGOA: ὅσον μικρὸν H, μικρὸν ss. M 4 βεβαρημένους GOAH: βεβαρημένος C, βεβαρυμένος M 5 ἀχλυώδεσι CGOH: ἀχλυώδεσιν L, ἀχμώδεσι M, αὐχμώδεσι A ὄψεσιν L 6 ὁ ante μήπω add. G ἐπ'] εἰς τὸ A δὲ CGO: δ' ceteri 7 ὑπαχθεὶς A ὑγιεινοτέρα CMH: ὑγιαινοτέρα GOA (v) 9 δὲ CGO: δ' ceteri εἰμι MAH: ἦμην CGO 10 μήτι παρὰ γαΐῳ CGO: om. ceteri 11 παρὰ] περὶ M 11. 12 ἠρέμισας M 12 ὑπενεχθεὶς supplevit coll. lin. 7 (vel ἐξ ὕπνου coni.) Mang.: om. codd. (v) εἰς ὕπνον ἀλλ' MAH (ἀλλ' om. Turn.): ἀλλ' εἰς ὕπνον CGO καὶ om. Turn. μετεωρήσας C σαυτὸν CGOMA (σεαυτὸν Mang.) : αὐτὸν H (Turn.) 13 εἰσίν C 15 παρ' OMAH (Mang.): περὶ CG (Turn.) 16 κελεύει A διὰ λειμμάτων O 17 ἀνακτήσωνται CGOMH (Turn.): ἀνακτήσηται A (Mang.) 17. 18 φορτιστέον G 20 οὐδ' om. CGO (Turn.) δὴ A (Mang.): δὲ ceteri (Turn.) προσήκαμεν H 21. 22 ταλαιπώρῳ] τάλλα (τ' ἄλλα G, τάλα O) εἰπὼν CGO 22 ἀναγωφαγῶν M 23 κράμματος OL ἠνέχετο Turn. ἀλλὰ A 24 ἐπέχει A: ἀπέχει ceteri (v); ἔχει coni. Cohn 25 περὶ] ὑπὲρ A

276 ἐνεστώτων;“ (36.) καὶ δέλτον λαβὼν ταῦτα ἐπιστέλλει· „τὴν μὲν κατ᾽ ὄψιν
ἔντευξιν, ὦ δέσποτα, φόβος με καὶ αἰδὼς ἀφείλαντο, ὁ μὲν ἀπειλὴν
ἐκτρεπόμενος, ἡ δὲ τῷ μεγέθει τοῦ περὶ σὲ ἀξιώματος καταπλήττουσα·
277 γραφὴ δὲ μηνύσει μου τὴν δέησιν, ἣν ἀνθ᾽ ἱκετηρίας προτείνω. πᾶσιν
ἀνθρώποις, αὐτοκράτορ, ἐμπέφυκεν ἔρως μὲν τῆς πατρίδος, τῶν δὲ
οἰκείων νόμων ἀποδοχή· καὶ περὶ τούτων οὐδεμιᾶς ἐστί σοι χρεία διδα-
σκαλίας, ἐκθύμως μὲν στέργοντι τὴν πατρίδα, ἐκθύμως δὲ τὰ πάτρια
τιμῶντι. καλὰ δὲ ἑκάστοις, εἰ καὶ μὴ πρὸς ἀλήθειάν ἐστι, διαφαίνεται
τὰ οἰκεῖα· κρίνουσι γὰρ αὐτὰ οὐ λογισμῷ μᾶλλον ἢ τῷ τῆς εὐνοίας
278 πάθει. γεγέννημαι μέν, ὡς οἶδας, Ἰουδαῖος· ἔστι δέ μοι Ἱεροσόλυμα
πατρίς, ἐν ᾗ ὁ τοῦ ὑψίστου θεοῦ νεὼς ἅγιος ἵδρυται· πάππων δὲ καὶ
προγόνων βασιλέων ἔλαχον, ὧν οἱ πλείους ἐλέγοντο ἀρχιερεῖς, τὴν βασι-
λείαν τῆς ἱερωσύνης ἐν δευτέρᾳ τάξει τιθέμενοι καὶ νομίζοντες, ὅσῳ
θεὸς ἀνθρώπων διαφέρει κατὰ τὸ κρεῖττον, τοσούτῳ καὶ βασιλείας ἀρ-
χιερωσύνην· τὴν μὲν γὰρ εἶναι θεοῦ θεραπείαν, τὴν δὲ ἐπιμέλειαν ἀν-
279 θρώπων. ἔθνει δὴ τοιούτῳ προσκεκληρωμένος καὶ πατρίδι καὶ ἱερῷ
δέομαι ὑπὲρ ἁπάντων· τοῦ μὲν ἔθνους, ἵνα μὴ τὴν ἐναντίαν δόξαν
ἐνέγκηται τῆς ἀληθείας, εὐσεβέστατα καὶ ὁσιώτατα διακείμενον | ἐξ ἀρχῆς p. 587 M.
280 πρὸς ἅπαντα τὸν ὑμέτερον οἶκον· ἐν οἷς γὰρ ἐφεῖται καὶ ἔξεστι μετὰ
νόμων εὐσεβεῖν, οὐδενὸς οὔτε τῶν Ἀσιανῶν οὔτε τῶν ἐν Εὐρώπῃ λεί-
πεται τὸ παράπαν, εὐχαῖς, ἀναθημάτων κατασκευαῖς, πλήθει θυσιῶν, οὐ
μόνον ἐν ταῖς κατὰ τὰς δημοτελεῖς ἑορτὰς ἀναγομέναις, ἀλλὰ καὶ ἐν
ταῖς καθ᾽ ἑκάστην ἡμέραν ἐντελεχέσιν· ἐξ ὧν οὐ στόματι καὶ γλώσσῃ
μηνύουσι τὸ εὐσεβὲς μᾶλλον ἢ ψυχῆς ἀφανοῦς βουλεύμασιν οἱ μὴ λέ-
281 γοντες, ὅτι φιλοκαίσαρές εἰσιν, ἀλλ᾽ ὄντες ὄντως. περὶ δὲ τῆς ἱεροπό-

---

1 ταῦτα CGO: ταῦτ᾽ ceteri 2 με CGOA: μου MH ἀφείλαντο CGH: ἀφείλοντο OA (v), ἀφείλετο M 3 ἐκτρεπόμενον CGO 4 ἱκετηρίαν G 5 αὐτοκράτωρ G ἐμπέφυκεν CGOH: ἐμπέφυκε A, ἐκπέφυκεν M μὲν ἔρως transp. A τῆς om. M δὲ] τε coni. Mang. 6 σοι] μοι A 7 τὰ C: om. ceteri 8 δ᾽ AH ἐστι GOH: ἐστιν CM, εἰσι A 9 κρίνουσιν CGO (v) γὰρ om. CGO 9. 10 τῆς εὐνοίας πάθει] μεγέθει τῆς εὐνοίας A 10 γεγέννημαι L (Richt. Tauchn.) ἔστιν C 12 ἐλέγοντο] ἐγένοντο coni. Matthaei 13 ἱεροσύνης ML 14 γὰρ ante θεὸς add. A τοσούτου H 14. 15 ἀρχιερωσύνην Turn. (v): ἀρχιερωσύνη (ἀρχιεροσύνη L) codd. 16 ἱερῷ CGO: ἱερωσύνῃ MAH, ἱεροσύνῃ L 18 ἐνέγκῃ G, ἐνέκειται L; ἐξενέγκηται v ταῖς ἀληθείαις coni. Mang. εὐσεβεστάτου καὶ ὁσιωτάτου διακειμένου A 19 ἡμέτερον M ἐφίεται coni. Mang. 20 οὐδὲν A δ 23 ἐντελεχέσιν CG: ἐντελεχέσιν M, ἐνδελεχέσιν OH (mavult Mang.), ἐντελεχείαις A 24 βουλεύμασιν CGO: βουλήμασιν ceteri 25 ὄντες om. L ὄντως ὄντες transp. A

4—6 DK fol. 241r Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβείας: πᾶσιν ἀνθρώποις συμπέφυκεν ἔρως τῆς πατρίδος καὶ τῶν οἰκείων νόμων ἀποδοχή.

λεως τὰ προσήκοντά μοι λεκτέον· αὕτη, καθάπερ ἔφην, ἐμὴ μέν ἐστι πατρίς, μητρόπολις δὲ οὐ μιᾶς χώρας Ἰουδαίας ἀλλὰ καὶ τῶν πλείστων, διὰ τὰς ἀποικίας ἃς ἐξέπεμψεν ἐπὶ καιρῶν εἰς μὲν τὰς ὁμόρους, Αἴγυπτον, Φοινίκην, Συρίαν τήν τε ἄλλην καὶ τὴν Κοίλην προσαγορευομένην, εἰς δὲ τὰς πόρρω διῳκισμένας, Παμφυλίαν, Κιλικίαν, τὰ πολλὰ τῆς Ἀσίας ἄχρι Βιθυνίας καὶ τῶν τοῦ Πόντου μυχῶν, τὸν αὐτὸν τρόπον καὶ εἰς Εὐρώπην, Θετταλίαν, Βοιωτίαν, Μακεδονίαν, Αἰτωλίαν, τὴν Ἀττικήν, Ἄργος, Κόρινθον, τὰ πλεῖστα καὶ ἄριστα Πελοποννήσου. καὶ 282
οὐ μόνον αἱ ἤπειροι μεσταὶ τῶν Ἰουδαϊκῶν ἀποικιῶν εἰσιν, ἀλλὰ καὶ νήσων αἱ δοκιμώταται, Εὔβοια, Κύπρος, Κρήτη. καὶ σιωπῶ τὰς πέραν Εὐφράτου· πᾶσαι γὰρ ἔξω μέρους βραχέος, Βαβυλὼν καὶ τῶν ἄλλων σατραπειῶν αἱ ἀρετῶσαν ἔχουσαι τὴν ἐκ κύκλῳ γῆν Ἰουδαίους ἔχουσιν οἰκήτορας. ὥστ' ἐὰν μεταλάβῃ σου τῆς εὐμενείας ἡ ἐμὴ πατρίς, οὐ 283
μία πόλις ἀλλὰ καὶ μυρίαι τῶν ἄλλων εὐεργετοῦνται καθ' ἕκαστον κλίμα τῆς οἰκουμένης ἱδρυθεῖσαι, τὸ Εὐρωπαῖον, τὸ Ἀσιανόν, τὸ Λιβυκόν, τὸ ἐν ἠπείροις, τὸ ἐν νήσοις, πάραλόν τε καὶ μεσόγειον. ἁρμόττει δέ σου 284
τῷ μεγέθει τῆς τοσαύτης τύχης διὰ τῶν εἰς μίαν πόλιν εὐεργεσιῶν μυρίας ἄλλας συνευεργετεῖν, ὅπως διὰ πάντων τῶν τῆς οἰκουμένης μερῶν ᾄδηταί σου τὸ κλέος καὶ οἱ μετ' εὐχαριστίας ἔπαινοι συνηχῶνται. φίλων 285
ἐνίων πατρίδας ὅλας τῆς Ῥωμαϊκῆς ἠξίωσας πολιτείας, καὶ γεγόνασιν οἱ πρὸ μικροῦ δοῦλοι δεσπόται ἑτέρων· καὶ τῶν ἀπολελαυκότων τῆς χάριτος μᾶλλον ἢ οὐχ ἧττον οἱ δι' οὓς γέγονεν ἥδονται. κἀγώ τίς εἰμι τῶν 286
εἰδότων μὲν ὅτι δεσπότην ἔχω καὶ κύριον, κεχριμένων δὲ ἐν τῇ τάξει
p. 588 M. τῶν ἑταίρων, ἀξιώματος μὲν ἕνεκα οὐ πολλῶν ὕστερος, | εὐνοίας δὲ οὐδενὸς δεύτερος, ἵνα μὴ λέγω πρῶτος. διά τε οὖν τὸ πεφυκέναι καὶ 287
διὰ τὸ πλῆθος τῶν εὐεργεσιῶν, αἷς με κατεπλούτισας, θαρρήσας ἂν ἴσως

---

1 ἔφην] εἶπον A ἐμοὶ H μέν om. A ἐστιν C 2 τῶν CGO: om. ceteri 5 παμφιλίαν M τὰ] καὶ O 6 τοῦ om. O αὐτὸν C (Turn.): αὐτὸν μὲν ceteri (Mang.) 8 πελοποννήσου G, pr. ν eras. C, ss. O: πελοπονήσου ceteri 9 μεσταὶ] μετὰ A 10 δοκιμώτατοι GH 11 Βαβυλὼν MAH (prob. Mang.): βαβυλῶνος CGO (v) ἄλλων] ἄνω coni. Mang. 12 αἱ GMAH¹ (prob. Mang.): αἳ COH²L (v) ἀρετῶσαν] ἀραρότως CO, ἀραρώτως G ἔχουσαι GOMAH (prob. Mang.): ἔχουσι C (v) 12. 13 ἔχουσιν οἰκήτορας C: οἰκήτορας ἔχουσιν ceteri 13 ὥστ' ἐὰν A: ὥστε ἂν ceteri (v) εὐμενείας ἡ ἐμὴ πατρὶς] ἐμῆς ἡ ἐμὴ πατρὶς εὐμενείας H 14 μυρία M εὐεργετοῦνται CGOA: συνευεργετοῦνται MH (mavult Mang.) 15 λυβικόν A 16 παράλλον (sic) M ἁρμόττοι H 17 τύχης] εὐτυχίας A τῶν] τὸ M 18 συνευεργετεῖν CGO: συνευεργετῆσαι MH, εὐεργετῆσαι A τῶν om. A 19 εὐχαριστείας H καὶ ante ἔπαινοι add. M φιλῶν GO 20 ὅλας Spanheim: ὅλης codd. (v) 23 τῇ om. A 24 ἑτέρων M οὖν ante ἕνεκα add. A ὕστερον H 24. 25 εὐνοίας — δεύτερος om. A 25 τε οὖν MH: τ' οὖν A (mavult Mang.), τε CGO (v) τὸ] τοιοῦτος coni. Mang. εὖ post πεφυκέναι add. A 26 κατεπλούτισας GAH: κατεπλούτησας COM, κατεπλούτησας L ἴσως] εἶχον A (mavult Mang.)

αἰτήσασθαι τῇ πατρίδι καὶ αὐτός, εἰ καὶ μὴ τὴν Ῥωμαϊκὴν πολιτείαν, ἐλευθερίαν γοῦν ἢ φόρων ἄφεσιν, οὐδὲν ἀπετόλμησα τοιοῦτον αἰτήσασθαι, τὸ δὲ φορητότατον, χάριν σοὶ μὲν ἀζήμιον δοῦναι, τῇ δὲ πατρίδι λαβεῖν ὠφελιμωτάτην· τί γὰρ ἂν γένοιτο εὐμενείας ἡγεμόνος ὑπηκόοις ἄμεινον
288 ἀγαθόν; ἐν Ἱεροσολύμοις πρῶτον, αὐτοκράτορ, ἠγγέλη σου ἡ εὐκταία διαδοχή, καὶ ἀπὸ τῆς ἱεροπόλεως ἐπὶ τὰς παρ' ἑκάτερα ἠπείρους ἐχώρησεν ἡ φήμη· προνομίας καὶ διὰ τοῦτο τυγχάνειν ἐστὶν ἀξία παρὰ σοί.
289 καθάπερ γὰρ ἐν ταῖς συγγενείαις οἱ πρεσβύτατοι παῖδες τυγχάνουσι πρεσβείων, ὅτι πρῶτοι τὸ πατρὸς καὶ τὸ μητρὸς ὄνομα τοῖς γονεῦσιν ἐφήμισαν, τὸν αὐτὸν τρόπον, ἐπειδὴ τῶν ἀνατολικῶν πρώτη πόλις αὕτη σε προσεῖπεν αὐτοκράτορα, δικαία τυγχάνειν πλειόνων ἐστὶν ἀγαθῶν, εἰ δὲ
290 μή, τῶν γοῦν ἴσων. τοσαῦτα δικαιολογηθεὶς καὶ δεηθεὶς ἅμα περὶ τῆς πατρίδος εἶμι τὸ τελευταῖον ἐπὶ τὴν ⟨περὶ⟩ τοῦ ἱεροῦ δέησιν. τοῦτο, Γάιε δέσποτα, τὸ ἱερὸν χειρόκμητον οὐδεμίαν ἐξ ἀρχῆς μορφὴν παρεδέξατο διὰ τὸ ἔδος τοῦ ἀληθοῦς εἶναι θεοῦ· γραφέων μὲν γὰρ καὶ πλαστῶν ἔργα μιμήματα τῶν αἰσθητῶν θεῶν εἰσιν· τὸν δὲ ἀόρατον εἰκονογραφεῖν ἢ διαπλάττειν οὐχ
291 ὅσιον ἐνομίσθη τοῖς ἡμετέροις προγόνοις. Ἀγρίππας ἐτίμησε τὸ ἱερὸν ἐλθών, ὁ πάππος σου, καὶ ὁ Σεβαστὸς διὰ τοῦ κελεῦσαι τὰς πανταχόθεν ἀπαρχὰς ἐπιστολαῖς πέμπειν ἐκεῖσε καὶ διὰ τῆς ἐντελεχοῦς θυσίας·
292 καὶ ἡ προμάμμη σου * * * ὅθεν οὐδείς, οὐχ Ἕλλην, οὐ βάρβαρος, οὐ

---

2 ἀπετόλμησα Mang.: δ' ἀπετόλμησα A, ἂν ἐτόλμησα CGOMH (Turn.) 3 φορητότατον A (Mang.): ἀφορητότατον MH (Turn.), ἀφορτότατον CGO ἀζημίαν M 4 ὠφελιμωτάτην CAH: ὠφελιμώτατον GOM ἡγεμόνος CG: om. ceteri 5 πρώτως A αὐτοκράτορ CMH: αὐτοκράτωρ GOA αὐτοκράτορ (-ωρ GO) ἠγγέλη σου CGO: ἠγγέλη σου αὐτοκράτορ MH, ἠγγέλθης αὐτοκράτωρ (σου om.) A 6 ἱεροπόλεως] ἱερᾶς-πόλεως A 7 τῆς ante προνομίας add. MAH (v) τυγχάνειν om. H παρὰ] περὶ M 8 γὰρ om. G 8. 9 τυγχάνουσι πρεσβείων] διπλάσια τυγχάνουσιν D 9 πρῶτοι om. A alt. τὸ CG (Turn.): om. ceteri (Mang.) 9. 10 ἐφήμησαν L; ἐπεφήμισαν coni. Mang. 10 πρώτη πόλις αὕτη] πόλεων αὕτη πρώτη A σε] γε H 11 αὐτοκράτορ M πλείονα O 12 ἴσως GM ἅμα om. H 13 τὸ C: ϰ om. ceteri περὶ add. Mang.: om. codd. (v) 14 χειρόμηκτον C, χειρότμητον O μορφὴν add. H^2, om. H^1 15 ἔδος τοῦ ἀληθοῦς Cohn: ἔδος CGO, τοῦ ἀληθοῦς MH, τοῦτο ἀληθὲς A πλαστῶν Mang.: πλασμάτων codd. (v) 16 εἰσιν CH: εἰσὶ GOMA; ἐστιν coni. Cohn δ' A 18 σου Turn. (v): οὗ O, μου ceteri τοῦ] τὸ A 18. 19 ≡πανταχόθεν (ά vel ἀ eras.) M 19 ἐπιστολαῖς] vel post κελεῦσαι (18) transp. vel ἀποστολαῖς coni. Mang. καὶ om. A ἐντελεχοῦς CGMH (Turn.): ἐνδελεχοῦς OA (Mang.) 20 post σου deesse quaedam, ubi Liviae in templo ornando magnificentia (cf. 213, 22) praeter alia enarrabatur, recte vidit Mang.

---

4. 5 D^R fol. 114r ἐκ τῆς αὐτῆς (post locum ad p. 201, 14—16 adlatum) Anton. Mel. II 1 Col. 1004 Φίλωνος: τί ἂν γένοιτο εὐμενείας ἡγεμόνος (βασιλέως Anton.) ὑπηκόοις ἄμεινον; 8—10 D^K fol. 237v ἐκ τῆς πρὸς Γάιον πρεσβείας: ἐν ταῖς συγγενείαις — ἐφήμισαν.

σατράπης, οὐ βασιλεύς, οὐκ ἐχθρὸς ἄσπονδος, οὐ στάσις, οὐ πόλεμος, οὐχ ἅλωσις, οὐ πόρθησις, οὐκ ἄλλο τι τῶν ὄντων οὐδὲν ἐνεωτέρισέ ποτε οὕτως εἰς τὸν νεών, ὡς ἄγαλμα ἢ ξόανον ἤ τι τῶν χειροκμήτων ἱδρύσασθαι. καὶ γὰρ εἰ τοῖς οἰκήτορσι τῆς χώρας ἀπήχθοντο δυσμενεῖς ὄν- 293
p. 589 M. τες, ἀλλ' αἰδώς γέ | τις ἢ φόβος εἰσῆει παραλῦσαί τι τῶν ἐξ ἀρχῆς
6 νενομισμένων ἐπὶ τιμῇ τοῦ ποιητοῦ τῶν ὅλων καὶ πατρός· ἤδεσαν γὰρ ἐκ τούτων καὶ τῶν ὁμοιοτρόπων τὰς τῶν θεηλάτων κακῶν φυομένας ἀνηκέστους συμφοράς. ἧς χάριν αἰτίας ἀσεβὲς σπέρμα σπείρειν εὐλαβοῦντο δεδιότες, μὴ θερίζειν ἀναγκασθῶσι τοὺς ἐπ' ὀλέθρῳ παντελεῖ
10 καρπούς. (37.) ἀλλὰ τί μοι ξένους καλεῖν μάρτυρας ἔχοντι 294 πολλοὺς τῶν οἰκειοτάτων σοι παραστῆσαι; Μάρκος Ἀγρίππας εὐθέως, ὁ πρὸς μητρός σου πάππος, ἐν Ἰουδαίᾳ γενόμενος, ἡνίκα Ἡρῴδης ὁ ἐμὸς πάππος ἐβασίλευε τῆς χώρας, ἀναβῆναι μὲν ἀπὸ θαλάττης εἰς τὴν μητρόπολιν ἐν μεσογείῳ κειμένην ἠξίωσε· θεασάμενος δὲ τὸ ἱερὸν καὶ 295
15 τὸν τῶν ἱερέων κόσμον καὶ τὴν τῶν ἐγχωρίων ἁγιστείαν, ἠγάσθη χρῆμα νομίσας ὑπέρσεμνόν τι καὶ παντὸς λόγου μεῖζον ἑωρακέναι, καὶ διήγημα οὐδὲν ἦν ἕτερον αὐτῷ πρὸς τοὺς συνόντας τότε τῶν ἑταίρων ἢ ὁ τοῦ νεὼ καὶ τῶν κατ' αὐτὸν ἁπάντων ἔπαινος. ὅσας γοῦν ἡμέρας διέτριψεν 296
ἐν τῇ πόλει κατὰ χάριν τὴν πρὸς Ἡρῴδην, ἐφοίτησεν εἰς τὸ τέμενος
20 τερπόμενος τῇ θέᾳ καὶ τῆς κατασκευῆς καὶ τῶν θυσιῶν καὶ τῆς περὶ τὰ ἱερουργούμενα λειτουργίας καὶ τάξεως καὶ τῆς περὶ τὸν ἀρχιερέα σεμνότητος, ὁπότε ἀσκηθείη τῇ ἱερᾷ στολῇ καὶ κατάρχοι τῶν ἱερῶν. ἀναθήμασι δὲ κοσμήσας ὅσοις ἐξῆν τὸ ἱερὸν καὶ τοὺς οἰκήτορας εὐεργε- 297
τήσας ὅσα μὴ βλάψει χαριζόμενος, Ἡρῴδην εὐφημήσας πολλὰ καὶ εὐ-
25 φημηθεὶς μυρία, παρεπέμφθη μέχρι λιμένων, οὐχ ὑπὸ μιᾶς πόλεως, ἀλλ' ὑπὸ τῆς χώρας ἁπάσης, φυλλοβολούμενός τε καὶ θαυμαζόμενος ἐπ' εὐσεβείᾳ. τί δὲ ὁ ἕτερός σου πάππος Τιβέριος Καῖσαρ; οὐχὶ ταὐτὰ 298

---

2 ἄλλο τι A (Mang.): ἄλλος M, ἄλλο ceteri (Turn.) ἐνεωτέρισέν C, ι corr. ex η O, ἐνεωτέρησε G ποτε CG (Turn.): ποθ' OMAH (Mang.), ποθεν L 3 νεών CG: ναόν ceteri 3. 4 ἐνιδρύσασθαι coni. Mang. 4 εἰ] εἰ καὶ A 6 ἐπὶ τιμῇ MAH (Mang.): ἐπ' ἀτιμία CGO (Turn.) 8 συμφορᾶς] φορᾶς coni. Mang. ἀσεβείας coni. Mang. 9 ἀναγκασθῶσιν L παντελεῖ A (Mang.): παντελεῖς ceteri (Turn.) 11 σοι om. AH 13 ἐβασίλευσε G, ἐβασίλευεν O 14 ἠξίωσεν CO 15 τὸν om. L τῶν χωρίων MA; τοῦ χωρίου coni. Mang. ἁγιστείαν OMAL (prob. Mang.): ἁγιστίαν CGH (v) ἠγάσθαι H 17 οὐδὲν H^2, οὐδὲ H^1 συνιόντας Richt. (Tauchn.) ἑταίρων] ἑτέρων L 18 αὐτὸν] αὐτῶν O 19 τὴν ante χάριν add., sed eras. H ἐφοίτα A, ἐφοίτησας H^1, corr. H^2 τέμενος CGO: ἱερὸν ceteri (praefert Mang.) 21 λειτουργίας coni. Mang. περὶ] πρὸς H 22 ὁπότ' A ἀσκηθείη] ἐνσκευασθείη coni. Mang. κατάρχει G, κατάρχη L ἱερῶν] ἱερέων CGO (Turn.) 23 ὅσοις] οἷοις coni. Mang. 24 βλάψει AH: βλάψη L, βλάψῃ ceteri (v) 24. 25 εὐφημισθεὶς OL, εὐφημιθεὶς H 25 λιμένων] λειμώνων A 26 φιλοβολούμενός M 27 ὁ πάππος σου ὁ ἕτερος transp. H ταυτὰ CGO (Mang.): ταῦτα ceteri (Turn.)

φαίνεται προηγημένος; ἐν γοῦν τρισὶ καὶ εἴκοσιν ἔτεσιν οἷς αὐτοκράτωρ ἐγένετο τὴν κατὰ τὸ ἱερὸν ἐκ μηκίστων χρόνων παραδεδομένην θρησκείαν ἐτήρησεν, οὐδὲν αὐτῆς παραλύσας ἢ παρακινήσας μέρος.
299(38.) ἔχω δέ τι καὶ φιλοτίμημα αὐτοῦ προσδιηγήσασθαι, καίτοι μυρίων ἀπολελαυκὼς ὅτε ἔζη κακῶν· ἀλλὰ τἀληθὲς φίλον καὶ σοὶ τίμιον. Πιλᾶτος ἦν τῶν ὑπάρχων ἐπίτροπος ἀποδεδειγμένος τῆς Ἰουδαίας· οὗτος οὐκ ἐπὶ τιμῇ Τιβερίου μᾶλλον ἢ ἕνεκα τοῦ λυπῆσαι τὸ πλῆθος ἀνατίθησιν ἐν τοῖς κατὰ τὴν ἱερόπολιν Ἡρῴδου βασιλείοις ἐπιχρύσους ἀσπίδας μήτε | μορφὴν ἐχούσας μήτε ἄλλο τι τῶν ἀπηγορευμένων, ἔξω τινὸς p. 590 M.
ἐπιγραφῆς ἀναγκαίας, ἣ δύο ταῦτα ἐμήνυε, τόν τε ἀναθέντα καὶ ὑπὲρ
300οὗ ἡ ἀνάθεσις. ἐπεὶ δὲ ἤσθοντο οἱ πολλοί — καὶ περιβόητον ἦν ἤδη τὸ πρᾶγμα —, προστησάμενοι τούς τε βασιλέως υἱεῖς τέτταρας οὐκ ἀποδέοντας τό τε ἀξίωμα καὶ τὰς τύχας βασιλέων καὶ τοὺς ἄλλους ἀπογόνους καὶ τῶν παρ' αὐτοῖς τοὺς ἐν τέλει παρεκάλουν τὸ νεωτερισθὲν περὶ τὰς ἀσπίδας εἰς ἐπανόρθωσιν ἀγαγεῖν καὶ μὴ κινεῖν ἔθη πάτρια τὸν πρὸ τοῦ πάντα αἰῶνα διαφυλαχθέντα καὶ πρὸς βασιλέων καὶ πρὸς αὐτοκρατόρων
301ἀκίνητα. στερρῶς δὲ ἀντιλέγοντος — ἦν γὰρ τὴν φύσιν ἀκαμπὴς καὶ μετὰ τοῦ αὐθάδους ἀμείλικτος —, ἀνεβόησαν· „μὴ στασίαζε, μὴ πολεμοποίει, μὴ κατάλυε τὴν εἰρήνην· οὐκ ἔστιν ἀτιμία νόμων ἀρχαίων αὐτοκράτορος τιμή. μὴ πρόφασις τῆς εἰς τὸ ἔθνος ἐπηρείας ἔστω σοι Τιβέριος· οὐδὲν ἐθέλει τῶν ἡμετέρων καταλύεσθαι. εἰ δὲ φῂς, αὐτὸς ἐπίδειξον ἢ διάταγμα ἢ ἐπιστολὴν ἤ τι ὁμοιότροπον, ἵνα παυσάμενοι
302τοῦ σοὶ διενοχλεῖν πρέσβεις ἑλόμενοι δεώμεθα τοῦ δεσπότου.“ τὸ τελευταῖον τοῦτο μάλιστα αὐτὸν ἐξετράχυνε καταδείσαντα, μὴ τῷ ὄντι πρεσβευσάμενοι καὶ τῆς ἄλλης αὐτὸν ἐπιτροπῆς ἐξελέγξωσι τὰς δωροδοκίας, τὰς ὕβρεις, τὰς ἁρπαγάς, τὰς αἰκίας, τὰς ἐπηρείας, τοὺς ἀκρίτους καὶ ἐπαλλήλους φόνους, τὴν ἀνήνυτον καὶ ἀργαλεωτάτην ὠμότητα διεξ-
303ελθόντες. οἷα οὖν ἐγκότως ἔχων καὶ βαρύμηνις ⟨ὢν⟩ ἄνθρωπος ἐν ἀμηχά-

---

1 τρισὶν CH (v) εἴκοσι G (v), ϗ CL 3 αὐτοῖς GO 5 ὅτε CGO: ὅτ' ceteri 6 ἐπίτροπος om. C 8 ἱεράπολιν A 9 alt. μήτ' A ἀπαγορευομένων Turn. 10 ἢ] ἢ COL ταῦτα CGOL: ταῦτ' ceteri τ' A ἀνατεθέντα A 11 δὲ CGO: δ' ceteri 11. 12 καὶ — πρᾶγμα om. G 11 ἦν om. CGO 12 υἱοὺς (οὺ in ras.) A τέσσαρας OM 13 τ' A, γε L βασιλέων] τῶν βασιλέων CG (v) 15 τὸν] τοῦ O 17 δὲ CGO: δ' ceteri 18 αὐφάδους (sic) M 23 διενοχλεῖν AH (Mang.): διοχλεῖν ML (Turn.), ὀχλεῖν CGO δεώμεθα MAH (Turn.): δεησώμεθα C (Mang.), δεηθησώμεθα G, δεηθησόμεθα O 24 μάλιστ' MAL ἐξετράχυνεν CL 25 ἄλλης] ὅλης coni. Mang. αὐτὸν codd.: αὐτοῦ v post ἐπιτροπῆς iteravit αὐτὸν A ἐλέγξωσι O 27 τὴν] τὸν O alt. καὶ om. M 28 ὢν add. Cohn: om. codd. (v)

---

6 Euseb. Dem. Ev. VIII 123 p. 403 αὐτὰ δὴ ταῦτα καὶ ὁ Φίλων συμμαρτυρεῖ τὰς σημαίας φάσκων τὰς βασιλικὰς τὸν Πιλᾶτον νύκτωρ ἐν τῷ ἱερῷ ἀναθεῖναι ἀρχήν τε στάσεων καὶ συμφορῶν ἐπαλλήλων ἐξ ἐκείνου τοῖς Ἰουδαίοις συμπεσεῖν.

νοις ἦν, μήτε καθελεῖν τὰ ἅπαξ ἀνατεθέντα θαρρῶν μήτε βουλόμενός τι τῶν πρὸς ἡδονὴν τοῖς ὑπηκόοις ἐργάσασθαι, ἅμα δὲ καὶ τὴν ἐν τούτοις σταθερότητα Τιβερίου μὴ ἀγνοῶν· ἅπερ ὁρῶντες οἱ ἐν τέλει καὶ συνιέντες, ὅτι μετανοεῖ μὲν ἐπὶ τοῖς πεπραγμένοις, δοκεῖν δὲ οὐ βούλεται, γράφουσι Τιβερίῳ δεητικωτάτας ἐπιστολάς. ὁ δὲ διαναγνοὺς οἷα μὲν εἶπε 304
Πιλᾶτον, οἷα δὲ ἠπείλησεν· ὡς δὲ ὠργίσθη, καίτοι οὐκ εὔληπτος ὢν ὀργῇ, περιττόν ἐστι διηγεῖσθαι, τοῦ πράγματος ἐξ αὐτοῦ φωνὴν ἀφιέντος. εὐθέως γὰρ οὐδὲ εἰς τὴν ὑστεραίαν ὑπερθέμενος ἐπιστέλλει, μυρία μὲν 305
τοῦ καινουργηθέντος τολμήματος ὀνειδίζων καὶ ἐπιπλήττων, κελεύων δὲ αὐτίκα καθελεῖν τὰς ἀσπίδας καὶ μετακομισθῆναι ἐκ τῆς μητροπόλεως εἰς τὴν ἐπὶ θαλάττῃ Καισάρειαν, ἐπώνυμον τοῦ προπάππου Σεβαστήν, ἵνα ἀνατεθεῖεν ἐν τῷ Σεβαστείῳ· καὶ ἀνετέθησαν. οὕτως ἀμφότερα ἐφυλάχθη,
p. 591 M. καὶ ἡ | τιμὴ τοῦ αὐτοκράτορος, καὶ ἡ περὶ τὴν πόλιν ἀρχαία συνήθεια. (39.) τότε μὲν οὖν ἀσπίδες ἦσαν, αἷς οὐδὲν ἀνεζωγράφητο 306
μίμημα· νυνὶ δὲ κολοσσιαῖος ἀνδριάς. καὶ τότε μὲν ἡ ἀνάθεσις ἐν οἰκίᾳ τῶν ἐπιτρόπων ἦν· τὴν δὲ μέλλουσάν φασιν ἐσωτάτω τοῦ ἱεροῦ κατ' αὐτὰ τὰ ἄδυτα γίνεσθαι, εἰς ἃ ἅπαξ τοῦ ἐνιαυτοῦ ὁ μέγας ἱερεὺς εἰσέρχεται τῇ νηστείᾳ λεγομένῃ μόνον ἐπιθυμιάσων καὶ κατὰ τὰ πάτρια εὐξόμενος φορὰν ἀγαθῶν εὐετηρίαν τε καὶ εἰρήνην ἅπασιν ἀνθρώποις. κἂν ἄρα τίς που, οὐ λέγω τῶν ἄλλων Ἰουδαίων, ἀλλὰ καὶ τῶν ἱερέων, 307
οὐχὶ τῶν ὑστάτων, ἀλλὰ τῶν τὴν εὐθὺς μετὰ τὸν πρῶτον τάξιν εἰληχότων, ἢ καθ' αὑτὸν ἢ καὶ μετ' ἐκείνου συνεισέλθῃ, μᾶλλον δὲ κἂν αὐτὸς ὁ ἀρχιερεὺς δυσὶν ἡμέραις τοῦ ἔτους ἢ καὶ τῇ αὐτῇ τρὶς ἢ καὶ τετράκις εἰσφοιτήσῃ, θάνατον ἀπαραίτητον ὑπομένει. τοσαύτη τίς ἐστιν ἡ 308
περὶ τὰ ἄδυτα φυλακὴ τοῦ νομοθέτου μόνα ἐκ πάντων ἄβατα καὶ ἄψαυστα βουληθέντος αὐτὰ διατηρεῖσθαι. πόσους ἂν οὖν οἶει θανάτους

---

1 καὶ ante pr. μήτε add. M 1. 2 alt. μήτε — ἐργάσασθαι om. A 4 δὲ CGO: δ' ceteri 5 γράφωσι G δεκτικωτάτας M διαναγνοὺς Mang.: διαγνοὺς codd. (v) 6 πιλᾶτον om. M, πιλάτος L (Turn.) pr. δὲ CGO: δ' ceteri ὀργίσθη M 7 ὀργῇ O, ὁρμῇ M ἑξαυτοῦ C αὐτοῦ H: αὐτοῦ ceteri 8 γὰρ om. Turn. οὐδὲ CGO (Mang.): οὐδ' ceteri; οὐδὲν Turn. μυρία] μωρίαν O μὲν] μὲν οὖν H 9 δὲ CGO: δ' ceteri 10 καθελεῖν] κατελθεῖν C μετακομισθῆναι A (Mang.): μετεκομίσθη CGOMH; μετεκομίσθησαν Turn. 11 προπάππου] προσώπου M 12 σεβαστείῳ OA (Mang.): σεβαστίῳ CGMH (Turn.) καὶ ante ἀμφότερα add. A ἐφυλάχθησαν A 14 οὐδὲ H ἀνεζωγράφη τὸ M 15 δὲ om. L κολοσιαῖος O 16 οἴκῳ A 17 κατ' αὐτὰ τὰ] κατὰ τὰ H; κατ' αὐτὰ Turn. 19 εἰρήνην] εὐθηνίαν coni. Mang. 20 που om. MA 21 ἀλλὰ] ἀλλὰ καὶ O τὴν om. H τὸν CGAH: τῶν O, τ (sic) M πρώτην M 22 alt. ἢ om. L καὶ om. MA ἐκείνους G, ς ss. H συνέλθῃ OA 22. 23 συνεισέλθῃ — pr. ἢ om. H¹, in marg. κἂν add. H² 22 κἂν] καὶ M 23 alt. καὶ om. GO 26 αὐτὰ om. A οὖν om. OA οἴη GA, εἴη O θανάτους A (Mang.): θάνατον ceteri (Turn.)

ἑκουσίως ὑπομένειν τοὺς περὶ ταῦτα ὡσιωμένους, εἰ θεάσαιντο τὸν ἀν-
δριάντα εἰσκομιζόμενον; ἐμοὶ μὲν δοκοῦσι γενεὰς ὅλας αὐταῖς γυναιξὶ
καὶ τέκνοις ἀποσφάξαντες ἐπὶ τοῖς τῶν οἰκείων πτώμασιν ἑαυτοὺς τελευ-
309 ταῖον καθιερεύσειν. ταῦτα μὲν Τιβέριος ἔγνω. τί δὲ ὁ σὸς πρόπαππος,
ὁ τῶν πώποτε γενομένων αὐτοκρατόρων ἄριστος, ὁ πρῶτος ἀρετῆς ἕνε-
κα καὶ τύχης Σεβαστὸς ὀνομασθείς, ὁ τὴν εἰρήνην διαχέας πάντῃ διὰ
310 γῆς καὶ θαλάττης ἄχρι τῶν τοῦ κόσμου περάτων; οὐκ ἀκοῇ πυνθανό-
μενος τὰ περὶ τὸ ἱερὸν καὶ ὅτι οὐδέν ἐστιν ἀφίδρυμα ἐν αὐτῷ χειρό-
κμητον, ὁρατὸν ἀοράτου μίμημα φύσεως, ἐθαύμαζε καὶ προσεκύνει, φι-
λοσοφίας οὐκ ἄκροις χείλεσι γευσάμενος ἀλλ' ἐπὶ πλέον ἑστιαθεὶς καὶ
σχεδόν τι καθ' ἑκάστην ἡμέραν ἑστιώμενος, τὰ μὲν μνήμαις ὧν ἡ διά-
νοια προμαθοῦσα τὰ φιλοσοφίας ἀνεπόλει, τὰ δὲ καὶ ταῖς τῶν συνόντων
ἀεὶ λογίων συνδιαιτήσεσι; κατὰ γὰρ τὰς ἐν ὄειπνῳ συνουσίας ὁ πλεῖστος
χρόνος ἀπενέμετο τοῖς ἀπὸ παιδείας, ἵνα μὴ τὸ σῶμα μόνον ἀλλὰ καὶ
311 ἡ ψυχὴ τοῖς οἰκείοις ἀνατρέφοιτο. (40.) τεκμηρίοις δὲ ἀφθόνοις πι-
στώσασθαι δυνάμενος τὸ βούλημα τοῦ Σεβαστοῦ προπάππου σου δυσὶν
ἀρκεσθήσομαι. τὸ μὲν γὰρ πρῶτον ἐπέστειλε τοῖς ἐπιτρόποις τῶν κατὰ
τὴν Ἀσίαν ἐπικρατειῶν, πυθόμενος ὀλιγωρεῖσθαι τὰς ἱερὰς ἀπαρχάς, ἵνα
312 ἐπιτρέπωσι τοῖς Ἰουδαίοις μόνοις εἰς τὰ συναγώγια συνέρχεσθαι· μὴ γὰρ
εἶναι ταῦτα συνόδους ἐκ μέθης καὶ παροινίας ἐπισυστάσας, ὡς λυμαί-
νεσθαι τὰ | τῆς εἰρήνης, ἀλλὰ διδασκαλεῖα σωφροσύνης καὶ δικαιοσύνης p. 592 M.
ἀνδρῶν ἐπιτηδευόντων μὲν ἀρετήν, ἀπαρχὰς δὲ ἐτησίους συμφερόντων,
ἐξ ὧν ἀνάγουσι θυσίας στέλλοντες ἱεροπομποὺς εἰς τὸ ἐν Ἱεροσολύμοις
313 ἱερόν. εἶτα κελεύει μηδένα ἐμποδὼν ἵστασθαι τοῖς Ἰουδαίοις μήτε
συνιοῦσι μήτε συνεισφέρουσι μήτε διαπεμπομένοις κατὰ τὰ πάτρια εἰς
Ἱεροσόλυμα· ταῦτα γὰρ εἰ καὶ μὴ τοῖς ῥήμασι, τοῖς γοῦν πράγμασιν

---

1 ἑκουσίους A, L (sed corr.) ὑπομένειν ἑκουσίως transp. O ὑπομενεῖν (sic) coni. Mang. ταῦτα] τὰ τοιαῦτα MH: τοιαῦτα mavult Mang. εἰ θεάσαιντο] ἐθεάσαιντο (sic) M 2 γενεὰς] συγγενείας coni. Mang. 4 δὲ CGO: δ' ceteri 5. 6 ἕνεκα om. H 6 ὠνομασθείς H διαχέας CGO: διαχέων ceteri διὰ om. H 8 ἀφίδρυμα ἐν αὐτῷ CGO: ἐν αὐτῷ ἀφ. ceteri 8. 9 χειρότμητον O (sed corr.) 9 ὁρατὸν CGO: ἀόρατον ceteri ἐθαύμασε H 10 χείλεσιν C ἀλλ' ἐπὶ] ἀλλά τι M 12 ἀνεπόθει L 13 αἰεὶ M διαιτήσεσι A ἐν] ἐν τῷ M 15 ἀνατρέφοιτο CGO: διατρέφοιτο ceteri δὲ CGO: δ' ceteri 16 δυνάμενος] βουλόμενος A 17 ἐπέστειλε O (coni. Mang.): ἀπέστειλε ceteri (v) 18 ἐπικρατειῶν] ἐπικρατεστέρων H πειθόμενος M ὠλιγωρῆσθαι MH ἵνα CGOL: ἵν' ceteri 20 ταύτας MA ἐπισυστάσας Cohn: ἐπὶ συστάσεως GO, ἐπὶ συστάσει MAH (v), ἐπισυστάντα C ὡς C: om. ceteri 20. 21 λυμαίνεσθαι τὰ τῆς C: λυμαινεστάτης GOMH, λυμαινομένας A 21 διδασκαλίας M, διδασκάλους A 22 δὲ CGO: δ' ceteri συμφερόντων CGO: εἰσφερόντων ceteri (v) 24 ἵστασθαι ἐμποδὼν transp. O 25 συνιοῦσιν CL συνεισφέρουσιν L 26 καὶ μὴ CGO: μὴ καὶ ceteri pr. τοῖς] ἐν τοῖς A γοῦν] γὰρ H

ἐπέσταλται. μίαν δὲ ἐπιστολὴν ὑποτέταχα πρὸς τὴν σὴν τοῦ δεσπότου 314
πειθώ, ἣν Γάϊος Νορβανὸς Φλάκκος ἐπιστέλλει δηλῶν τὰ ὑπὸ Καίσαρος
αὐτῷ γραφέντα. ἔστι δὲ τῆς ἐπιστολῆς τὸ ἀντίγραφον τόδε· 'Γάϊος 315
Νορβανὸς Φλάκκος ἀνθύπατος Ἐφεσίων ἄρχουσι χαίρειν. Καῖσάρ μοι
ἔγραψεν, 'Ιουδαίους, οὓς ἂν ὦσιν, ἰδίῳ ἀρχαίῳ ἐθισμῷ νομίζειν συναγο-
μένους χρήματα φέρειν, ἃ πέμπουσιν εἰς 'Ιεροσόλυμα· τούτους οὐκ
ἠθέλησε κωλύεσθαι τοῦτο ποιεῖν. ἔγραψα οὖν ὑμῖν, ἵν' εἰδῆτε, ὡς ταῦτα
οὕτως γίνεσθαι κελεύει.' ἀρ' οὐκ ἐναργὴς πίστις ἐστίν, αὐτοκράτορ, 316
τῆς Καίσαρος προαιρέσεως, ᾗ περὶ τὴν τοῦ ἡμετέρου ἱεροῦ τιμὴν ἐκέχρητο,
μὴ βουληθεὶς τῷ κοινῷ τύπῳ τῶν συνόδων ἀναιρεθῆναι τὰς τῶν 'Ιου-
δαίων εἰς ταὐτὸ συμφοιτήσεις, ἃς ἀπαρχῶν ἕνεκα ποιοῦνται καὶ τῆς
ἄλλης εὐσεβείας; ἕτερον δέ ἐστιν οὐκ ἀποδέον τούτου δεῖγμα σαφέστατον 317
τῆς βουλήσεως τοῦ Σεβαστοῦ· διετάξατο γὰρ ἐκ τῶν ἰδίων προσόδων
ἀνάγεσθαι θυσίας ἐντελεχεῖς ὁλοκαύτους τῷ ὑψίστῳ θεῷ καθ' ἑκάστην
ἡμέραν, αἳ καὶ μέχρι νῦν ἐπιτελοῦνται· ἄρνες εἰσὶ δύο καὶ ταῦρος τὰ
ἱερεῖα, οἷς Καῖσαρ ἐφαίδρυνε τὸν βωμὸν ἐπιστάμενος σαφῶς, ὅτι οὐδέν
ἐστιν ἀφίδρυμα οὔτε φανερὸν οὔτε ἀφανές· ἀλλὰ γὰρ ὁ τοσοῦτος ἡγε- 318
μὼν καὶ φιλόσοφος οὐδενὸς δεύτερος ἐλογίσατο παρ' ἑαυτῷ, ὅτι ἀναγ-
καῖόν ἐστιν ἐν τοῖς περιγείοις ἐξαίρετον ἀπονενεμῆσθαι τόπον ἱερὸν τῷ
ἀοράτῳ θεῷ μηδὲν ὁρατὸν ἀπεικόνισμα περιέξοντα πρὸς μετουσίαν
ἐλπίδων χρηστῶν καὶ ἀπόλαυσιν ἀγαθῶν τελείων. ὑφηγητῇ τοιούτῳ 319
τῆς εὐσεβείας χρησαμένη καὶ ἡ προμάμμη σου 'Ιουλία Σεβαστὴ κατε-
κόσμησε τὸν νεὼν χρυσαῖς φιάλαις καὶ σπονδείοις καὶ ἄλλων ἀναθημά-

---

1 δ' MH ἐπιστολὴν om. A ἐπιτέταχα A τοῦ δεσπότου secludendum censet Cohn, ὦ δέσποτα coni. Mang. 2. 3 ἣν — τόδε in marg. M 2 νωρβανὸς GO, νοβαρνὸς A φ≡λάκκος C ἐπέστελλε coni. Mang. 3 ἔστιν C ἀντίγραμμα H 4 νορβανὸς CH: νωρβανὸς GO, ὀβαρνὸς M, νοβαρνὸς A 5 νομίζων coni. Mang., καὶ νόμοις ζῆν vel νόμοις δεῖν Gottleber 6 χρήματα φέρειν codd.: χρήματ' εἰσφέρειν v 7 ἠθέλησα A τοῦτο] τοῦ GO ὡς CGO: om. ceteri 8 οὕτω CGO (v) γενέσθαι A κελεύω γίνεσθαι transp. H κελεύει C (prob. Mang.): κελεύω GOMH (v), om. A ἄρα G, ἄρα οὖν O ἐναργὲς M αὐτοκράτωρ G 9 ἡ A (Mang.): ἡ CGO (Turn.), ἣν MH τὴν CGO: τῆς A, τῇ MH ἱεροῦ om. G τιμὴν O: τιμὴν ἢ C (Turn.), τιμὴ G, τιμῇ MH, τιμῆς A 10 βουληθῆς A τύπω CGO (mavult Mang. ex Cotelerii coniectura): τόπω ceteri (v) συναναιρεθῆναι A 11 ταυτὸν MA ἀπαρχῆς A 12 δ' AH 14 ἐνάγεσθαι CG ἐνδελεχεῖς Mang. (ἐντελεχεῖς scripsi; cf. 185,1): ἐντελεῖς codd. (v) ὁλοκαύστους O 15 ἄρνες ⟨δὲ⟩ coni. Matthaei, cui tota sententia (ἄρνες — βωμὸν) suspecta 16 Καῖσαρ] καὶ σοῖς M ἐφαίδρυνε codd.: ἐφῄδρυνε v; ἐφήδυνε coni. Schürer 17 alt. οὔτε CGO: οὔτ' ceteri ἀλλὰ γὰρ ὁ CGO: ἀλλ' ἅτε ceteri; ἀλλ' ὁ v (ἀλλ' ὅ γε coni. Mang.) 18 καὶ codd. (mavult Mang.): κατὰ v φιλόσοφος Cohn: φιλοσοφία A (φιλοσοφίᾳ praefert Mang.), φιλοσοφίας ceteri; φιλοσοφίαν v 19 ἐστιν om. L ἀπονεμεῖσθαι O 20 περιεξιόντα G 22 χρησαμένη τῆς εὐσεβείας transp. A προμάμμη M 23 νεὼν CG: ναὸν OAH, λαὸν M σπονδαῖς H

των πολυτελεστάτων πλήθει· τί παθοῦσα καὶ αὕτη, μηδενὸς ἔνδον ὄντος
ἀφιδρύματος; ἀσθενέστεραι γάρ πώς εἰσιν αἱ γνῶμαι τῶν γυναικῶν ἔξω τῶν
320 αἰσθητῶν μηδὲν ἰσχύουσαι νοητὸν καταλαβεῖν. ἡ δέ γε καθάπερ ἐν τοῖς
ἄλλοις ὅλον | τὸ γένος κἀν τούτῳ διήνεγκεν, ὑπὸ παιδείας ἀκράτου φύσει p. 593 M.
καὶ μελέτῃ περιγεγενημένη, ἀρρενωθεῖσα τὸν λογισμόν, ὃς οὕτως ὀξυ- 5
δερκὴς ἐγεγένητο, ὡς μᾶλλον τὰ νοητὰ καταλαμβάνειν τῶν αἰσθητῶν
321 καὶ ταῦτα νομίζειν ἐκείνων εἶναι σκιάς. (41.) ἔχων οὖν, δέσποτα, τῆς
ἡμερωτέρας προαιρέσεως τοιαῦτα παραδείγματα, πάντα οἰκειότατα καὶ
συγγενέστατα ἀφ' ὧν ἐσπάρης καὶ ἀνέβλαστες καὶ τοσοῦτον ηὐξήθης,
322 διατήρησον ἃ κἀκείνων ἕκαστος. παρακλητεύουσι τοῖς νόμοις αὐτοκρά- 10
τορες πρὸς αὐτοκράτορα, Σεβαστοὶ πρὸς Σεβαστόν, πάπποι καὶ πρόγονοι
πρὸς ἔκγονον, πλείους πρὸς ἕνα, μονονουχὶ φάσκοντες· ἐν ταῖς ἡμετέ-
ραις βουλήσεσιν ἃ μέχρι καὶ τήμερον ἐφυλάχθη νόμιμα μὴ καθέλῃς·
καὶ γὰρ εἰ μηδὲν ἐκ τῆς καταλύσεως αὐτῶν ἀπαντηθείη παλίμφημον,
ἀλλ' ἥ γε τοῦ μέλλοντος ἀδηλότης καὶ τοῖς θαρραλεωτάτοις, εἰ μὴ κα- 15
323 ταφρονηταὶ τῶν θείων εἰσίν, οὐ παντελῶς ἐστιν ἄφοβος. ἐὰν καταλέ-
γωμαι τὰς εἰς ἐμαυτὸν ἐκ σοῦ γενομένας εὐεργεσίας, ἐπιλείψει με ἡ
ἡμέρα, πρὸς τῷ μηδὲ ἁρμόττον εἶναι προηγούμενον ἔργον πάρεργον
ἑτέρου ποιεῖσθαι λόγου· κἂν ἡσυχάζω μέντοι, τὰ πράγματα αὐτὰ βοᾷ
324 καὶ φωνὴν ἀφίησιν. ἔλυσάς με σιδήρῳ δεδεμένον· τίς οὐκ οἶδεν; ἀλλὰ 20
μὴ χαλεπωτέροις δεσμοῖς, αὐτοκράτορ, ἐπισφίγξῃς· οἱ μὲν γὰρ λυθέντες
μέρει περιβέβληντο τοῦ σώματος, οἱ δὲ νῦν προσδοκώμενοι ψυχῆς εἰσιν,

---

1 καὶ αὕτη τί παθοῦσα transp. O αὕτη GO (Mang.): αὐτὴ ceteri (Turn.) ὄντως G, ὄντος τοῦ A 2 εἰσιν αἱ γνῶμαι τῶν D Anton. Mel.: εἰσι γνῶμαι codd. (v) 3 νοητὸν] αἴτιον coni. Mang. 4 ὅλον τὸ γένος codd.: ὅλου τοῦ γένους v ἀκράτου] ἄκρας coni. Matthaei 5 περιγεγενημένης AH (Mang.) ἀρρενοθεῖσα G ὃς om. CGO (Turn.) 5. 6 ὀξυδορκὴς CG 6 ἐγένετο AH ὥστε H 7 κείνων M 8 ἡμερωτέρας Matthaei: ἡμετέρας codd. (v); περὶ τὰ ἡμέτερα coni. Mang. δείγματα A 9 ἐσπάρη M ἀνέβλαστ (sic in versus exitu) M, ἀνεβλάστησας A 10. 11 αὐτοκράτορες MAH: αὐτοκρατεῖς CGO (v) 12 ἔγγονον O 13 μέχρι καὶ τήμερον CGO (Turn.): μένει καὶ μέχρι τ. M (Mang.), μένει μέχρι καὶ τ. A, μένει μέχρι καὶ τ. καὶ H καθέλῃς] καταλύῃς (sic) coni. Mang. 14 μηδὲ ἓν L 15 θαρσαλεωτάτοις O 16. 17 καταλέγω A 17 ἐπιλείψει M 18 τῷ AH (Mang.): τὸ CGOM (Turn.) μηδὲ CGO: μηδ' ceteri ἁρμόττειν M, ἁρμόττειν A 19 κἂν] καὶ M (Turn.) πράγματ' MA 20 δεδεμένῳ Turn. 21 αὐτοκράτωρ CG 22 μέρη MA (mavult Mang.) περιβέβληντο CGOM: περιεβέβληντο A (v), alt. ε eras. H

---

2. 3 D^{R} fol. 134r τοῦ αὐτοῦ Anton. Mel. II 33 Col. 1088 Φίλωνος: ἀσθενέστεραί τέ (τέ om. Anton.) πώς — καταλαβεῖν.

ὅλην αὐτὴν δι' ὅλων μέλλοντες πιέζειν. τὸν ἐπικρεμάμενον ἀεὶ τοῦ θα- 325
νάτου φόβον ἀπώσω καὶ τεθνεῶτα τῷ δέει ζωπυρήσας καθάπερ ἐκ πα-
λιγγενεσίας ἀνήγειρας· διατήρησον τὴν χάριν, αὐτοκράτορ, ἵνα μὴ ὁ
σὸς Ἀγρίππας ἀποτάξηται τῷ βίῳ· δόξω γὰρ οὐ τοῦ σωθῆναι χάριν
ἀφεῖσθαι μᾶλλον ἢ τοῦ βαρυτέρας ἐνδεξάμενος συμφορὰς ἐπισημότερον
τελευτῆσαι. τὸν μέγιστον καὶ εὐτυχέστατον ἐν ἀνθρώποις κλῆρον ἐχα- 326
ρίσω μοι, βασιλείαν, πάλαι μὲν μιᾶς χώρας, αὖθις δὲ καὶ ἑτέρας μεί-
ζονος, τὴν Τραχωνῖτιν λεγομένην καὶ τὴν Γαλιλαίαν συνάψας· μὴ τὰ
πρὸς περιουσίαν μοι χαρισάμενος, ὦ δέσποτα, τὰ ἀναγκαῖα ἀφέλῃς μηδὲ
εἰς φῶς ἀναγαγὼν τηλαυγέστατον ἐξ ὑπαρχῆς εἰς βαθύτατον σκότος
p. 594 M. ῥίψῃς. ἐξίσταμαι | τῶν λαμπρῶν ἐκείνων, τὴν πρὸ μικροῦ τύχην οὐ παρ- 327
αιτοῦμαι, πάντα ὑπαλλάττομαι ἑνός, τοῦ μὴ κινηθῆναι τὰ πάτρια. τίς
γὰρ ἄν μου γένοιτο λόγος ἢ παρὰ τοῖς ὁμοφύλοις ἢ παρὰ τοῖς ἄλλοις
ἅπασιν ἀνθρώποις; ἀνάγκη γὰρ δυοῖν θάτερον ἢ προδότην τῶν ἰδίων ἢ
σοὶ μηκέτι ὁμοίως φίλον νομισθῆναι· ὧν τί ἂν εἴη μεῖζον κακόν; εἰ 328
μὲν γὰρ ἐν τῇ τάξει τῶν ἑταίρων ἔτι καταριθμοῦμαι, προδοσίας ἐξοί-
σομαι δόξαν, ἐὰν μήτε ἡ πατρὶς ἀπαθὴς παντὸς κακοῦ διαφυλαχθῇ μήτε
τὸ ἱερὸν ἄψαυστον· τὰ γὰρ τῶν ἑταίρων καὶ προσπεφευγότων ταῖς αὐτο-
κρατορικαῖς ἐπιφανείαις ὑμεῖς οἱ μεγάλοι διασῴζετε. εἰ δὲ ὑποικουρεῖ 329
τί σου τὴν διάνοιαν ἔχθος, μὴ δήσῃς ὡς Τιβέριος, ἀλλὰ καὶ τὴν τοῦ
δεθῆναί ποτε αὖθις ἐλπίδα συνανελὼν κέλευσον ἐκποδὼν αὐτίκα γενέσθαι·
τί γὰρ ἐμοὶ ζῆν καλόν, ᾧ μία σωτηρίας ἐλπὶς ἦν τὸ σὸν εὐμενές;"

(42.) Ταῦτα γράψας καὶ σφραγισάμενος πέμπει Γαΐῳ καὶ συγκλει- 330
σάμενος οἴκοι κατέμενεν, ἀγωνιῶν καὶ συγκεχυμένος καὶ πῶς ἐντύχοι
μάλιστα φροντίζων· οὐ γὰρ βραχὺς ἐπέρριπτο κίνδυνος, ἀλλ' ὁ περὶ
ἀναστάσεως καὶ ἀνδραποδισμοῦ καὶ παντελοῦς πορθήσεως, οὐ μόνον τοῖς
τὴν ἱερὰν χώραν κατοικοῦσιν ἀλλὰ καὶ τοῖς πανταχοῦ τῆς οἰκουμένης
Ἰουδαίοις. λαβὼν δὲ καὶ διαναγινώσκων ἐφ' ἑκάστῳ τῶν νοημάτων ἅμα 331
μὲν ᾕδει, μὴ κατορθουμένου τοῦ βουλήματος, ἅμα δὲ καὶ ἐπεκλᾶτο ταῖς

---

1 μέλλοντος M 3 αὐτοκράτωρ G 4 τοῦ] τῶ M 5 ἀφίεσθαι Mang.
ε
ἐκδειξάμενος O 7 μοι CGO: om. ceteri βασιλείαν] βασιλεῦ A 8 τραχο-
νῖτιν O (sed corr.), τραχωνίτην H 9 ἀφέλης CGOH²L: ἀφέλη MA, ἀφέλοις H¹
μηδὲ CGO: μηδ' ceteri 10 ἀγαγὼν A σκότον M 11 ἐξανίσταμαι
CGO (Turn.) 12 πάντα CGO: πάνθ' ceteri ἀνθυπαλλάττομαι coni. Mang.
(fort. recte) 13 γένηται A alt. παρὰ] περὶ M 14 πᾶσιν A
τῶν om. L 15 μηκέτι CGO: μηκέθ' ceteri τί om. G 16. 17 ἐξ οἴσομεν G
17 pr. μήθ' A ἀπαθὴς παντὸς CGO: παντὸς ἀ. MH, ἀπαθὴς (παντὸς om.) A 18 ἑτέ-
ρων A, L (sed corr.) προσφευγόντων A 19 δὲ CGO: δ' ceteri 20 σοι A
τῇ διανοίᾳ coni. Mang. ἔχθος] ἄχθος L (Turn.) καὶ om. A 21 ποτε
CGO: πως ceteri αὖθις om. A 24 ἐντύχῃ μοι O; ἂν τύχοι coni. Mang. (Dahl)
25 ἐπιρέρριπτο O 27 οἰκοῦσιν A καὶ om. A πανταχῇ A 28 δια-
γινώσκων AH νοημάτων] ῥημάτων coni. Mang. 29 καὶ om. L

δικαιολογίαις ὁμοῦ καὶ δεήσεσι, καὶ τὸν Ἀγρίππαν τῇ μὲν ἐπῄνει, τῇ
332 δὲ ἐμέμφετο· ἠτιᾶτο μὲν τῆς εἰς τοὺς ὁμοφύλους ἄγαν ἀρεσκείας μόνους
ἀνθρώπων ἀφηνιάζοντας καὶ ἐκτρεπομένους αὐτοῦ τὴν ἐκθέωσιν, ἐπῄνει
δὲ τὸ μηδὲν ἐν ἑαυτῷ συσκιάζειν καὶ ἐπικρύπτειν, ἅπερ ἔλεγεν εἶναι
333 δείγματα ἐλευθεριωτάτων καὶ εὐγενεστάτων ἠθῶν. ἡμερωθεὶς οὖν ὅσα
τῷ δοκεῖν ἀποκρίσεων χρηστοτέρων Ἀγρίππαν ἠξίωσε, τὸ ἀνωτάτω καὶ
μέγιστον δωρούμενος, τὸ μηκέτι γενέσθαι τὴν ἀνάθεσιν· καὶ Ποπλίῳ
Πετρωνίῳ, τῷ τῆς Συρίας ἐπιτρόπῳ, κελεύει γραφῆναι μηδὲν ἐπὶ τῷ
334 ἱερῷ τῶν Ἰουδαίων ἔτι νεώτερον κινεῖν. ὅμως μέντοι καὶ τὴν χάριν
διδοὺς ἔδωκεν οὐκ ἀκέραιον, ἀλλ' ἀναμίξας αὐτῇ δέος ἀργαλεώτατον·
προσγράφει γάρ· „ἐὰν δέ τινες ἐν ταῖς ὁμόροις ἔξω μιᾶς τῆς μητροπό-
λεως ἐθέλοντες βωμοὺς ἢ ἱερὰ ἢ τινας εἰκόνας ἢ ἀνδριάντας ὑπὲρ ἐμοῦ
καὶ τῶν ἐμῶν ἱδρύεσθαι κωλύωνται, τοὺς εἴργοντας ἢ παραχρῆμα κο-
335 λάζειν ἢ εἰς αὐτὸν ἀνάγειν.“ τοῦτο δὲ οὐδὲν ἦν ἕτερον ἢ στάσεων καὶ
ἐμφυλίων πολέμων ἀρχὴ καὶ τῆς δωρεᾶς, ἣν ἐπ' εὐθείας ἐδόκει παρα-
σχεῖν, πλάγιός τις ἀναίρεσις· ἔμελλον γὰρ οἱ μὲν κατὰ τὴν πρὸς Ἰου-
δαίους φιλονεικίαν μᾶλλον ἢ τὸ πρὸς Γάιον εὐσεβὲς καταπλήσειν τὴν
χώραν ἅπασαν | ἀναθημάτων, οἱ δὲ ἐν ὄψεσι ταῖς αὑτῶν τὴν τῶν πα- p. 595 M.
τρίων ὁρῶντες κατάλυσιν, εἰ καὶ πάντων ἦσαν πραοπαθέστατοι, μὴ
ἀνέχεσθαι, Γάιος δὲ τοὺς παρακινηθέντας τιμωρίᾳ κρίνων μεγίστῃ ἀνα-
336 τεθῆναι πάλιν κελεύειν τὸν ἀνδριάντα ἐν τῷ ἱερῷ. προνοίᾳ δέ τινι καὶ
ἐπιμελείᾳ τοῦ πάντα ἐφορῶντος καὶ σὺν δίκῃ πρυτανεύοντος θεοῦ τῶν
ὁμόρων παρεκίνησεν οὐδὲν οὐδὲ εἷς, ὡς μὴ χρείαν τινὰ γενέσθαι, ᾗ πρὸ
337 μετριωτέρας μέμψεως ἀπαραίτητος ἔμελλεν ἀπαντᾶσθαι συμφορά. τί

---

1 pr. et alt. τῇ] πῇ O 2 δ' MH ἀρεσκείας ἄγαν transp. O 3 ἀνθρώ-
πους H (Turn.) 4 τὸ] τῶ A (v) μηδὲν H², μηδὲ H¹ ἐν om. C (Turn.)
ἑαυτῶ C (Turn.): αὐτῶ A (Mang.), αὐτῶ ceteri 6 ἀγρίππαν ἠξίωσε MA: ἀγρίππα
CGO, ἠξίωσε H; ἠξίωσεν, Ἀγρίππᾳ v τὸ] τῶ MO 8 τῶ τῆς CGO (Turn.):
τῶ MH (Mang.), τῆς A 10 δοὺς A ἀργαλεώτερον C (v), ἀργαλαιότατον G
11 προσγράφει (ει ss. m.²) C ταῖς] τοῖς GH²L 13 κωλύονται G παρα-
χρῆμα ἢ transp. CGO (Turn.) 14 δὲ CGO: δ' ceteri ἦν οὐδὲν transp. H
ε
15 ἦν] ἦν C ἀπ' (α corr. ex ευ) G 17 καταπλήσειν] καταπλήσσειν MH¹,
alt. σ eras. O 18 δὲ CGO: δ' ceteri αὑτῶν A: αὐτῶν ceteri (v)
τῶν om. O 19 πραοπαθέστατοι COH²L: προαπαθέστατοι GMAH¹; προπαθέστατοι
v, πραϋπαθέστατοι coni. Mang. (Dahl) 21 κελεύειν (subintellege ἔμελλεν) Mang.:
κελεύει CGO (Turn.), κελεῦσαι ceteri 22 τὰ ante πάντα add. A (Mang.)
23 οὐδὲ εἷς ὡς μὴ C: οὐδὲ ἴσως μὴ οὓς GO, οὐδ' ἴσως ὡς μὴ οὓσαν M, οὐδ' ἴσως ὡς
μὴ οὓς A, οὐδ' ἴσως ὡς μὴ δ' οὐ H χρείαν] ταραχήν coni. Mang. (Dahl)
ᾗ Mang.: ᾗ codd. (Turn.) 24 μέμψεως] ὄψεως H ἀπαραίτητος ἔμελλεν
codd.: ἀπαραίτητοι (sic L) ἔμελλον v ἀπαντᾶσθαι ἔμελλε transp. A ἀπαν-
τᾶσθαι MA: ἀπαρτᾶσθαι CGOH (v); ἐπαρτᾶσθαι vel ἐπάγεσθαι coni. Mang. συμ-
φορά codd.: συμφοραί v

δὲ ὄφελος; εἶποι τις ἄν· οὐδὲ γὰρ ἠρεμούντων ὁ Γάιος ἠρέμει, μετανοῶν ἐπὶ τῇ χάριτι ἤδη καὶ τὴν πρὸ μικροῦ ζωπυρῶν ἐπιθυμίαν· πρόσταττει γὰρ ἕτερον ἀνδριάντα δημιουργεῖσθαι κολοσσιαῖον χαλκοῦν ἐπίχρυσον ἐν Ῥώμῃ, μηκέτι τὸν ἐν Σιδῶνι κινῶν, ἵνα μὴ τῇ κινήσει διαταράξῃ τὸ πλῆθος, ἀλλ' ἠρεμοῦντος καὶ τῆς ὑπονοίας ἀπηλλαγμένου κατὰ πολλὴν ἡσυχίαν ἀφανῶς ἐν ταῖς ναυσὶ κομισθέντα λαθὼν τοὺς πολλοὺς ἐξαίφνης ἱδρύσηται.

(43.) Τοῦτο δὲ πράξειν ἔμελλεν ἐν παράπλῳ κατὰ τὴν εἰς Αἴγυπτον ἀποδημίαν. ἄλεκτος γάρ τις αὐτὸν ἔρως κατεῖχε τῆς Ἀλεξανδρείας, εἰς ἣν ἐπόθει σπουδῇ πάσῃ παραγενέσθαι καὶ ἀφικόμενος πλεῖστον χρόνον ἐνδιαιτηθῆναι, νομίζων τὴν ἐκθέωσιν, ἣν ὠνειροπόλει, μίαν ταύτην πόλιν καὶ γεγεννηκέναι καὶ συναυξήσειν καὶ ταῖς ἄλλαις παράδειγμα γεγενῆσθαι τοῦ σεβασμοῦ, μεγίστην τε οὖσαν καὶ ἐν καλῷ τῆς οἰκουμένης· τὰ γὰρ τῶν μεγάλων εἴτε ἀνδρῶν εἴτε πόλεων τοὺς καταδεεστέρους ἄνδρας τε καὶ δήμους ζηλοῦν ἐπιχειρεῖν. ἦν μέντοι καὶ πρὸς τἆλλα πάντα τὴν φύσιν ἄπιστος, ὡς, εἴ καί τι χρηστὸν ἐργάσαιτο, μετανοεῖν εὐθὺς καὶ τρόπον τινὰ δι' οὗ καὶ ταυτὶ λυθήσεται ζητεῖν μετὰ μείζονος ἀνίας καὶ βλάβης. οἷον δή τι λέγω· δεσμώτας ἔλυσεν ἐνίους ἐπ' οὐδεμιᾷ προφάσει, πάλιν ἔδησε βαρυτέραν τῆς προτέρας ἐπαγαγὼν συμφοράν, τὴν ἐκ δυσελπιστίας. πάλιν κατέγνω φυγὴν ἑτέρων θάνατον προσδοκησάντων, οὐκ ἐπειδὴ συνῄδεσαν αὑτοῖς ἄξια θανάτου πεπραχόσιν ἢ συνόλως βραχυτέρας ἡστινοσοῦν τιμωρίας, ἀλλὰ διὰ τὴν ὑπερβάλλουσαν ὠμότητα τοῦ δικαστοῦ μὴ προσδοκῶντες ἀποφεύξεσθαι. τούτοις ἔρμαιον ἦν ἡ φυγὴ καὶ ἰσότιμος καθόδῳ τὸν περὶ ψυχῆς ἀνωτάτω κίνδυνον ἀποδεδρακέναι νομίζουσιν. ἀλλ' οὐ μακρὸς διῆλθε χρόνος, καὶ τῶν στρατευομένων ἐπιπέμψας τινάς, μηδενὸς καινοτέρου προσπεσόντος, τοὺς ἀρίστους καὶ εὐγενεστάτους ἤδη ζῶντας ὡς ἐν πατρίσι ταῖς νήσοις καὶ
p. 596 M. τὴν | ἀτυχίαν εὐτυχέστατα φέροντας ἀθρόους ἀνῄρει, πένθος οἰκτρότατον καὶ ἀπροσδόκητον οἴκοις τῶν ἐν Ῥώμῃ μεγάλων προσβαλών. εἰ δέ τισι

---

1 δὲ CGO: δ' ceteri 3 κολοσιαῖον O 4 τὸν] τῶν GOH τῇ om. Turn. κινήσῃ H^1, corr. H^2 5 ἀπηλλαγμένον G 7 ἱδρύσηται A: ἱδρύσεται CGOH, ἱδρύσεται M 8 περίπλω M εἰς om. M 9 ἄληκτος CGO τις CGO: om. ceteri αὐτὸν ἔρως CGO: ἔρως αὐτὸν ceteri κατεῖχεν C 10 ἐπόθη G 12 γεγεννηκέναι CAH¹: γεγενηκέναι GOMH² συναυξήσειν codd.: συναυξῆσαι v 12. 13 γενέσθαι A 13 καλῷ om. G 14 pr. εἴτε CGO: εἴτ' ceteri 15 ἐπιχειρεῖ A ἄλλα L 16 ἄπιστος] ἄστατος coni. Mang. 17 ταυτὶ codd.: τουτὶ v 20. 21 τὴν — προσδοκησάντων om. A 20 ἑτέρωθεν M 21 αὐτοῖς AH: αὐτοῖς ceteri ἄξια CGO: ἄξιον ceteri πεπραχόσιν AH (prob. Mang.): πεπραγόσιν M, πεπραχέναι CGO (v) 22 ὑπερβάλουσαν M 23 ἀποφεύξασθαι CG 25 διῆλθεν C 26 πέμψας A τινὰ Turn. 28 ὡς ante εὐτυχέστατα add. M ἀθρόον O ἀνῄρει CGO: ἀναιρεῖ ceteri (v)

καὶ δωρεὰν ἔδωκεν ἀργύριον, οὐχ ὡς δάνειον ἀνέπραττε τόκους προσεκλέγων καὶ ἐπιτοκίας, ἀλλ' ὡς φώριον μετὰ μεγίστης τῶν λαβόντων ζημίας· οὐ γὰρ ἐξήρκει τὰ δοθέντα τοῖς ἀθλίοις ἀποτιννύειν, ἀλλὰ καὶ τὰς οὐσίας ὅλας προσεισέφερον, ἃς ἢ παρὰ γονέων ἢ παρ' οἰκείων ἢ φίλων ἐκληρονόμουν ἢ ποριστὴν ἑλόμενοι βίον ἐκτήσαντο αὐτοὶ δι' ἑαυτῶν. 5
344 οἱ δ' εὐπάρυφοι καὶ σφόδρ' εὐδοκιμεῖν οἰόμενοι τρόπον ἕτερον τὸν σὺν ἡδονῇ μετὰ προσποιήσεως φιλικῆς ἐβλάπτοντο, πάμπολλα μὲν εἰς τὰς ἀκρίτους καὶ ἀτάκτους καὶ ἐξαπιναίους ἀποδημίας ἀναλίσκοντες, πάμπολλα δὲ εἰς τὰς ἑστιάσεις· ὅλας γὰρ οὐσίας ἐξανάλουν εἰς ἑνὸς δείπνου παρασκευήν, ὡς καὶ δανείζεσθαι· τοσαύτη 10
345 τις ἦν ἡ πολυτέλεια. τοιγαροῦν ἀπηύχοντό τινες ἤδη τὰς δεδομένας ὑπ' αὐτοῦ χάριτας, ὑπολαμβάνοντες οὐκ ὠφέλειαν ἀλλὰ δέλεαρ εἶναι καὶ
346 ἐνέδραν ἀφορήτου ζημίας. τοσαύτη μὲν οὖν τις ἡ περὶ τὸ ἦθος ἦν ἀνωμαλία πρὸς ἅπαντας, διαφερόντως δὲ πρὸς τὸ Ἰουδαίων γένος, ᾧ χαλεπῶς ἀπεχθόμενος τὰς μὲν ἐν ταῖς ἄλλαις πόλεσι προσευχὰς ἀπὸ 15 τῶν κατ' Ἀλεξάνδρειαν ἀρξάμενος σφετερίζεται, καταπλήσας εἰκόνων καὶ ἀνδριάντων τῆς ἰδίας μορφῆς — ὁ γὰρ ἑτέρων ἀνατιθέντων ἐφεὶς αὐτὸς ἱδρύετο δυνάμει —, τὸν δὲ ἐν τῇ ἱεροπόλει νεών, ὃς λοιπὸς ἦν ἄψαυστος ἀσυλίας ἠξιωμένος τῆς πάσης, μεθηρμόζετο καὶ μετεσχημάτιζεν εἰς
347 οἰκεῖον ἱερόν, ἵνα Διὸς Ἐπιφανοῦς Νέου χρηματίζῃ Γαΐου. τί φῄς; 20 σὺ μὲν ἄνθρωπος ὢν αἰθέρα καὶ οὐρανὸν ζητεῖς προσλαβεῖν, οὐκ ἀρκεσθεὶς τῷ πλήθει τῶν τοσούτων ἠπείρων, νήσων, ἐθνῶν, κλιμάτων, ὧν ἀνήψω τὴν ἀρχήν; τὸν δὲ θεὸν οὐδενὸς τῶν ἐνταῦθα καὶ παρ' ἡμῖν ἀξιοῖς, οὐ χώρας, οὐ πόλεως, ἀλλὰ καὶ τὸν βραχὺν οὕτως περίβολον αὐτῷ καθιερωθέντα καὶ καθοσιωθέντα χρησμοῖς καὶ λογίοις θεσφάτοις 25

---

1 ἀργύρου H ἔπραττε M 1. 2 προσεκλέγων CGO: om. ceteri 3. 4 ἀλλὰ — ὅλας] αλλας L 4 ὅλας οὐσίας transp. H προσεισέφερον CGOH: προσεισφέρον M, προσεισέφερεν A παρ' om. M 5 ἑαυτῶν CGO: αὐτῶν AH, αὐτῶν M 6 δὲ CGO (v) εὐπάρυφοι καὶ MAH (prob. Mang.): om. CGO (v) σφόδρα CGO (v) παρ' αὐτῶ post σφόδρα add. CGO (v), om. MAH¹, post εὐδοκιμεῖν ss. H² 7 πάμπολα A 9 πάμπολλα MH (Mang.): πάμπολα A, πολλὰ CGO (Turn.) δ' H 11 ἀπηύχοντό CGOAH²L: ἀπεύχοντό MH¹ 12 μόνον post ὠφέλειαν add. H (v); vel delendum vel reponendum esse μέν censet Mang. 13 ἡ om. Mang. ἦν om. A 14 ἀνομαλία C πρὸς] εἰς M γένος CGOM²H (Turn.): ἔθνος M¹A (Mang.) 15 ἀπεχθόμενος CMA (Mang.): ἀπεχθανόμενος GOH (Turn.) 17 ἐφεὶς MH: ἀφεὶς CGOA (v); ἐφειὶς Dahl ex Eusebio 18 δὲ CGOL: δ' ceteri ἄψαυστος ἦν transp. A 19 ἠξιωμένος τῆς πάσης] ἠξίωσε καὶ M 20 οἶκον A χρηματίζει H 21 ζητεῖς CGOH²L: ἐζήτεις MAH¹ 23 καὶ] καὶ τῶν A; τῶν Mang. 24 ἀξιοῖς CGO: ἠξίωσας ceteri οὕτω CGO 25 αὐτοῦ H καθοσιωθέντα MAH (Mang.): καθωσιωμένον (-ων G) CO (Turn.)

13—20 Euseb. Hist. Eccl. II 6, 2 τοσαύτη μὲν οὖν τις ἡ τοῦ Γαΐου περὶ τὸ ἦθος — Γαΐου.

p. 597 M. ἀφελέσθαι διανοῇ, ἵν' ἐν τῷ τῆς τοσαύτης γῆς | περιβόλῳ μηδὲν ἴχνος μηδὲ ὑπόμνημα καταλειφθῇ τιμῆς καὶ εὐσεβείας τῆς εἰς τὸν ὄντως ὄντα ἀληθῆ θεόν; καλὰς ὑπογράφεις τῷ γένει τῶν ἀνθρώπων ἐλπίδας· ἀγνοεῖς 348
ὅτι πηγὰς ἀνατέμνεις ἀθρόων κακῶν, καινουργῶν καὶ μεγαλουργῶν ἃ
μήτε ὁρᾶν μήτε λογίζεσθαι θέμις;

* * *

(44.) Ἄξιον δὲ ἐπιμνησθῆναι καὶ ὧν εἶδομέν τε καὶ ἠκούσαμεν 349
μεταπεμφθέντες ἀγωνίσασθαι τὸν περὶ τῆς πολιτείας ἀγῶνα. εἰσελθόντες γὰρ εὐθὺς ἔγνωμεν ἀπὸ τοῦ βλέμματος καὶ τῆς κινήσεως, ὅτι οὐ πρὸς δικαστὴν ἀλλὰ κατήγορον ἀφίγμεθα, τῶν ἀντιτεταγμένων μᾶλλον ἐχθρόν. δικαστοῦ μὲν γὰρ ἔργα ταῦτα ἦν· καθίσαι μετὰ συνέδρων ἀριστίνδην 350
ἐπιλελεγμένων, ἐξεταζομένης ὑποθέσεως μεγίστης ἐν τετρακοσίοις ἔτεσιν ἡσυχασθείσης καὶ νῦν πρῶτον εἰσαγομένης ἐπὶ μυριάσι πολλαῖς τῶν Ἀλεξανδρέων Ἰουδαίων, ἑκατέρωθεν στῆναι τοὺς ἀντιδίκους μετὰ τῶν συναγορευσόντων, ἐν μέρει μὲν ἀκοῦσαι τῆς κατηγορίας, ἐν μέρει δὲ τῆς ἀπολογίας πρὸς μεμετρημένον ὕδωρ, ἀναστάντα βουλεύσασθαι μετὰ τῶν συνέδρων, τί χρὴ φανερῶς ἀποφήνασθαι γνώμῃ τῇ δικαιοτάτῃ· τυράννου δὲ ἀμειλίκτου δεσποτικὴν ὀφρὺν ἐπανατειναμένου τὰ πραχθέντα. χωρὶς 351
γὰρ τοῦ μηδὲν ὧν ἀρτίως εἶπον ἐργάσασθαι, μεταπεμψάμενος τοὺς δυεῖν κήπων ἐπιτρόπους τοῦ τε Μαικήνα καὶ Λαμία — πλησίον δέ εἰσιν ἀλλήλων τε καὶ τῆς πόλεως, ἐν οἷς ἐκ τριῶν ἢ τεττάρων ἡμερῶν διέτριβε· κεῖθι γὰρ ἐπὶ παροῦσιν ἡμῖν ἡ κατὰ παντὸς τοῦ ἔθνους ἔμελλε σκηνοβατεῖσθαι δραματοποιία — κελεύει τὰς ἐπαύλεις αὐτῷ πάσας περιανοιχθῆναι· βούλεσθαι γὰρ μετὰ ἀκριβείας ἑκάστην ἰδεῖν. ἡμεῖς δὲ ὡς αὐτὸν 352
εἰσαχθέντες ἅμα τῷ θεάσασθαι μετ' αἰδοῦς καὶ εὐλαβείας τῆς ἁπάσης νεύοντες εἰς τοὔδαφος ἐδεξιούμεθα, Σεβαστὸν Αὐτοκράτορα προσειπόντες·

---

1 διανοῇ CGO: διενοήθης ceteri 2 μὴ δὲ CGO (Mang.): μηδ' ceteri; μηδὲν Turn. καταλειφθῇ (coni. Mang.)] καταληφθῇ O (v), ει ex η corr. M ὄντως ὄντα CGO: ὄντα ὄντως ceteri 3 ὑπογράφης C 4 ἀνατέμνης C 5 μήτε ὁρᾶν om. A λογίζεσθαι] νομίζεσθαι A θέμις] lacunam hic statuit Massebieau 6 δ' A ἴδομέν CGO 7 τῆς corr. ex τὴν G, om. M 9 πρὸς ante κατήγορον add. M ἐχθρόν CH²: ἐχθρῶν GOMAH¹ 10 ἔργα ταῦτα ἦν CGO: ταῦτ' ἦν ἔργα ceteri 13 μετὰ om. C (Turn.) 14 συναγορευσόντων CGO (Turn.): συναγορευόντων ceteri (Mang.) 18 δυεῖν CG: δυοῖν ceteri (v)
19 μαικηνᾶ G: μαικηνα O, μεκινᾶ C, μαικίνα MH, μακίνα A 20 διέτριβεν H 21 ἐπὶ] ἐπεὶ Turn. παροῦσι M 21. 22 σκηνωβατεῖσθαι G 22 δραματουργία MH αὐτῷ codd. (αὐτῶν O) 23 βουλεύσασθαι A ἑκάστης C; ἑκάστας v ὡς] εἰς A 24 ἅμα τῷ θεάσασθαι om. A τῆς om. MA 25 προειπόντες G

---

19 Μαικήνα: cf. O. Hirschfeld in Beitr. z. alten Gesch. II 57.

ὁ δὲ οὕτως ἐπιεικῶς καὶ φιλανθρώπως ἀντιπροσηγόρευσεν, ὡς μὴ μόνον
353τὴν ὑπόθεσιν ἀλλὰ καὶ τὸ ζῆν ἀπογνῶναι. σαρκάζων γὰρ ἅμα καὶ
σεσηρὼς „ὑμεῖς“ εἶπεν „ἐστὲ οἱ θεομισεῖς, οἱ θεὸν μὴ νομίζοντες εἶναί
με, τὸν ἤδη παρὰ πᾶσι τοῖς ἄλλοις ἀνωμολογημένον, ἀλλὰ τὸν ἀκατονό-
μαστον ὑμῖν;“ καὶ ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεφήμιζε
πρόσρησιν, ἣν οὐδὲ ἀκούειν θεμιτόν, οὐχ ὅτι διερμηνεύειν αὐτολεξεί.
354πόσης εὐθὺς ἀνεπλήσθησαν ἡδονῆς οἱ τῆς ἐναντίας μερίδος πρέσβεις,
ἤδη κατωρθωκέναι διὰ τῆς πρώτης ἀναφθέγξεως Γαΐου τὴν πρεσβείαν
νομίζοντες· ἐπεχειρονόμουν, ἀνωρχοῦντο, | τὰς θεῶν ἁπάντων ἐπωνυμίας p. 598 M.
355ἐπεφήμιζον αὐτῷ. (45.) γανύμενον δὲ ταῖς ὑπὲρ ἀνθρωπίνην φύσιν
προσρήσεσι θεασάμενος ὁ πικρὸς συκοφάντης Ἰσίδωρος „ἔτι μᾶλλον“
ἔφη, „δέσποτα, μισήσεις τοὺς παρόντας καὶ τοὺς ὧν εἰσιν ὁμόφυλοι, ἐὰν
γνῷς τὴν εἰς σὲ κακόνοιαν αὐτῶν καὶ ἀσέβειαν· ἁπάντων γὰρ ἀνθρώπων
ὑπὲρ σωτηρίας τῆς σῆς θυσίας ἀναγόντων εὐχαριστηρίους, οὐχ ὑπέμειναν
οὗτοι μόνοι θύειν· ὅταν δὲ οὗτοι λέγω, καὶ τοὺς ἄλλους Ἰουδαίους
356συμπαραλαμβάνω.“ ἀναβοησάντων δὲ ἡμῶν ὁμοθυμαδὸν „κύριε Γάιε,
συκοφαντούμεθα· καὶ γὰρ ἐθύσαμεν καὶ ἑκατόμβας ἐθύσαμεν, οὐ τὸ μὲν
αἷμα τῷ βωμῷ περισπείσαντες τὰ δὲ κρέα εἰς θοίνην καὶ εὐωχίαν οἴκαδε
κομίσαντες, ὡς ἔθος ἐνίοις ποιεῖν, ἀλλ' ὁλόκαυτα τὰ ἱερεῖα παραδόντες
τῇ ἱερᾷ φλογί, καὶ τρίς, οὐχ ἅπαξ, ἤδη· πρῶτον μὲν ὅτε διεδέξω τὴν
ἡγεμονίαν, δεύτερον δὲ ὅτε τὴν βαρεῖαν νόσον ἐκείνην ἣν πᾶσα ἡ οἰκου-
μένη συνενόσησεν ἐξέφυγες, τρίτον δὲ κατὰ τὴν ἐλπίδα τῆς Γερμανικῆς
357νίκης,“ „ἔστω“ φησί „ταῦτα ἀληθῆ, τεθύκατε, ἀλλ' ἑτέρῳ, κἂν
ὑπὲρ ἐμοῦ· τί οὖν ὄφελος; οὐ γὰρ ἐμοὶ τεθύκατε.“ φρίκη βύθιος εὐθὺς
κατέσχεν ἡμᾶς ἐπὶ τῷ προτέρῳ καὶ τοῦτο ἀκούσαντας, ἢ καὶ μέχρι τῆς

---

1 δὲ CGO: δ' ceteri ἀνεπιεικῶς καὶ ἀφιλανθρώπως coni. Mang. προσηγό-
ρευσεν H μόνον CAH: μόνην MOL, η corr. ex o G 3 εἶπεν ὑμεῖς transp. A
5 ἡμῖν M τὸν om. AH 6 οὐδὲ CGO: οὐδ' ceteri 7 πόσης COMA: πάσης
GH (v) 8 κατορθωκέναι HO, o corr. in ω G 9 ἐπεχειρονόμουν] ἐπεὶ ἐχειρο-
νόμουν Turn. ἀνορχοῦντο Turn. τῶν ante θεῶν add. H (v) 10 ἀνε-
φήμιζον M γανύμενον C: γανύμενος O, γαννύμενον ceteri 11 μικρὸς G
14 ἀγόντων A χαριστηρίους coni. Mang. 15 δὲ CGO: δ' ceteri 16 δ' MH
17 alt. καὶ om. M alt. ἐθύσαμεν om. M οὐ MAH: ὧν CGO (v)
τὸ μὲν OMAH: τὸ CG (v) 18 περισπείραντες L τὰ δὲ MAH: τὰ CGO (v)
εἰς MAH (v): οὐκ εἰς CGO (v) 19 κομίσαντες MAH: ἐκομίσαμεν CGO (v)
ἐνίους ἔθος transp. O ἐνίους GO ὁλοκαυτώματα M τὰ om. M
20 ὅτε CGO: ὅτε (ὅτι H) πρῶτον ceteri 21 δ' AH ἐκείνην νόσον transp.
CGO (v) ἣν CGO (Turn.): ἡ ceteri (Mang.) 22 συνενόησεν Turn.
23 ταῦτ' A 23. 24 ἀλλ' — τεθύκατε om. C 23 κἂν Mang.: καὶ MAH¹,
καὶ οὐχ GOL (v), οὐχ ss. H² 24 οὐ GO: οὐδὲ ceteri (v) εὐθὺς om. GH
25 pr. καὶ om. CGO (Turn.) τοῦτο CGO: τοῦτ' ceteri ἀκούσαντες A
ἢ] εἰ G

ἐπιφανείας ἀνεχύθη. καὶ ταῦθ' ἅμα λέγων ἐπῄει τὰς ἐπαύλεις, ἀνδρῶ- 358
νας κατανοῶν, γυναικωνίτιδας, τὰ ἐν ἐπιπέδῳ, τὰ ὑπερῷα, ἅπαντα, αἰτιώ-
μενος ἐνίας ὡς ἐλλιπεῖς κατασκευάς, ἑτέρας ἐπινοῶν καὶ προσδιατάττων
πολυτελεστέρας αὐτός. εἶτα ἡμεῖς ἐλαυνόμενοι παρηκολουθοῦμεν ἄνω 359
κάτω, χλευαζόμενοι καὶ κατακερτομούμενοι πρὸς τῶν ἀντιπάλων ὡς ἐν θεα-
τρικοῖς μίμοις· καὶ γὰρ τὸ πρᾶγμα μιμεία τις ἦν· ὁ μὲν δικαστὴς ἀνειλήφει
σχῆμα κατηγόρου, οἱ δὲ κατήγοροι φαύλου δικαστοῦ πρὸς ἔχθραν ἀπο-
βλέποντος, ἀλλ' οὐ τὴν φύσιν τῆς ἀληθείας. ὅταν δὲ αἰτιᾶται κρινόμενον 360
δικαστὴς καὶ τοσοῦτος, ἀνάγκη σιωπᾶν· ἔστι γάρ πως καὶ δι' ἡσυχίας
ἀπολογεῖσθαι, καὶ μάλιστα πρὸς οὐδὲν ὧν ἐπεζήτει καὶ ἐπεπόθει δυνα-
μένους ἀποκρίνασθαι, τῶν ἐθῶν καὶ νομίμων τὴν γλῶτταν ἐπεχόντων
καὶ τὸ στόμα κλειόντων καὶ ἀπορραπτόντων. ἐπεὶ δὲ ἕνια τῶν περὶ τὰς 361
οἰκοδομὰς διετάξατο, μέγιστον καὶ σεμνὸν ἐρώτημα ἠρώτα· „διὰ τί
χοιρείων κρεῶν ἀπέχεσθε;“ πάλιν πρὸς τὴν πεῦσιν γέλως ἐκ τῶν ἀν-
τιδίκων κατερράγη τοσοῦτος, τῇ μὲν ἡδομένων τῇ δὲ καὶ ἐπιτηδευόντων
ἕνεκα κολακείας ὑπὲρ τοῦ τὸ λεχθὲν δοκεῖν σὺν εὐτραπελίᾳ καὶ χάριτι
p. 599 M. εἰρῆσθαι, ὡς τινα τῶν ἑπομένων αὐτῷ θεραπόντων | ἀγανακτεῖν ἐπὶ τῷ
καταφρονητικῶς ἔχειν αὐτοκράτορος, ἐφ' οὗ καὶ τὸ μετρίως μειδιάσαι
τοῖς μὴ πάνυ συνήθεσιν οὐκ ἀσφαλές. ἀποκριναμένων δὲ ἡμῶν, ὅτι 362
„νόμιμα παρ' ἑτέροις ἕτερα καὶ χρῆσις ἐνίων ὡς ἡμῖν καὶ τοῖς ἀντιδίκοις
ἀπείρηται“, καὶ φαμένου τινὸς „ὡς πολλοί γε καὶ τὰ προχειρότατα ἀρνία
οὐ προσφέρονται“, γελάσας „εὖ γε“ εἶπεν, „ἔστι γὰρ οὐχ ἡδέα.“ τοιαῦ- 363
τα φλυαρηθέντες καὶ κατακερτομηθέντες ἐν ἀμηχάνοις ἦμεν. εἶτα ὀψέ
ποτε παρασεσυρμένως „βουλόμεθα μαθεῖν“ ἔφη, „τίσι χρῆσθε περὶ τῆς
πολιτείας δικαίοις.“ ἀρξαμένων δὲ λέγειν καὶ διδάσκειν, ἀπογευσάμενος 364
τῆς δικαιολογίας καὶ συνεὶς ὡς οὐκ ἔστιν εὐκαταφρόνητος, πρὶν ἐπενεγκεῖν
τὰ ἐχυρώτερα, συγκόψας καὶ τὰ πρότερα ὁρμαῖος εἰς τὸν μέγαν οἶκον

---

1 ταῦτ' M 2 πάντα H 3 ἐλλειπεῖς GO κατασκευαῖς coni. Mang. προσδιαττάττων M 4 εἶτα CGO: εἶθ' ceteri 5 χλευαζόμενοι CGO (Turn.): καταχλευαζόμενοι ceteri (Mang.) καὶ κατακερτομούμενοι M: om. AH, κατακερτομούμενοι CGO (Turn.); καὶ κερτομούμενοι Mang. 6 μιμεία H: μιμία ceteri (v) 7 φαύλοι (sic) G 7. 8 ἀποβλέποντες A 8 δὲ CGO: δ' ceteri αἰτιᾶται] αἰτιῶτο τὸ A 9 πως C: που ceteri 10. 11 καὶ μάλιστα — ἀποκρίνασθαι om. A 10 ἐπεπύθει (sic) coni. Mang. 12 ἐπεὶ δὲ CGOH: ἐπεὶ δ' A, ἐπειδὴ M 13 οἰκοδομὰς C: οἰκοδομίας GOMH, οἰκονομίας A διετάξατο CA: διεδέξατο GOMH 14 ἐκ] πρὸς A 16 τὸ] τε G 17 τινα CG (Turn.): τινας ceteri (Mang.) 19 δὲ CGO: δ' ceteri 21 πολλά CGO 22 ἔστιν C, ἔσται A 23 φλυαρηθέντες] χλευασθέντες coni. Mang. εἶτα CGO: εἶτ' ceteri 25 πολιτείας] ἰσοπολιτείας coni. Mang. 27 ἐχυρώτερα CGM: ὀχυρώτερα OH, ὀχυρώτατα A τὸν A: om. ceteri (v)

---

8. 9 D^R fol. 157v τοῦ αὐτοῦ: ὅταν αἰτιᾶται δικαστὴς κρινομένου, ἀνάγκη σιωπᾶν.

εἰσεπήδησε καὶ περιελθὼν προστάττει τὰς ἐν κύκλῳ θυρίδας ἀναληφθῆναι τοῖς ὑάλῳ λευκῇ παραπλησίως διαφανέσι λίθοις, οἳ τὸ μὲν φῶς οὐκ
365 ἐμποδίζουσιν, ἄνεμον δὲ εἴργουσι καὶ τὸν ἀφ' ἡλίου φλογμόν. εἶτα προελθὼν ἄνευ σπουδῆς μετριώτερον ἀνηρώτα· „τί λέγετε;“ συνείρειν δὲ ἀρξαμένων τὰ ἀκόλουθα, εἰστρέχει πάλιν εἰς ἕτερον οἶκον, ἐν ᾧ γραφὰς ἀρχε-
366 τύπους ἀνατεθῆναι προσέταττεν. οὕτω τῶν ἡμετέρων σπαραττομένων καὶ διαρτωμένων καὶ μόνον οὐ συγκοπτομένων καὶ συντριβομένων δικαίων, ἀπειρηκότες καὶ μηδὲν ἔτι σθένοντες, ἀεὶ δὲ οὐδὲν ἕτερον ἢ θάνατον προσδοκῶντες, οὐκέτι τὰς ψυχὰς ἐν αὑτοῖς εἴχομεν, ἀλλ' ὑπ' ἀγωνίας ἔξω προεληλύθεσαν ἱκετεύειν τὸν ἀληθινὸν θεόν, ἵνα τοῦ ψευδωνύμου τὰς ὀργὰς
367 ἐπίσχῃ. ὁ δὲ λαβὼν οἶκτον ἡμῶν τρέπει τὸν θυμὸν αὐτοῦ πρὸς ἔλεον· καὶ ἀνεθεὶς πρὸς τὸ μαλακώτερον, τοσοῦτον εἰπὼν „οὐ πονηροὶ μᾶλλον ἢ δυστυχεῖς εἶναί μοι δοκοῦσιν ἄνθρωποι καὶ ἀνόητοι μὴ πιστεύοντες, ὅτι θεοῦ κεκλήρωμαι φύσιν“, ἀπαλλάττεται προστάξας καὶ ἡμῖν ἀπέρχεσθαι.

368 (46.) Τοιοῦτον ἀντὶ δικαστηρίου θέατρον ὁμοῦ καὶ δεσμωτήριον ἐκφυγόντες — ὡς μὲν γὰρ ἐν θεάτρῳ κλωσμὸς συριττόντων, καταμωκωμένων, ἄμετρα χλευαζόντων, ὡς δὲ ἐν εἱρκτῇ πληγαὶ κατὰ τῶν σπλάγχνων φερόμεναι, βάσανοι, κατατάσεις τῆς ὅλης ψυχῆς διά τε τῶν εἰς τὸ θεῖον βλασφημιῶν καὶ διὰ τῶν ἐπανατάσεων, ἃς τοσοῦτος αὐτοκράτωρ | ἐπανετείνετο, μνησικακῶν οὐ περὶ ἑτέρου, ῥᾳδίως γὰρ ἂν μετέ- p. 600 M.
βαλεν, ἀλλὰ περὶ ἑαυτοῦ καὶ τῆς εἰς τὴν ἐκθέωσιν ἐπιθυμίας, ἣ μόνους ὑπελάμβανε μήτε συναινεῖν Ἰουδαίους μήτε δύνασθαι συνυπογράψασθαι
369 — μόλις ἀνεπνεύσαμεν, οὐκ ἐπειδὴ φιλοζωοῦντες θάνατον κατεπτήχειμεν, ὃν ἄσμενοι καθάπερ ἀθανασίαν εἰλόμεθα ἄν, εἰ δή τι τῶν νομίμων ἔμελλεν

---

1 εἰσεπήδησεν COH (v) 2 ὑάλῳ CGO: ὑέλῳ ceteri παραπλησίως διαφανέσι M: διαφανέσι παραπλησίως C (Turn.), παραπλησίοις διαφανέσι GOA (Mang.), παραπλησίοις ὡς διαφανέσι H 3 δ' AH 3. 4 προελθὼν CA (Turn.): προσελθὼν GOMH (mavult Mang.) 4 δὲ CGO: δ' ceteri 5 τἀκόλουθα MH 6 διασπαραττομένων M, ταραττομένων A 6. 7 καὶ διαρτωμένων om. AH 8 ἔτι] ὅτι L σθένοντες] στένοντες H^2L δὲ CGO: δ' ceteri 9 αὐτοῖς codd. (praefert Mang.): αὐταῖς v ἔσχομεν O 9. 10 προεληλύθεσαν CG: προεληλύθεισαν MAH, προεληλύθειμεν O (mavult Mang.) 10 τὰς om. O ὀργὰς] ὁρμὰς A (mavult Mang.) 11 πρὸς] εἰς L 12 καὶ CGO: ὁ δ' ceteri τοσοῦτον CGO: καὶ τοσοῦτον ceteri (v) οὐ] καὶ M 13 οἱ ante ἄνθρωποι add. A 17 ἐκφυγόντας CO, διαφυγόντες M κλωγμὸς A (Mang.) 18 δὲ CGOL: δ' ceteri τῶν om. Turn. 19 κατατάσεις] κατὰ CGO 20 διὰ om. M ἐπανατάσεων C: ἐπανατάσεων M, ἐπαναστάσεων GOAH τοσοῦτος MAH (praefert Mang.): τοσοῦτον CGO (v) 21 ἐπαναιτείνετο (sic) C, ἐπετείνετο A 21. 22 μετέβαλεν COA: μετέβαλλεν GMH 22 αὐτοῦ AH ἐκθέωσιν] εἰσθέωσιν M 23 ἰουδαίους G 24 ἀνεπλεύσαμεν A 25 εἰλόμεθ' A

ἐπανόρθωσιν ἕξειν, ἀλλ' εἰδότες ἐπ' οὐδενὶ λυσιτελεῖ παρανάλωμα γενησόμενοι μετὰ πολλῆς δυσκλείας· ἃ γὰρ ἂν πρέσβεις ὑπομένωσιν, ἐπὶ τοὺς πέμψαντας λαμβάνει τὴν ἀναφοράν. τούτων μὲν δὴ χάριν ἐπὶ370
ποσὸν ἐδυνήθημεν ἀνακύψαι, τὰ δὲ ἄλλα ἡμᾶς ἐφόβει διεπτοημένους καὶ
5 ἀποροῦντας, τί γνώσεται, τί ἀποφανεῖται, ποταπὴ γένοιτ' ἂν ἡ κρίσις· ἤκουσε γὰρ τῆς ὑποθέσεως, ὃς πραγμάτων ἐνίων παρήκουσεν; ἐν ἡμῖν δὲ πέντε πρεσβευταῖς σαλεύειν τὰ τῶν πανταχοῦ πάντων Ἰουδαίων οὐ χαλεπόν; εἰ γὰρ χαρίσαιτο τοῖς ἡμετέροις ἐχθροῖς, τίς ἑτέρα πόλις ἠρε-371
μήσει; τίς οὐκ ἐπιθήσεται τοῖς συνοικοῦσι; τίς ἀπαθὴς καταλειφθήσεται
10 προσευχή; ποῖον πολιτικὸν οὐκ ἀνατραπήσεται δίκαιον τοῖς κοσμουμένοις κατὰ τὰ πάτρια τῶν Ἰουδαίων; ἀνατετράψεται, ναυαγήσει, κατὰ βυθοῦ χωρήσει καὶ τὰ ἐξαίρετα νόμιμα καὶ τὰ κοινὰ πρὸς ἑκάστας τῶν πόλεων αὐτοῖς δίκαια. τοιούτοις ὑπέραντλοι γενόμενοι λογισμοῖς ὑπεσυρόμεθα372
καταποντούμενοι· καὶ γὰρ οἱ τέως συμπράττειν ἡμῖν δοκοῦντες ἀπειρή-
15 κεσαν· καλουμένων γοῦν, ἔνδον ὄντες οὐχ ὑπέμειναν, ἀλλ' ὑπεξῆλθον διὰ φόβον ἀκριβῶς ἐπιστάμενοι τὸν ζμερον, ᾧ κέχρητο πρὸς τὸ νομίζεσθαι θεός. εἴρηται μὲν οὖν κεφαλαιωδέστερον ἡ αἰτία τῆς πρὸς ἅπαν τὸ373
Ἰουδαίων ἔθνος ἀπεχθείας Γαΐου· λεκτέον δὲ καὶ τὴν παλινῳδίαν.

---

2 ὑπομένουσιν (sic) coni. Mang. 3 τοὺς om. C 4 ἠδυνήθημεν H δὲ CGO: δ' ceteri ἐπτοημένους M 4. 5 διεπτοημένους καὶ ἀποροῦντας om. A 6 ὃς C: οὓς GOMH, ἧς A 7 πέντε] πάντως A (mavult Mang.) πανταχοῦ] ἐν ἡμῖν M πάντων Ἰουδαίων CGO: Ἰουδαίων πάντων MH, πάντων om. A 8 πόλεις G 9 pr. τίς] τί Turn. καταληφθήσεται L 12 ἑκάστας OMAH (mavult Mang.): ἕκαστα CG (v) 13 λογισμοῖς] τοῖς λογισμοῖς O ὑπερσυρόμεθα G, ὑπερεσυρόμεθα M 16 κέχρητο C (Turn.): κέχρηται ceteri (Mang.) 18 ἀπεχθίας G post παλινῳδίαν add. πρὸς γάϊον H (v) Φίλωνος ἀρετῶν πρῶτον· ὅ ἐστι τῆς αὐτοῦ πρεσβείας τῆς πρὸς γάϊον subscr. G

---

2. 3 D^K fol. 82v Φίλωνος ἐκ τῆς πρὸς Γάιον πρεσβείας D^L fol. 41r et 64r D^M fol. 32v D^P fol. 16v (cf. Harris p. 78) D^V p. 367 Φίλωνος D^L fol. 142v: ἃ πρέσβεις ὑπομένουσιν, ἐπὶ τοὺς πέμψαντας λαμβάνει τὴν ἀναφοράν.